





ALEXAND
TRALLIANUS
&
RHAZA,
Græce
1548










GOSUINUS JANUS LONCQ CORN. JAN. FILIUS, MEDICINAE PROFESSOR ULTRAIECTINUS *

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΙΑΤΡΟΥ ΒΙΒΛΙΑ ΔΥΟΚΑΙΔΕΚΑ.

Ῥαζῆ λόγος περὶ λοιμικῆς ἀπὸ τῆς σύρων διαλέκτου ἐξελληνισθείς.

ALEXANDRI TRALLIANI MEDICI Lib. XII.

RHAZAE DE PESTILENTIA LIBELLVS ex Syrorum lingua in Græcam translatus.

Iacobi Goupyli in eosdem castigationes.

EX BIBLIOTHECA REGIA.



Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

LVTETIAE,
Ex officina Rob. Stephani, Typographi Regii, typis Regiis.
M. D. XLVIII.

Ex priuilegio Regis.

AMPLISSIMO APVD PARISIORVM LVTE-tiam medicinæ professorum collegio Iacobus Goupylus S.

ROGAVERAT me Robertus Stephanus typographus Regius, vt Alexandri Tralliani de re medica libros, & Razæ de pestilentia commentarium, quos vir summa virtute & eruditione P. Castellanus Pōtifex Matisconensis ex Regia bibliotheca prompserat, recognoscerem. Ego verò qui exiguitatem ingenii & doctrinæ meæ pulcherrimè nossem, durissimum existimabam suscipere tantum negotium, quantum homines ingenio præstanti, & singulari eruditione sustinere vix possent. Attamen cum is afferret, se ex meo vnius consilio exemplaria illa vt in vulgus darētur postulauisse, omnino faciēdum putaui vt onera meis viribus grauiora subirem potius, nulla sustinendi spe, quàm eius volūtati repugnarem. Itaque superiore Iunio tempus à vestræ scholæ exercitationibus vacuum nactus, duos illos codices accuratius vt legerem in manus sumpsi, quos cum multis in locis malè descriptos comperissem, me ipse reuocaui. Sed And. Tiraquellus Regius consiliarius iuris ciuilis intelligētia & omni scientiæ genere præstans, cui, quòd naturæ suæ benignitate studiorum meorum semper adiutor fuerit, ingenii mei quātulæcunque facultates notiores sunt quàm mihi, tantam perficiendi alacritatem addidit vt ea cœperim emendare, quæ vitiosa mihi visa sunt, ita tamen vt nihil in antiquis exemplaribus neque inducendum, neque addendū duxerim. Malui enim ea non modò verbis omnibus, sed etiam interpunctis à typographis exprimi, quàm vestigia delere, quibus vel multum obscuris docti & eruditi homines (quales vos estis) sagaciter quid ab auctore ipso scriptum sit odorentur. Videbam enim me impudentiæ atque arrogantiæ condemnatum iri, si homunculus vnus ex multis doctissimis hominibus qui in Gallia, Italia, Hispania, Britannia, Germania, & tota denique Europa sunt quid legendum esset constituerē. Seorsum igitur à legitimo verborum auctoris ordine castigationes nostras excudendas putauimus, ne si fortè inueniamur παραδιορθωταὶ ἀντὶ τῶν ἐπανορθωτῶν, noua hac labe codices inficeremus. Quibus autē auxiliis vsi simus, & quo modo nos in hac re gesserimus, exponemus. Galeni & Pauli AEginetæ libri multum nos in hac re adiuuerunt. Ex horū enim altero multa Alexander sumpsit, alter verò tā libenter atque ambitiosè non pauca ex hoc auctore in sua scripta transtulit, vt non modò sensus, sed verba ipsa in codice eius fidelissimè conseruata inueniantur. Ex scholæ etiam Arabicæ principibus auxiliū nobis

fuit, & seorsum ex Raze illo Zachariæ filio, qui tum huius scriptoris verba & sensus videtur vsurpasse, quū pauca adhuc à librariis deprauata essent. Omnino coactis ex omni auctorum genere auxiliis effecisse videmur, vt qui antè aut peruersè scriptis, aut planè deficientibus exemplarium locis offendebantur, nunc ex huius scriptoris tum Græco sermone compositi, tum in Latinum sermonem à nobis conuersi, & propediem in vulgus edendi lectione mirabilis vtilitatis fructum ferant. In quo tamen non committam vt mihi ipse assentiar, probémve aliquid, nisi planè vos idem probetis. Hæc enim vna causa castigationes meas ad vos mittendi mihi fuit: quanquam alia etiam laudabilis id vt facerem me impulit, grati nimirum erga vos animi mei vt testimonium aliquod darem, qui cum squalorem medicinæ, quem ei rude seculum obduxerat, primi (absit verbo inuidia) abstersеritis, effeceritísque vt naturalem eius nitorem aliquando intueremur, hoc beneficio planè diuino sic nos vobis deuinxistis, vt hoc nomine tantum vobis quantum hominem homini debere vix fas est, debiturus sim. Valete.

Κεφάλαια τοῦ τετάρτου βιβλίου.

α΄ Περὶ ἀλωπεκίας.

Διάγνωσις. Θεραπεία. Περὶ ἁπλῶν βοηθημάτων.

Ἄλλο. Ἄλλο. Ἄλλο. Ἄλλο.

Περὶ συνθέτων βοηθημάτων. Ἄλλο. Ἄλλο. Ἄλλο. Ἄλλο.

β΄ Περὶ ῥεουσῶν τριχῶν.

Περὶ λουτροῦ εἰς τὸ αὐτό. Τὸ διὰ λαδάνου. Ἄλλο. Ἄλλο.

γ΄ Πρὸς μέλανσιν τριχῶν.

Ἄλλο. Ἄλλο. Ἄλλο. Πυῤῥὰς τρίχας βάψαι καὶ ξανθὰς ποιῆσαι.

Ἄλλο. Ξανθὰς τρίχας ποιῆσαι. Τρίχας μελαίνας ξανθὰς ποιῆσαι.

Βαφὴ χρυσοειδής. Τρίχας λευκὰς ποιῆσαι.

δ΄ Περὶ πιτυριάσεως. Θεραπεία. Ἄλλο.

ε΄ Πρὸς ψυδράκια καὶ ἐξανθήματα γινόμενα ἐν τῇ κεφαλῇ. Θεραπεία.

ϛ΄ Πρὸς τὰ ἐν τῇ κεφαλῇ ψωρώδη καὶ ἰχωρώδη.

ζ΄ Πρὸς τὰ ἐν τῇ κεφαλῇ ἑλκύδρια πυκνὰ καὶ ἐρυθρά, παραπλήσια θηλαῖς, ὑφ᾽ ὧν ἰχῶρες ἀποτήκονται. Ἄλλο πρὸς τὰ ἐν τῇ κεφαλῇ. Ἄλλο.

η΄ Περὶ ἀχώρων. Θεραπεία.

θ΄ Περὶ κηρίου.

ι΄ Περὶ κεφαλαλγίας.

Διάγνωσις τῆς ἐπὶ ἐγκαύσει γινομένης κεφαλαλγίας.

Θεραπεία τῆς ἐπὶ ἐγκαύσει γινομένης κεφαλαλγίας.

Περὶ κηρωτῆς τοῦ αὐτοῦ πάθους.

Περὶ τῆς ἐπὶ θερμῇ δυσκρασίᾳ χρονιζούσης κεφαλαλγίας.

Τροχίσκος πρὸς χρονίαν κεφαλαλγίαν, καὶ θερμὴν δυσκρασίαν.

Περὶ τῆς διὰ θερμὴν δυσκρασίαν τοῦ ἥπατος γινομένης κεφαλαλγίας.

Περὶ τῆς ἐπὶ ψυχρᾷ δυσκρασίᾳ γινομένης κεφαλαλγίας.

Περὶ θεραπείας.

Περὶ τῆς διὰ κάκωσιν στομάχου γινομένης κεφαλαλγίας.

Περὶ τῆς ἐπὶ χολώδει χυμῷ κεφαλαλγίας.

Θεραπεία, ἐὰν ὦσι γλίσχροι χυμοὶ κείμενοι ἐν τῷ στομάχῳ.

Περὶ τῆς ἐν πυρετοῖς γινομένης κεφαλαλγίας.

Περὶ τῆς ἐξ οἴνου κεφαλαλγίας.

Περὶ τῆς ἀπὸ πληγῆς κεφαλαλγίας. Σημεῖα αὐτῆς ἔστωσαν ταῦτα.

ια΄ Περὶ κεφαλαίας.

Σημεῖα τῆς διὰ φλεγμονὴν ἐγκεφάλου γινομένης κεφαλαίας.

Σημεῖα τῆς διὰ πνεύματος. Περὶ τῆς διὰ δριμύτητα γινομένης ὀδύνης.

Σημεῖα τοῦ εἶναι θερμὴν δυσκρασίαν. Θεραπεία.

Ἐὰν ὑπὸ χολῆς λύπηται ἡ ὀδύνη.

Ἔῤῥινον κεφαλῆς καθαρτήριον ποιοῦν πρὸς ὀφθαλμίαν καὶ ἐπιληψίαν.

Τὸ διὰ κυκλαμίνου ἔῤῥινον. Ἐπίθεμα πρὸς τὰς χρονίους κεφαλαλγίας.

Περὶ κηρωτῆς. Σμῆγμα κεφαλῆς πρὸς κεφαλαλγίαν.

Ἐφ' ὧν ποιότης ἐστὶν αἴτιον.

ιβ' Περὶ ἡμικρανίας.

Περὶ τῆς κατὰ συμπάθειαν γινομένης ἡμικρανίας.

Περὶ τῆς διὰ ψυχρὰν αἰτίαν τοῦ στομάχου γινομένης ὀδύνης περὶ τὸ ἡμίκρανον.

Κόκκοι οἱ διὰ κολοκυνθίδος.

Περὶ τῆς διὰ χολώδη χυμὸν γινομένης ἡμικρανίας. Ἐπιθέματα.

Χρίσματα πρὸς τοὺς ὑπὸ παχέων καὶ γλίσχρων χυμῶν ὀδυνωμένους τὸ ἡμίκρανον.

Ἐφ' ὧν διὰ χολὴν γίνεται ἡ ὀδύνη.

ιγ' Περὶ φρενίτιδος.

Τίς ἡ αἰτία τῆς φρενίτιδος. Σημεῖα μελλούσης γίνεσθαι φρενίτιδος.

Πῶς χρὴ διακρίνειν τοὺς παραφρονοῦντας ἀπὸ τῶν φρενιτικῶν.

Σημεῖα φρενίτιδος νόθης. Περὶ τῶν ἤδη χρονισάντων φρενιτικῶν.

Θεραπεία φρενιτικῶν. Περὶ οἰκημάτων. Περὶ διαίτης.

Περὶ λαχάνων. Περὶ ὀπώρας καὶ πόματος. Περὶ λουτροῦ. Περὶ οἴνου.

ιδ' Περὶ ληθάργου. Θεραπεία.

ιε' Περὶ ἐπιληψίας. Σημεῖα τῆς ἐπὶ στομάχῳ γινομένης ἐπιληψίας.

Σημεῖα τῆς ἐπὶ ἑτέρῳ μορίῳ ἐπιληψίας.

Σημεῖα τῆς ἐπὶ πρωτοπαθούσης κεφαλῆς ἐπιληψίας.

Διάγνωσις γάλακτος. Βοηθήματα πρὸς ἐπιληπτικούς.

Περὶ καθαρτηρίων. Θεραπεία τῶν ἐπὶ στομάχῳ ἐπιληπτιούντων.

Θεραπεία τῶν ἐπὶ ἑτέρῳ μορίῳ ἐπιληπτιούντων.

Καθαρτήριον τὸ διὰ λευκοῦ ἐλλεβόρου. Φυσικὰ πρὸς ἐπιληπτικούς.

Σημεῖα διαγνωστικὰ ἐπιληπτικοῖς.

Ἐκ τῶν Ἀπολλωνίου εὐπόριστον, εἴπερ ἰάσιμός ἐστιν ὁ ἐπιληπτικός.

Περὶ θεραπείας, ἐκ τοῦ δευτέρου Θεοδώρου. Ἄλλο. Ἄλλο. Ἄλλο.

Ἄλλο. Ἄλλο. Ἐκ τοῦ νη' Θεοδώρου Μοσχίωνος, πρὸς ἐπιληπτικούς.

Ἕτερον ὅπερ ἔλαβον ἐν Γαλλίᾳ. Ἕτερον ἐκ τοῦ Μυρσίνου τοῦ Θρακός.

Ἐκ τῶν παρακειμένων ἐν τοῖς Στράτωνος, λέγει δὲ Ὀρφέως εἶναι.

Ἐν δὲ ἰαωνίᾳ πρὸς ἐπιληπτικοὺς τοῦτο ἔμαθον.

Περίαπτα καὶ ἀντιπαθῆ πρὸς ἐπιληπτικούς, ἐκ τοῦ Ἀρχιγένους. Ἄλλο. Ἄλλο.

Ἕτερον πρὸς τὸ αὐτό, ὅπερ κεῖται ἐν τῷ Στράτωνος, λέγεται δὲ Μοσχίωνος.

Ἄλλο. Ἄλλο.

ιϛ' Περὶ μελαγχολίας.

Σημεῖα τῆς διὰ πλῆθος αἵματος γινομένης μελαγχολίας. Περὶ θεραπείας.

Θεραπεία τῆς διὰ σφήνωσιν αἵματος γινομένης μελαγχολίας.

Σημεῖα τοῦ δριμύτερον καὶ χολωδέστερον γεγονέναι τὸ ποιοῦν αἷμα τὴν μελαγχολίαν.

Θεραπεία τῆς ὑπὸ χολώδους καὶ δριμυτέρου αἵματος γινομένης μελαγχολίας.

Περὶ λουτροῦ. Περὶ τῆς ἀπὸ μελαγχολικοῦ αἵματος γινομένης μελαγχολίας.

Περὶ τῶν ἤδη χρονισάντων μελαγχολικῶν.

Περὶ τῆς δόσεως τοῦ ἀρμενιακοῦ λίθου.

Γραφὴ τῶν διὰ τοῦ ἀρμενιακοῦ λίθου καταποτίων.



ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ ἀλωπεκίας.



Ἀλωπεκία πάθος ἐστὶ, τριχῶν μάδησις, οὐκ ἐκ α'
μιᾶς δὲ αἰτίας, ἀλλ' ἐκ διαφόρων καὶ ποικίλων ἔχει
τὴν γένεσιν. γίνεται γὰρ καὶ διὰ φλέγμα θερμανθὲν καὶ
τραπὲν εἰς ἁλμυρὰν ποιότητα, καὶ διὰ χολὴν, καὶ με-
λαγχολικὸν χυμόν. σκοπεῖν οὖν χρὴ καὶ διαγινώσκειν
τὸ ποιοῦν αἴτιον τὸ πάθος, καὶ οὕτως ἐπὶ τὴν θεραπείαν
ἔρχεσθαι. Διάγνωσις. Διαγινώσκειν οὖν χρὴ
τὴν ποιοῦσαν αἰτίαν ἐκ τῆς χροιᾶς τῶν τριχῶν. αἱ
μὲν γὰρ ξανθαὶ χολώδη πλεονάζειν ἐνδείκνυνται κα-
κοχυμίαν· αἱ δὲ μέλαιναι τὸν μελαγχολικὸν χυμόν· αἱ δὲ λευκαὶ τὸ φλέγμα. οὕτω μὲν
οὖν ἐστι διακρίνειν ποίου πλεονάσαντος περιττώματος, γέγονε τὸ πάθος περὶ τὴν
κεφαλήν. Θεραπεία. Θεραπεύειν οὖν χρὴ τῷδε τῷ τρόπῳ. εἰ μὲν ἡ πλεονά-
ζουσα κακοχυμία τύχῃ πολλὴ οὖσα, προδιαιτήσας καλῶς, κάθαιρε τὸν πλεονά-
ζοντα χυμόν· εἰ δὲ ὀλίγη τις εἴη, ἀρκέσουσι πρὸς θεραπείαν οἱ ἀποφλεγματισμοὶ,
καὶ τὰ μερικὰ μόνα βοηθήματα· ἐφ' ὧν δὲ χρόνιόν ἐστι τὸ πάθος, τοῖς ἰσχυροτέροις κέ-
χρησο μᾶλλον βοηθήμασιν· ἐφ' ὧν δὲ μὴ πρὸ πολλοῦ τινος ἡ διάθεσις αὐτὴ συν-
έβη, τοῖς ἀσθενεστέροις τε καὶ μᾶλλον ἁπλουστέροις. ἐπεὶ οὖν τῶν βοηθημάτων τὰ μὲν
ἁπλᾶ, τὰ δὲ σύνθετα, τὴν ἀρχὴν πρῶτον ἀπὸ τῶν ἁπλουστέρων ποιησώμεθα,
ἐξ ὧν ἐστι τὸν εἰδότα τὰς δυνάμεις αὐτῶν, καὶ τὰ σύνθετα δύνασθαι ποιεῖν βοηθήμα-
τα. Περὶ ἁπλῶν βοηθημάτων. Ἀλκυόνιον τοίνυν καυθὲν καὶ μετὰ παλαιοῦ ἐλαίου ἀνα-
τριβὲν, καὶ περιχριόμενον τῷ τόπῳ καλῶς ἰᾶται τὰς ἀλωπεκίας. καὶ πεῖραν τούτου
πολλὴν ἔσχον ἐπὶ τῶν μὴ χρόνον ἐχόντων πολύν. ὁμοίως δὲ τούτῳ ποιεῖ καὶ ὁ φλοιὸς
τοῦ καλάμου, καὶ αἱ ῥίζαι καιόμεναι, καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων ὅλα καιόμενα· χρη-
σιμωτάτη καὶ ἀσφοδέλου ῥίζα, καὶ τὸ ἀβρότονον· αἰγὸς δὲ κόπρος, καὶ ὄνυχες αὐτῶν
καυθέντες καὶ ὄξει λειωθέντες, καὶ ὁ λιβανωτὸς δὲ καλῶς λειωθεὶς ποιεῖ ἐπὶ πλείονας
ἡμέρας· ἔτι δὲ ἰσχυρότερον δράσειεν, εἴπερ ἐν ἡλίῳ λειωθείη πάνυ καλῶς ἐπὶ πλείο-
νας ἡμέρας· ἢ τὴν περιστερεῶνα βοτάνην λειωθεῖσαν καλῶς ἐν ὄξει περίχριε, προ-
εκνιτρώσας καλῶς τὸν τόπον, καὶ ὀθονίῳ ἀποσμήξας· βέλτιον γὰρ οὕτω δράσει. καὶ ὁ λι-
βανωτὸς δὲ καὶ τῶν μυῶν ἡ κόπρος ἐξ ἴσου ὄξει λειούμενα ποιεῖ φύεσθαι ταχέως
τὰς τρίχας. κάλλιον δὲ προφυλάξαι τὸν τόπον ῥαφανῖσι καὶ κρομμύοις ἐγκαρσίοις
τμηθεῖσι, καὶ οὕτω χρήσασθαι τῷ βοηθήματι. Ἄλλο. Καὶ τοῦ ἐχίνου δὲ τοῦ
χερσαίου ἡ τέφρα ἀναληφθεῖσα πίσσῃ ὑγρᾷ * τριχοποιεῖ χριομένη, καὶ ταχέως

ἰᾶται τὸ τῆς ἀλωπεκίας πάθος. Ἄλλο. Ποιεῖ δὲ ὡσαύτως καὶ ἡ τῶν βατράχων τέφρα μετ' ὑγρᾶς πίσσης ἀναληφθεῖσα καὶ περιχριομένη. Ἄλλο. Πύρεθρον λειώσας ἅμα χολῇ μοσχείᾳ κατάχριε, συνεχῶς τοῦτο ποιῶν καὶ πρὸς τὰς χρονίας διαθέσεις. Ἄλλο. Κόπρον αἰλούρου μετ' ὄξους κατάχριε· καλόν ἐστι καὶ πάνυ φυσικὴν ἀντιπάθειαν ἔχει πρὸς τὸ πάθος. Περὶ συνθέτων βοηθημάτων. Χαλκοῦ κεκαυμένου < β', θείου ἀπύρου < β', ἀσφοδέλου < β' λειώσας σὺν κρόκῳ ᾠῶν, καὶ ἀνατρίψας, τὸν τόπον χρίε. Ἄλλο. Κάρυα βασιλικὰ καύσας ὁλόκληρα, λεῖα μετ' ἐλαίου, καὶ κατάχριε, προξυρήσας τὸν τόπον. Ἄλλο. Στέατος ἀρκτείου ℥ β', ἀδάρκης ℥ γ', * μυοχόδων ℥ γ', πίσσης ὑγρᾶς ℥ γ', λυχνελαίου ἀπὸ καύματος < ς' ἀναλαμβάνων, τὸν τόπον προξυρῶν χρίε. Ἄλλο. Ὄξους δριμέος ℥ α', σκορόδων, ῥοδίνου ἐλαίου ἀνὰ ℥ α' τρίψας, τὸν τόπον ἐρείκει λεῖα κατάχριε. Ἄλλο. Βατράχων ℥ γ', μυοχόδων, καλάμου φλοιοῦ τέφραν, πίσσης ὑγρᾶς, πράσου σπέρματος ἀνὰ ℥ α', κεδρέα ἀναλάμβανε, καὶ οὕτω περίχριε.

β'

Περὶ ῥεουσῶν τριχῶν.

Ἡ ῥύσις τῶν τριχῶν γίνεται διὰ πολλὰς αἰτίας. καὶ γὰρ δι' ἔνδειαν τῆς τρέφειν αὐτὰς καὶ αὐξάνειν ὕλης δυναμένης, καὶ διὰ πύκνωσιν τῶν πόρων, καὶ δι' ἀραιότητα, καὶ διὰ κάθαρσιν, ἔσθ' ὅτε μοχθηρῶν περιττωμάτων. ἐπεὶ οὖν διάφορα τὰ ποιοῦντα τὴν ῥύσιν εἰσὶν αἴτια καὶ οὐχ ἕν, ἀνάγκη πρὸς ἑκάστην ἐνίστασθαι, καὶ οὕτω ποιεῖν τὴν ἀκόλουθον θεραπείαν. εἰ μὲν γὰρ διὰ ξηρότητα πολλὴν ἡ ῥύσις γίνεται, καὶ διὰ τὸ ἐκδαπανᾶσθαι τὰ τρέφειν δυνάμενα τὰς τρίχας περιττώματα, τηνικαῦτα λούειν χρὴ συνεχέστερον, καὶ τρέφεσθαι ὑγραινούσαις τε καὶ εὐχύμοις καὶ ἑτοίμως ἀναδίδοσθαι δυναμέναις τροφαῖς, καὶ μηδὲν ἐχούσαις ἁλμυρὸν ἢ δριμύ· ἀλλὰ μηδὲ οἶνον πολὺν ἐπιτρέπειν πίνειν, μάλιστα δὲ τὸν ἄκρατον· μηδὲ συγχωρεῖν ἀφροδίσια πολλά. Περὶ λουτροῦ εἰς τὸ αὐτό. Ἔστω δὲ καὶ τὸ λουτρὸν εὔκρατον, μηδὲ πάνυ θερμὸν ἔχον τὸν ἀέρα ἢ τὴν ἔμβασιν. λαμβανέσθωσαν δὲ σίτλας εὐκράτου θερμοῦ, καὶ ἀλειφέσθωσαν τὴν κεφαλὴν πολλῷ ὑδρελαίῳ, μηδὲ σάπωνι ἢ νίτρῳ σμηχέσθωσαν τὴν κεφαλήν. οὐ γὰρ δεῖ πράττειν, ἐὰν ἐπὶ ἐνδείᾳ ἡ ῥύσις συμβαίνῃ τῶν τριχῶν.
εἰ δὲ δι' ἀραιότητα τῶν πόρων, καὶ διαφόρησιν τῶν ὑγρῶν, καὶ οἷον ἔκπτωσιν τῶν τρεφόντων αὐτὰς περιττωμάτων ἡ ῥύσις γίνεται, ἀκόλουθόν ἐστι τηνικαῦτα τοῖς ἐμψύχειν τε καὶ στύφειν δυναμένοις ἐπὶ πλέον κεχρῆσθαι βοηθήμασι, καὶ διαίτῃ τοιαύτῃ μηδὲν ἐχούσῃ δριμύ, ἀνευρύνειν καὶ ἀναστομοῦν τοὺς πόρους δυναμένην, οἷάπερ ἐστὶν εὔζωμα καὶ κάρδαμα, καὶ πράσα, καὶ κρόμμυα, καὶ σκόροδα. ταῦτα γὰρ πάντα τοῖς μὲν διὰ πύκνωσιν καὶ σφήνωσιν τῶν πόρων εἰσὶν ἐπιτήδεια. θριδακίνη δὲ καὶ μαλάχη, καὶ ᾠά, καὶ ἄρτος σιλιγνίτης εἰς εὔκρατον, ἢ εἰς ψυχρὸν ὕδωρ ἐμβρεχόμενος, πέπονες καὶ σίκυα, καὶ ἰχθύες οἱ σκληρόσαρκοι, καὶ τῶν χοιρείων κρεῶν τὰ μὴ λιπαρά, καὶ μάλιστα βόεια, καὶ πόδες βοῶν, καὶ * ἴσυκος, καὶ κτένια, καὶ κηρύκια εἰσὶν ὠφέλιμα. οἴνου δὲ ἀπεχέσθωσαν, καὶ μάλιστα παλαιοῦ, ἐν δὲ τῷ λουτρῷ εἰσιόντες ὕδατι βρεχέσθωσαν τὴν κεφαλήν, καὶ πάλιν ἐν τῇ τοῦ ψυχροῦ εἰσιόντες δεξαμενῇ, ἐκ τοῦ ῥέοντος δεχέσθωσαν κατὰ τῆς κεφαλῆς πολύ, καὶ ῥοδίνῳ, ἢ ὀμφακίνῳ, ἢ μηλίνῳ, ἢ μυρσινίνῳ ἀλειφέσθωσαν. οὕτω γὰρ διαιτωμένων αὐτῶν, οὐ μόνον ἡ γινομένη κωλυθήσεται ῥύσις,

ἀλλὰ

ἀλλὰ καὶ ἀνάγκη βλαστήσονται τρίχες. εἰ δὲ διὰ πύκνωσιν τῶν πόρων κωλύεται τῶν τριχῶν ἡ γέννησις, τηνικαῦτα τοῖς ἀραιοῦν δυναμένοις καὶ μετρίως θερμαίνειν δεῖ μᾶλλον κεχρῆσθαι, καὶ τότε πλέον, ἡνίκα καὶ ὁ καιρὸς εἴη χειμών, καὶ ὁ κάμνων ἐπὶ πλέον ψυχροῖς ὁμιλήσας, ἢ καὶ τὴν κρᾶσιν ψυχροτέραν καὶ φλεγματικωτέραν ἔχει. ἀλλ' ἐπειδὴ τὰ ἀραιοῦντα περιτρέπεται μὲν τὴν ὕλην, οὐκ ἐᾷ δὲ αὐτὴν ἐμμένειν, καὶ τρέφειν, καὶ γεννᾶν τὰς τρίχας, μίγνυσθαι χρὴ τούτοις καὶ τῶν ῥωννύειν δυναμένων καὶ πυκνούντων ἠρέμα τὴν ἐπιφάνειαν, ὥστε μικτὴν εὑρίσκεσθαι δύναμιν οὖσαν ἐν τῷ βοηθήματι, ἑλκτικήν τε ἅμα, καὶ τρέφειν δυναμένην αὐτάς, καὶ καθεκτικήν, διὰ μὲν τῆς προσούσης θερμότητος, ἑλκτικήν, διὰ δὲ τῆς ψύξεως, καθεκτικήν. πολλὰ μὲν οὖν εἰσι φύσεων πολλῶν μικτὴν ἔχοντα δύναμιν, ἐξ ὧν ἐστι τὸ λάδανον, γλεύκινον ἔλαιον, ὀμφάκινον, καὶ τὸ τῶν μυρσίνων. εἰσὶ δὲ καὶ ἀραιωτικὰ πάμπολλα, οἷον ἥ τε τῶν βατράχων τέφρα, καὶ τὸ κρόμμυον, καὶ τὸ ἀλκυόνιον, καὶ ἡ θαψία, εὐφόρβιόν τε καὶ νᾶπυ, καὶ ὅσα τοιαῦτα. οἷς ἅπασι δυνήσῃ χρήσασθαι, τῶν μὲν ἰσχυροτέρων ἐκλύων τὴν δύναμιν, τῶν δὲ ἀσθενεστέρων ἐπιτείνων. εἰ δὲ διὰ κάθαρσιν τῶν ἐν τῇ κεφαλῇ περιττωμάτων γίνεται ῥύσις, οὐδὲ ὅλως δεῖ πολυπραγμονεῖν, ὥσπερ ἐπὶ τῶν ἐκ νόσου ἀναλαμβανομένων. ἀρκεῖ γὰρ μόνη καὶ ἡ τοῦ χρηστοῦ λοιπὴ αἵματος γέννησις, καὶ ἡ εἰς τὸ κατὰ φύσιν ἐκ τῆς νόσου ἐπάνοδος. Τὸ διὰ λαδάνου. Λάδανον ἀπόβρεξον ἐν μυρσινελαίῳ καὶ οἴνῳ, ὡς μέλιτος ἔχειν πάχος, καὶ χρίε τὴν κεφαλὴν πρὸ βαλανείου καὶ μετὰ βαλανεῖον. βέλτιον δέ ἐστι καὶ πολύτριχον ἐπεμβάλλειν, ὅ τινες ἀδίαντον καλοῦσι, πρὸς ἥμισυ μέρος τοῦ λαδάνου, καὶ χρίεσθαι μετὰ μυρσινελαίου ἀναλαμβανόμενον. εἰ δὲ χειμὼν εἴη, καὶ ψυχρὰν ἔχοι τὴν κεφαλὴν ὁ κάμνων, καὶ τῶν μικρὰ θερμαινόντων καὶ ἀραιωτικῶν πρόσπλεκε τῷ βοηθήματι, οἷον, νάρδου ὀλίγου, καὶ κυπρίνου, ἢ ἄλλου τινὸς λεπτομεροῦς καὶ εὐώδους βοηθήματος.

Ἄλλο. Ἀνεμώνης τὸ ἄνθος τρίψας μετ' ἐλαίου, κατάχριε. Ἄλλο. Περιστερεῶνα ὀρθὸν σὺν ταῖς ῥίζαις ξηράνας καὶ τρίψας, σῆθε λεπτοτάτῳ κοσκίνῳ, εἶτα μίξας ἐλαίῳ, ὥστε γλοιῶδες πάχος γενέσθαι, εἰς χαλκοῦν [illegible]γεῖον ἀπόθου, καὶ ὅταν ἡ χρεία, μετ' ἐλαίου χρῶ.

Πρὸς μέλανσιν τριχῶν. γʹ

Κηκίδων, ἀκακίας, λεπίδος σιδήρου, χαλκάνθου, στυπτηρίας ἐξ ἴσου λαβών, ἀπόβρεξον οὔρῳ παιδὸς ἀφθόρου ἡμέραν μίαν, εἶτα σμήξας τὰς τρίχας, χρίσον, καὶ δῆσον τὴν κεφαλὴν ἐπὶ ἡμέρας τρεῖς. πεπείραται. Ἄλλο. Καρύων χλωρῶν τοῦ φλοιοῦ οὐγ. γʹ, πρίνου καρποῦ οὐγ. ϛʹ, οἴνου μέλανος ξε. γʹ, ἕψε ἕως εἰς τρίτον ἔλθῃ, καὶ τὸ λοιπὸν ἐκθλίψας, ἀνακόπτε ἐλαίῳ μυρσίνῳ ξε. αʹ. ἡ χρῆσις καθ' ἡμέραν. Ἄλλο. Οἴνου μέλανος παλαιοτάτου οὐγ. γʹ ἔμβαλλε εἰς μολύβδινον ἀγγεῖον, καὶ μολύβδου * ῥίνισμα, οὐγ. βʹ, καὶ ἔασον βρέχεσθαι ἡμέρας ιεʹ, εἶτα ἐπίχεε ἐλαίου πρωτείου, καὶ ἀνακόπτων, πρόστριβε· μάλιστα ἀνδράσιν. Ἄλλο. Κηκίδας ἑφθὰς τρίψας, κατάπλαττε τὰς τρίχας νύκτα καὶ ἡμέραν, ἐκ τῆς κοίτης δὲ ἀνιστάμενος, κλύζου ὕδατι ψυχρῷ.

Πυρρὰς τρίχας βάψαι καὶ ξανθὰς ποιῆσαι.

Λαβὼν ζιγγιβέρεως μέρος ἕν, ἁλὸς ἄνθους μέρος ἕν, λείωσον ἐπιμελῶς, καὶ ποιήσας γλοιοῦ πάχος, προσμήξας τὴν κεφαλήν, ἐπίχριε τῷ φαρμάκῳ, καὶ ἔα νύ-

κτα καὶ ἡμέραν, καὶ ἀπόνιπτε. Αλλο. Θέρμους ὠμοὺς ἐν ὕδατι κατάχριε, κυπέρου φύλλα βρέξον χυλῷ στρουθίου, καὶ χρῶ τῷ ἀποβρέγματι.

Ξανθὰς τρίχας ποιῆσαι.

Λιθαργύρου γο δ', * τος γο δ', ἀσβέστου γο δ', ὕδατος ὅσον δυνατὸν ποιῆσαι γλοιοῦ πάχος, κατάχριε, πρόσβαλλε σεύτλου φύλλα ἐπὶ ἡμέρας γ' ἢ δ', καὶ ἀπόλουε.

Τρίχας μελαίνας ξανθὰς ποιῆσαι.

Τρυγίαν οἴνου βάλλε εἰς γλοιὸν βαλανείου, καὶ ποιήσας πάχος κηρωτῆς, χρίε, ὅταν θέλῃς καθεύδειν, καὶ εἰς τὸ πρωῒ γίνονται ξανθαί.

Βαφὴ χρυσοειδής.

Στυπτηρίας < ς', σανδαράχης < ς', κρόκου < β', θαψίας, ἤτοι οἱ βαφεῖς χρῶνται, ἣν οἱ ῥωμαῖοι ἐρβαρυβιακάλινους καλοῦσι < β', κονίας * πηλοποιητικῆς ξε δ', ἕψε τὴν κονίαν καὶ τὴν θαψίαν, ἕως οὗ λειφθῇ τὸ ἥμισυ, εἶτα ἐπίβαλλε τὰ ξηρά, καὶ μετὰ τὴν χρῖσιν ἀπόνιπτε ὕδατι τηλίνῳ καὶ κριθίνῳ, καὶ κυμινίνῳ.

Τρίχας λευκὰς ποιῆσαι.

Φλώμου λευκοῦ τὸ ἄνθος καῦσον, καὶ σμῆχε αὐτὸ σμήγματι. Αλλο. Φλώμου καρπόν, στυπτηρίας στρογγύλης, ῥεφάνου φλοιοῦ, ἀνὰ γο α' κόψον, καὶ μίξον ταυροκόλλης < δ', καὶ χρῶ.

δ' Περὶ πιτυριάσεως.

Η πιτυρίασίς ἐστι, συντόμως εἰπεῖν λεπτῶν καὶ πιτυροειδῶν σωμάτων, ἔκ τε τῆς ἐπιφανείας τῆς κεφαλῆς, ἢ καὶ ἐκ τοῦ ἄλλου σώματος ἀπότηξις, χωρὶς ἑλκώσεως κατὰ τὸ πλεῖστον, διὰ τοῦτο καὶ πιτυρίασις ὠνόμασται. γίνεται δὲ τὸ πάθος τοῦτο διὰ τὸ κακοχυμίαν τινὰ ἀνενεχθῆναι ἐν τῇ κεφαλῇ, φλέγματος ἁλμυροῦ ἢ χολώδους καὶ μελαγχολικοῦ αἵματος. εἰ μὲν οὖν καθ' ὅλον εἴη τὸ σῶμα τοιαῦτα, περὶ τοῦ ὅλου δεῖ πρόνοιαν ποιεῖσθαι πρότερον, εἶτα οὕτως ἐπὶ τὰ κατὰ μέρος ἐλθεῖν βοηθήματα. εἰ δὲ μηδὲν ὁρᾶται καθ' ὅλον τὸ σῶμα περίττωμα, καὶ μόνα γὰρ δύναται θεραπεῦσαι καλῶς καὶ τὰ τοῖς πάλαι καὶ ἡμῖν εὑρεθέντα βοηθήματα. Θεραπεία. Κιμωλίαν προβρέξας ὕδατι, μίξον χυλὸν τεύτλου, καὶ κατάχριε, καὶ ἔα ἕως ἂν ἀποξηρανθῇ. εἶτα ἀποπλύνας λεῖον λιβανωτὸν σὺν οἴνῳ καὶ ἐλαίῳ κατάχριε, καὶ ἔα ἕως ἂν ἀποξηρανθῇ, ἢ σταφίδα ἀγρίαν σὺν ἐλαίῳ κατάχριε. Αλλο. Πρὸς δὲ τὰς ὑγροτέρας πιτυριάσεις, ἅλμῃ ἀπόκλυζε, ἢ θέρμων ἀποβρέγματι. πεπείραται γάρ.

ε' Πρὸς ψυδράκια καὶ ἐξανθήματα γινόμενα ἐν τῇ κεφαλῇ.

Ψυδράκιά εἰσι μικραὶ ὑπεροχαὶ φλυκτίσιν ὅμοιαι παρακείμεναι τῆς ἐπιφανείας. τὰ δὲ ἐξανθήματα κατὰ τὴν ἐπιφάνειαν ἐπιπόλαιαι ἑλκώσεις ὑπέρυθροι καὶ τραχεῖαι. ἀμφότερα δὲ θεραπεύονται δυνάμεσι ταῖς ὑποτεταγμέναις. Θεραπεία. Λιθαργύρου, ψιμμυθίου, ἀνὰ γο δ', στυπτηρίας, πηγάνου φύλλα χλωρά, ἀνὰ γο β', ὄξους καὶ μυρσινελαίου κατάχριε, πλέον δὲ πρὸς τὰ ἐξυγρασμένα.

ς' Πρὸς τὰ ἐν τῇ κεφαλῇ ψωρώδη καὶ ἰχωρώδη.

Πήγανον καὶ στυπτηρίαν λεάνας μετὰ μέλιτος, χρῶ τὴν κεφαλὴν προξυρῶν. ἐὰν

δὲ ἀφίσταται τῆς κεφαλῆς τὸ δέρμα, ἰτέας φύλλα ἑφθὰ μετὰ μέλιτος κατάπλαττε.

Πρὸς τὰ ἐν τῇ κεφαλῇ ἑλκύδρια πυκνὰ καὶ ἐρυθρά, παραπλήσια θήλαις, ὑφ' ὧν ἰχῶρες ἀποτήκονται. ζ'

Περιξυρήσας τὴν κεφαλὴν * καὶ μίξας θείῳ ἀπύρῳ μετὰ οὔρου ἀνθρωπουλειῶν χρῶ. Ἄλλο πρὸς τὰ ἐν τῇ κεφαλῇ. Λιθαργύρου, ψιμμιθίου ἀνὰ < ιβ', θείου ἀπύρου Γο η', κηρωτῇ μυρσίνῃ ἀναλάμβανε καὶ χρῶ. Ἄλλο. Μελανθείαν μετὰ ὄξους κατάχριε.

Περὶ ἀχώρων. η'

Καὶ ὁ ἀχὼρ πάθος ἐστὶ περὶ τὴν ἐπιφάνειαν τῆς κεφαλῆς γινόμενος, μικρὰς διατρήσεις ἔχων, ἐξ ὧν ἔξεισιν ὑγρὸν ἰχῶρι παραπλήσιον, διὰ τοῦτο καὶ ἀχὼρ τὸ πάθος καλεῖται. ἔστι δὲ τὸ περιρρέον, ὁτὲ μὲν χολῶδες ἢ φλεγματῶδες, ὁτὲ δὲ καὶ μελαγχολικόν. διαγινώσκειν οὖν χρὴ τὸ κυρίως αἴτιον. οὐχ ἡ αὐτὴ γάρ ἐστιν ἐπὶ πάντων θεραπεία. χολώδους μὲν γὰρ ὄντος τοῦ πλεονάζοντος περιττώματος, λεπτόν ἐστι τῇ συστάσει καὶ ὕπωχρον τῇ χροιᾷ· εἰ δὲ μὴ λεπτὸν τῇ συστάσει καὶ ὕπωχρον τῇ χροιᾷ, ἀλλὰ παχὺ καὶ γλίσχρον, φλέγμα τὸ πλεονάζον καὶ ποιοῦν τὸν ἀχῶρα· εἰ δὲ μηδὲν τούτων εἴη, φαίνοιντο δὲ οἱ τόποι ἐξ ὧν ἀπορρεῖ τὸ ὑγρόν, σκληροὶ μᾶλλον καὶ ὑπερέχοντες τῆς ἐπιφανείας, καὶ στεγνότεροι, ὡς μηδὲν ἐξ αὐτῶν ἀπορρεῖν ἢ μόλις ὀλίγον, γίνωσκε μελαγχολικὸν εἶναι τὸ ποιοῦν τὸν ἀχῶρα. λοιπὸν δὲ καὶ τὰ παρηγησάμενα αἴτια, ἥτε κρᾶσις καὶ ἡλικία, καὶ ἡ γεῦσις. πικρότητος μὲν γὰρ αἰσθάνονται οἷς χολῶδές ἐστι τὸ αἴτιον· ἁλμυρᾶς δὲ ποιότητος, οἷς ἐστι τὸ φλέγμα * ὀξώδους δέ, οἷς μελαγχολικός ἐστι χυμός. ἀπὸ τῆς ἁφῆς δὲ διαγινώσκειν ἐστὶ δυνατόν. θερμότερα γὰρ φαίνεται ἐφ' ὧν ἐστι χολῶδες, ψυχρότερα δέ, ἐφ' ὧν φλεγματῶδες, ἧττον δὲ ψυχρά, ἐφ' ὧν μελαγχολῶδες. οὕτω μὲν διαγινώσκεις τοὺς τίκτοντας τὸν ἀχῶρα χυμούς. Θεραπεία. Θεραπεύειν δὲ χρὴ παραπλησίως τοῖς ἔχουσι τὸ τῆς ἀλωπεκίας πάθος, εἰ μὲν πληθωρικὸν εἴη καὶ κακόχυμον τὸ πᾶν σῶμα, καθαίρειν δεῖ πρότερον, καὶ ὅλου ποιεῖσθαι πρόνοιαν τοῦ σώματος, ἔπειτα ἐπὶ τὰς κατὰ μέρος ἔρχεσθαι βοηθείας.

Περὶ κηρίου. θ'

Εἰδέναι δὲ δεῖ καὶ τὸ κηρίον πάθος ὑπάρχον ἐοικὸς τοῖς ἀχῶρσι, μεγέθει μόνον διαφέρον. αἱ γὰρ κατατρήσεις τῶν πόρων, ὅθεν ἔξεισι τὸ ὑγρόν, ἐοίκασι τοῖς κηρίοις τῶν μελιττῶν, ὅθεν καὶ κηρίον ὠνομάσθη παρὰ τοῖς παλαιοῖς. ἐπὶ δὲ τῶν καλουμένων ἀχώρων, οὐκ ἔστιν ἰδεῖν τὰς κατατρήσεις τῶν πόρων, ὅθεν ἐξ αὐτῶν ἔξεισι τὸ ὑγρόν. ὅσα οὖν πρὸς ἀχῶρας εἴρηται, ταῦτα καὶ ἐπὶ κηρίων ὀνομάζειν προσήκει. ἀλλ' ἐπειδὴ πολλὰ τυγχάνει τὰ ποιοῦντα πρὸς τοὺς ἀχῶρας, προσδιορίζειν δεῖ, τίνα τούτων ἐστὶν ἰσχυρότερα καὶ διαφορητικώτερα, καὶ πάλιν ποῖα ἀποκρουστικά, ποῖα δὲ τὴν μικτὴν ἔχοντα δύναμιν * εἴπωμεν οὖν ἐπὶ ποίων διαθέσεων ποίοις δεῖ μᾶλλον κεχρῆσθαι βοηθήμασιν.

Περὶ κεφαλαλγίας. ι'

Ἡ κεφαλαλγία σύμπτωμά ἐστιν. ἔχει δὲ πολλὰς αἰτίας τὰς ἐργαζομένας αὐτήν. καὶ γὰρ

ὑπὸ ποιότητος συμβαίνει πολλάκις καὶ μόνης, καὶ ὑπὸ πλήθους συναμφοτέρων, καὶ ἁπλῶς ὅ,τι ἂν τις εἴπῃ προκαταρκτικῶν αἰτιῶν, εἴτε συνεκτικῶν, εὑρήσει καὶ τοῦτο κεφαλαλγίας ποιητικόν. ἐπεὶ οὖν οὐκ ἔστιν ἓν αἴτιον, ἀλλὰ διάφορα τὰ παρασκευάζοντα γίνεσθαι κεφαλαλγίαν, διάφορον ἐξ ἀνάγκης δεῖ ποιεῖσθαι καὶ τὴν θεραπείαν, πρὸς ἕκαστον τῶν τοιούτων αὐτῆς ἀποβλέποντας. καὶ διὰ τοῦτο ποιοῦμεν ἀπὸ τῆς κατὰ ποιότητα κεφαλαλγίας τὴν θεραπείαν ἀρχόμενοι. εἰδέναι τοίνυν χρὴ ὅτι αἱ σφοδρόταται κεφαλαλγίαι γίνονται κατὰ τὰς δραστικὰς ποιότητας, καὶ μάλιστα τὴν θερμήν· αἱ δὲ κατὰ ξηρότητα γινόμεναι κεφαλαλγίαι τὸ σφοδρὸν οὐχ ὁμοίως κέκτηνται. αἱ γὰρ ὑγραὶ ποιότητες οὐδ᾽ ὅλως ἐπιφέρουσιν ὀδύνην ὅσον ἐφ᾽ ἑαυταῖς, εἰ μὴ δριμύτης τύχοι συμπεπλεγμένη, καὶ ὅτε μὴ μετὰ θερμότητος ἢ ψυχρότητος, ἀλλὰ μετὰ πλήθους οἱ χυμοὶ τύχοιεν ὄντες, λόγῳ τῆς διατάσεώς τε καὶ ἐμφράξεως ὀδύνας τίκτουσιν, ἐὰν ὦσι μάλιστα παχεῖς καὶ κολλώδεις. ἀρξώμεθα οὖν λέγειν τὰς θεραπείας ἀπὸ τῶν διὰ προκαταρκτικῶν αἰτιῶν συνισταμένων κεφαλαλγιῶν τὴν ἀρχὴν ποιούμενοι. Διάγνωσις τῆς ἐπὶ ἐγκαύσει γινομένης κεφαλαλγίας. Τὰ σημεῖα πᾶσι δῆλα καὶ ὁμολογούμενα τυγχάνει τῆς ἐπὶ ἐγκαύσει καὶ θερμῇ δυσκρασίᾳ πασχόντων τὴν κεφαλήν. ἔστι γὰρ ἰδεῖν καὶ τούτων τὸ δέρμα θερμότερον τῇ ἀφῇ καὶ ξηρότερον, εὐθὺς κατὰ τὴν πρώτην ἐπιβολήν, ἄνευ τοῦ χρονίσαι, καὶ τοὺς ὀφθαλμοὺς ἐρυθρούς· χαίρουσι δὲ καὶ τῷ ψυχρῷ προσαντλούμενοι, καὶ οὐ μόνον παραμυθοῦνται τοῦτο ποιοῦντες, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελοῦνται.

Θεραπεία τῆς ἐπὶ ἐγκαύσει γινομένης κεφαλαλγίας. Ὅτι τῶν ψυχόντων χρῄζουσιν οἱ τὴν κεφαλὴν ἐγκαυθέντες, ἅπασι πρόδηλον. ἀλλ᾽ ἐκείνων ὅσα καὶ λεπτομερῆ δύναμιν ἔχει * ἔξεστιν οὖν καὶ τὸ ῥόδινον συγκραθέν, ὀλίγου προσβαλὼν ὄξους. ἔτι γὰρ μᾶλλον διικνεῖσθαι δύναται ῥόδινον μετὰ ὄξους συγκραθέν. εἰ δὲ ἐπὶ πλέον ἡ θερμασία φαίνοιτο κρατοῦσα, καὶ τὴν τῶν ψυχόντων δύναμιν ἐπιτείνειν σε χρή, ἀειζώου περιπλέκοντα χυλόν, ἢ ἑρπύλλου, ἢ τρυξίνης, ἢ ἀνδράχνης, ἢ τῆς ἀγρίας θριδακίνης, ἢ σέρεως, ἢ ἰντύβων, ἢ κολοκύνθης, ἢ ῥόδων, ἢ ὄμφακος, ἢ χυλὸν πολυγόνου, ἢ χυλὸν ῥοιῶν, καὶ μάλιστα τῶν ὀξιζουσῶν, ἢ ἄλλων τῶν * ὅσων, εἴ γε νοήσειας ἐμψυχόντων, ἐκτὸς τῶν πάνυ ναρκούντων, ἢ στυφόντων ὡς εἴρηται. φεύγειν οὖν χρὴ καὶ διὰ τοῦτο τὸ μανδραγόρινον ἔλαιον, καὶ τὰ διὰ κωνείου, καὶ ὀποῦ μήκωνος, εἰ μὴ πρότερον διὰ πολλὴν ἀγρυπνίαν ἀναγκασθείημεν αὐτοῖς χρήσασθαι, καὶ τότε μετὰ πολλῆς ἀσφαλείας κατὰ βραχὺ προσφέρειν. ἀνύσαντας δὲ τὸ δέον εὐθὺς ἀποφυγεῖν δεῖ καὶ τὴν τῶν ψυχόντων χρῆσιν, καὶ μάλιστα ἐπὶ τῶν πληρωματικῶν σωμάτων, καὶ οἷς ἐστι βάρους συναίσθησις ἐν τῇ κεφαλῇ. συμβαίνει γὰρ πολλάκις ἐπὶ τῶν πλῆθος ἐχόντων πληροῦσθαι τὴν κεφαλὴν ὑπὸ τῆς ἐγκαύσεως, δίκην σικύας ἐπισπωμένης εἰς αὐτὴν τὰ περιττά. ὥσπερ ἐπὶ τῶν ἐπὶ ἐγκαύσει ἅμα καὶ σφηνώσει ἐχόντων, φεύγειν τὰ πάνυ ψύχοντα, ἐλαίῳ δὲ κεχρῆσθαι χαμαιμηλίνῳ νεωστὶ μᾶλλον κατεσκευασμένῳ· εἰ δὲ παλαιότερον τύχοι, προσπλέκειν αὐτῷ καὶ * ῥοδίνῳ, δύο μὲν μέρη τοῦ χαμαιμηλίνου, ἓν δὲ τοῦ ῥοδίνου, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ ἐπίσης. ἄλλως γὰρ ἄλλο τὸ ποσόν, καὶ οὐχ ὡρισμένως· καταμανθάνειν οὖν ἅπαντα δεῖ, καθὼς ὁ ἀληθὴς λόγος Ἱπποκράτους παρακελεύεται, καὶ οὕτω ποικίλλειν τὸ ποσόν, ἀποβλέποντα πρός τε τὴν ἡλικίαν, καὶ ὥραν, καὶ χώραν, καὶ ἕξιν σώματος, καὶ κρᾶσιν. τούτῳ δὲ κανόνι προσέχων,

χων, ἐπιτεύξῃ τῆς ἀκριβείας τοῦ ποσοῦ. Περὶ κηρωτῆς τοῦ αὐτοῦ πάθους. Εἰ δὲ ἐπιμένοι καὶ μετὰ τούτων γινομένη ἡ θερμὴ δυσκρασία, καὶ ταῖς ἐπὶ μᾶλλον ψύχειν δυναμέναις ἀναγκαίως χρησόμεθα κηρωταῖς, καὶ μάλιστα τῇ ῥοδίνῃ προσλαμβανούσῃ ὀλίγου ὄξους, ἢ χυλοῦ ἀνδράχνης, ἢ περδικιάδος, ἢ τινος ἄλλου τῶν ἔμπροσθεν εἰρημένων. δεῖ δὲ καὶ περιπλύνειν ἀεὶ τὴν κηρωτὴν ψυχρὸν ὕδωρ ἐμβάλλοντα, μετὰ τὸ καλῶς ἐν τῷ πυρὶ ἄνευ τοῦ διατακῆναι· καὶ τοῦτο ποιεῖν οὐ μόνον ἀλλάσσοντα τὸ πρότερον ὕδωρ, ἀλλὰ καὶ εἰς ὕστερον ἐμβάλλοντα καθαρόν. ἐπειδὰν δὲ τοῦτο ποιήσῃς, ἐπιμίγνυε μετὰ μικρὸν πάλιν * τῷ ῥοδίνῳ τῆς κηρωτῆς ἐπιρραίνων, ὡς εἰρήκαμεν, ὕδατος, καὶ ὄξους, ἢ χυλοῦ τινος, ἕως ἂν μιγῶσιν ἀμφότερα καλῶς. οὕτω δὲ γινομένης τῆς κηρωτῆς, ἐπίπλαττε ἐν ψιλῷ ῥάκει, καὶ ἐπιτίθει τῇ κεφαλῇ πάσῃ, καὶ μάλιστα τοῖς κροτάφοις, ὥστε διαδίδοσθαι τὸ φάρμακον, τὰς δὲ τρίχας ἀφαιρεῖν δεῖ, καὶ συνεχέστερον ἀλλάττειν. οὕτω γὰρ προειρημένων ἡμῖν, ἡ κρατοῦσα δυσκρασία μεταβληθήσεται ἐπὶ τὸ εὔκρατον ταχέως.

Περὶ τῆς ἐπὶ θερμῇ δυσκρασίᾳ χρονιζούσης κεφαλαλγίας.

Ἐπὶ δὲ τῶν ἐπιμόνως ἐχόντων τὴν θερμὴν δυσκρασίαν, δεῖ ποιεῖν καὶ τὰ εἰρημένα. μηδὲν δὲ ἀνυσάντων αὐτῶν, καὶ τοῖς ἀναγκαίοις καὶ ἰσχυροτέροις δεῖ χρῆσθαι βοηθήμασιν, ἐν οἷς ἐστι καὶ ὁ τροχίσκος ἔχων οὕτω. Τροχίσκος πρὸς χρονίαν κεφαλαλγίαν, καὶ θερμὴν δυσκρασίαν. Κρόκου γο ιε´, χαλκάνθης γο ι´, ψιμυθίου... εἰας σχιστῆς < ις´, σμύρνης γο γ´, ὀμφάκου γο γ´, χαλκίτεως κόμμεως ἀνὰ γο γ´, οἴνου αὐστηροῦ τὸ ἀρκοῦν, τρίβε καλῶς, καὶ ποίει τροχίσκον ἐπὶ τῆς χρείας ἀνὰ ὀξυκράτου, καὶ χρῶ ἐπὶ τῶν ἤδη χρονίων θερμῶν δυσκρασιῶν. εἰ δὲ καὶ ἀγρυπνία προσείη τῷ κάμνοντι, πρόσπλεκε μᾶλλον τὸν χυλόν. οὕτω γὰρ ἀμφότερα θεραπεύσεις καλῶς, καὶ τὴν δυσκρασίαν ἅμα, καὶ τὴν ἀγρυπνίαν τοῦ κάμνοντος.

Περὶ τῆς διὰ θερμὴν δυσκρασίαν τοῦ ἥπατος γινομένης κεφαλαλγίας.

Εἰ δὲ πολλάκις διὰ τὸ εἶναι θερμὸν τὸ ἧπαρ γίνοιτο ἡ κεφαλαλγία, ἐκκαίοντος τοῦ ἥπατος καὶ ἀναθυμιῶντος ἀτμοὺς ἄνω περὶ τὴν κεφαλήν, ἀναγκαῖόν ἐστιν εἰς τὸ προηγησάμενον προσφέρειν σύμπασαν τὴν θεραπείαν, ἔξωθεν μὲν ἢ μήλινον ἔλαιον, ἢ ῥόδινον, ἢ ὑδρέλαιον, ἢ κηρωτήν· ἔσωθεν δὲ τροφῇ μάλιστα πλείονι, καὶ ἐμψύχειν δυναμένῃ, καὶ δυσκατεργάστῳ, ὥρας β´, ἢ γ´, ἄρτον λαμβάνειν εἰς εὔκρατον, ὥστε μὴ κινῆσαι τοὺς ἀτμοὺς ἐπὶ τὴν ἄνω φοράν, ἢ κίτρου, ἢ μήλου, ἢ ἄλλου τινὸς τῶν ἐμψυχόντων. ἐν ἀπορίᾳ δὲ τροφῆς καὶ ὕδατος ψυχροῦ πινέτωσαν, καὶ μάλιστα, ἐὰν ἔθος ἔχοιεν ὑδροποτεῖν οἱ κάμνοντες. εἰ δὲ μή γε, πάντως εἰς τὸ μέσον τῆς τροφῆς, ἢ μετὰ οἴνου, ἢ ἐκτὸς οἴνου προσφερέσθωσαν αὐτῷ, καὶ ἁπλῶς εἰπεῖν, τὴν σύμπασαν δίαιταν τοιαύτην ποιεῖν. οὕτω δὲ καὶ ἐπὶ τῶν ἐχόντων θερμότερον τὸν στόμαχον καὶ τὴν γαστέρα ἢ σπλῆνα, πρακτέον.

Περὶ τῆς ἐπὶ ψυχρᾷ δυσκρασίᾳ γινομένης κεφαλαλγίας.

Ὅσοι δὲ ἐπὶ ψυχρᾷ δυσκρασίᾳ γινομένην κεφαλαλγίαν ἐσχήκασιν, οὗτοι πάντα πάσχουσι τὰ ἐναντία τοῖς ἐπὶ ἐγκαύσει κεφαλαλγοῦσι. καὶ γὰρ οὔτε ἁπτομένοις ἐστὶ τὰ περὶ τὴν κεφαλὴν θερμά, οὔτε ἐρυθρὰ τὰ περὶ τὸ πρόσωπον καὶ κατάξηρον, καὶ συμπεπτωκός, ἀλλὰ καὶ τοὐναντίον ἀσύμπτωτον καὶ ὠχρόν. οὕτω μέντοι διαγνώσῃ τοὺς ἐπὶ ψύξει καὶ πυκνώσει τῆς κεφαλῆς ὀδυνωμένους. λοιπὸν δὲ καὶ ἡ δίαιτα, καὶ τὰ παρηλαφ-

κτικὰ αἴτια, καὶ τὰ προειρημένα πολυπραγμονοῦντι σοι σαφῶς παρέστησε τὴν διάγνωσιν. Περὶ θεραπείας. Θεραπεύειν οὖν χρὴ καθόλου μὲν τοῖς θερμαίνουσι· λοιπὸν δὲ πρὸς τὸ μέγεθος τῆς δυσκρασίας, ἀμείβειν χρὴ καὶ τὴν δύναμιν, ἄλλοτε πηγάνινον ἔλαιον ἐπιβάλλοντας τῇ κεφαλῇ, ἢ δάφνινον, ἢ ἴρινον, ἢ ὀπὸν βαλσάμου· ὅπερ καὶ μάλιστα ἐπιτυγχάνεται ἐφ᾽ ὧν ἡ ὀδύνη διὰ παχύτερα καὶ γλισχρότερα φλέγματα γίνεται. χρίειν δὲ αὐτοῖς κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων * ὥσπερ καὶ τὸ κυφώνιον, καὶ ὅσα διὰ πεπέρεως καὶ εὐφορβίου σύγκειται χρίσματα ἢ ἀλείμματα· καὶ πολλά εἰσιν ἀναγεγραμμένα, ἐξ ὧν ἐστιν, εἰ δεήσει κατασκευάζειν, ἀναλέγεσθαι πρὸς ἕκαστον χρήσιμον. τούτοις τοίνυν τὸν οἶνον εἰ δοίης λεπτόν, οὐ βλάψεις, οὐδὲ ἄλλο τι τῶν λεπτυνόντων καὶ θερμαινόντων. πάντα γὰρ αὐτοὺς ὠφελεῖ τὰ μετρίως λεπτύνειν καὶ θερμαίνειν δυνάμενα, καὶ κίνησις ἵππου, καὶ λουτρὰ θερμότερα, καὶ ἀποφλεγματισμοί. εἰ δὲ χρονίζει ἡ διάθεσις, καὶ ὁ ἀπὸ ῥαφανίδων ἔμετος. ἐφ᾽ ὧν δὲ ἡ ποιότης ἐστὶν ἄνευ πλήθους, οὐκ ἂν δεηθείης τῶν τοιούτων βοηθημάτων. ὥστε δέ σε δύνασθαι τὰς χρονίας διαθέσεις εὐχερῶς ἰάσασθαι, κέχρησο τῷ λαμβάνοντι τὴν περιστερῶν κόπρον. ἔχει δὲ αὐτοῦ ἡ σύνθεσις οὕτω, πεπέρεως λευκοῦ, κροκομάγματος ἀνὰ < β', εὐφορβίου προσφάτου < ς', ὄξους δριμυτάτου τὸ ἀρκοῦν. ἐπίχριε τὸν πάσχοντα τόπον ὡς θερμανθῆναι. τοῦ φαρμάκου δὲ μείζονος ὄντος τοῦ σώματος, ἐκλύειν δεῖ τὴν δύναμιν αὐτοῦ, προσπλέκοντας τῷ βοηθήματι, ἀντὶ ἀμώμου ἀλόης, καὶ γυναικὸς γάλακτος ἐν τῇ χρήσει αὐτοῦ. πάλιν δὲ ἐπιτείνειν βουλόμενος αὐτοῦ τὴν χρῆσιν, ἐπιμίγνυε ἀψινθίας ὀλίγου * ἄνωθεν μετ᾽ ὕδατος.

Περὶ τῆς διὰ κάκωσιν στομάχου γινομένης κεφαλαλγίας.

Οὐ πάντοτε γὰρ ἡ κεφαλαλγία, πρωτοπαθούσης τῆς κεφαλῆς, ἀλλ᾽ ἔστιν ὅτε καὶ διὰ τὴν γαστέρα πολλάκις αὐτήν, ἢ διὰ τὸν στόμαχον, ἢ ἄλλο τι πάσχον μόριον ἐπιγίνεται, ἢ πνευμάτων ἀτμῶν τινων ἀναδιδομένων.

Περὶ τῆς ἐπὶ χολώδει χυμῷ κεφαλαλγίας.

Εἰ μὲν οὖν ἕνεκα τοῦ πλεονάζειν τὸν χολώδη χυμὸν γίνεται πολλάκις ἡ κεφαλαλγία, ποιεῖν ταύτης τὴν θεραπείαν διὰ τῶν καθαιρόντων καὶ ὑποκλέπτειν δυναμένων τὸν χολώδη χυμόν. ἀλλ᾽ ἵνα τοῦτον δυνηθῇ κενῶσαι καλῶς, ὑγροτέρας δεῖται τροφῆς πρῶτον, εὐκράτοις τε λουτροῖς καὶ ἀλείμμασι, καὶ ὑδαρεῖ ποτῷ πλείονι. οὕτω γὰρ διαχυθεῖσα καὶ οἷον ἀσθενεστέρα γινομένη εὐχερέστερον ὑπὸ τοῦ ἕλκοντος αὐτὴν κενωθήσεται φαρμάκου. εἰ μὲν οὖν ἄγαν πολὺς εἴη καὶ θερμός, οὕτω δεῖ πράττειν, καὶ διδόναι τὸν ὀπὸν αὐτῆς μάλιστα τῆς σκαμμωνίας μετ᾽ ὀλίγης ἀλόης, ἢ μετὰ ἀψινθίας, ἢ χυλοῦ ῥόδου, ἢ ῥοδομήλων. εἰ δὲ μὴ πλεονάζειν σοι φαίνεται μᾶλλον ὁ πικρόχολος χυμός, ἀλλὰ ἀνασπασθεὶς, ὥσπερ ἐν ἀποσιτίᾳ τινι, φεύγειν δεῖ τὰ διὰ τῆς σκαμμωνίας φάρμακα, καὶ ὅλως τὰ πάνυ θερμαίνειν δυνάμενα. διδόναι δὲ αὐτοῖς ἢ τὸ ἀπόβρεγμα τῆς ἀψινθίας, ἢ αὐτὴν τὴν ἀλόην τὴν πικράν, ἐάν τι καὶ πάχος ἀναμεμίχθαι τῆς χολῆς σοι φαίνηται. Θεραπεία, ἐὰν ὦσι γλίσχροι χυμοὶ κείμενοι ἐν τῷ στομάχῳ. Εἰ δὲ γλίσχροι χυμοὶ ἐν τῷ στομάχῳ πλεονάζοντες καὶ ἀναλυόμενοι εἰς πνεῦμα, γίνονται τῆς ὀδύνης αἴτιοι, ἐπὶ τὰ ἰσχυρῶς λεπτύνειν δυνάμενα ἔρχεσθαι δεῖ, καὶ ἐν τροφῇ, καὶ ἐν φαρμάκοις, οἷόν ἐστι καὶ τὸ ἀπόβρεγμα τῆς ῥίζης τοῦ σελίνου, ἢ ὑσσώπου, καὶ ἐπιβρέχειν δεῖ καὶ ἀλείφειν τοῖς ῥωννύειν καὶ θερμαίνειν δυναμέ-

νοις, οἷον νάρδινον μύρον, ἢ γλεύκινον, ἢ τὸ μενκίατον καλούμενον. εἰ δὲ πολὺ πλῆθος κεῖται τῶν ἐγκειμένων χυμῶν, οὐ δεῖ μόνοις κεχρῆσθαι τοῖς μερικοῖς βοηθήμασιν, ἀλλὰ προλεπτύνοντα καλῶς τὴν ὕλην, ἐπιδιδόναι καὶ τὸ καθαίρειν τὸ φλέγμα δυναμένων, ἢ τῷ ὀξυμέλιτι τῷ καλουμένῳ διπλῷ ἰουλιανῷ, ἰσχυρῷ ὄντι, κεφαλικῷ τε καὶ στόμαχον καὶ τὸ πᾶν σῶμα καθαίρειν, ἢ τοῖς ἔχουσι κολοκυνθίδα καταποτίοις. καθαίρειν δὲ αὐτοὺς δεῖ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς, οὐδὲ ὑπείκεται ἀθρόαις κενώσεσιν ὁ γλίσχρος χυμὸς, ἀλλὰ μᾶλλον τοῖς κατ' ὀλίγον καὶ συνεχέστερον ὑποκαθαίρειν αὐτὸν βοηθήμασι.

Περὶ τῆς ἐν πυρετοῖς γινομένης κεφαλαλγίας.

Γίνεται δὲ κεφαλαλγία καὶ ἐπὶ τῶν πυρεττόντων σφοδρῶς. ἀλλὰ κατάδηλος ἀκριβῶς εἴτε λόγῳ κρίσεως γίνεται, εἴτε μή. δῆλον γὰρ ὡς εἰ χάριν τούτου συμβαίνει ἡ τῆς κεφαλῆς ὀδύνη, καθάπερ ἐπὶ τῶν αἱμορραγούντων, ἢ ἐμούντων, οὐ χρὴ πολυπραγμονεῖν, ἢ θορυβεῖσθαι, ἢ προσάγειν θεραπείαν. μετὰ γὰρ τοῦ μηδὲν ὠφελεῖν τὰ προσφερόμενα καὶ παρεμποδεῖν, τῇ φύσει πολλάκις ἐγγίνονται. διὰ γὰρ τὴν τοῦ πυρετοῦ σφοδρότητα καὶ κακοήθειαν εἰ τοῦτο συμβαίνει, καὶ πάντα δεῖ πράττειν ὥστε τὸ σφοδρὸν τοῦ πυρετοῦ πραΰνειν. λοιπὸν δὲ καὶ τὴν πρόνοιαν τῆς κεφαλῆς ποιεῖσθαι διὰ ῥοδίνου ἐμβρέχοντας, ποτὲ μὲν καθ' ἑαυτὸ, ποτὲ δὲ μετά τινων ψυχόντων, οἷον ἑρπύλλου, ἢ κισσοῦ, ἢ ῥόδων, ἢ ἀειζώου. εἰ δὲ ἀγρυπνία προσείη, καὶ τῷ διὰ χαμαιμήλου ἀποζέματος, καὶ κωδιῶν, καὶ κισσοῦ καταβρεχέσθωσαν, καὶ τοῖς ὑπνωτικοῖς καταχριέσθωσαν τῷ μετώπῳ, ἢ τῷ χυλῷ τῆς θριδακίνης, ἢ τῷ τριγώνῳ, ἢ τῷ κροκώδει, καὶ ἁπλῶς ἡ σύμπασα παρηγορικὴ καὶ ἐμψύχουσα καὶ ὕπνον ἐμποιοῦσα γινέσθω προσφορά.

Περὶ τῆς ἐξ οἴνου κεφαλαλγίας.

Εὐίατος δὲ καὶ ἡ ἀπὸ οἴνου γινομένη κεφαλαλγία. χρὴ γὰρ εὐθὺς μανθάνοντας τὴν αἰτίαν, περί γε πάντων αὐτὴ εἴργειν οἴνου, καὶ τοῖς ἐμψύχουσί τε καὶ ἀποκρούειν δυναμένοις τοὺς ἀτμοὺς κεχρῆσθαι. τοιοῦτον δέ ἐστι τὸ ἄριστον ῥόδινον, ἢ καθ' ἑαυτὸ, ἢ μετὰ ὄξους, ἢ χυλοῦ κισσοῦ, ἢ κράμβης. τὰ γὰρ τοιαῦτα οὐ μόνον ἀποξηραίνειν, ἀλλὰ καὶ ἀντιπάθειάν τινα πρὸς τὴν τοῦ οἴνου κέκτηνται δύναμιν. * ὅθεν καὶ αὐτὰ τὰ φύλλα τῆς κράμβης περιτιθέμενα τῇ κεφαλῇ καλῶς ποιεῖ. χρὴ δὲ αὐτὰ προβρέχειν θερμῷ, καὶ οὕτως ἐπιδεσμεῖν. δεῖ δὲ καὶ ἀεὶ ἐσθίειν αὐτὴν τὴν κράμβην ἀποζεσθεῖσαν, ἀλλὰ καὶ ἡ φακὴ δὲ τούτοις ὠφελεῖ, καὶ μάλιστα τοῖς ἔχουσιν ὑγροτέραν τὴν γαστέρα. καὶ τῶν ῥοιῶν δὲ οἱ κόκκοι ὠφελοῦσιν αὐτοὺς ἐπάνω τῆς τροφῆς ἐσθιόμενοι. καὶ τὰ μῆλα ὡσαύτως, καὶ τῶν ἀπίων λαμβάνειν καὶ ὑδροποτεῖν. τοῖς δὲ ἔχουσιν ἀσθενέστερον τὸν στόμαχον, καὶ ὀλίγον οἶνον παρέχειν, καὶ μάλιστα τὸν ὑδατώδη, οἷός ἐστιν ὁ κνίδιος, καὶ ὁ σάμιος, καὶ ὁ * σερεφθῖνος. μηδεὶς δὲ τῶν οἴνων ἔστω παλαιός. καὶ γὰρ μετὰ τοῦ πληκτικὸν ἔχειν τι, καὶ κινοῦσί τι ἀτμοῦ πρὸς τὴν ἄνω φοράν. ἄρτος δὲ ἐξ ὕδατος ἐπιτηδειότατός ἐστιν εἰς ἔδεσμα τούτοις, καὶ ἰχθὺς ἑφθὸς, καὶ ὠὰ ἁπαλὰ, καὶ τῶν περιστερῶν καὶ τῶν ὀρνέων τὰ πτερὰ, καὶ τῶν ἀλεκτρυόνων οἱ ὄρχεις, καὶ ἡ κίχλα, καὶ ἁπλῶς εἰπεῖν, ἡ σύμπασα τροφὴ ἔστω εὔχυμος καὶ εὐστόμαχος, καὶ τῶν ἀτμῶν κωλυτική.

Περὶ τῆς ἀπὸ πληγῆς κεφαλαλγίας.

Γίνεται ἡ κεφαλαλγία καὶ ἀπὸ πληγῆς, ἢ πτώματος, φλεγμονῆς ὑπομεινάσης

τῆς κεφαλῆς, διὸ καὶ ἴασις ἔστω σοι ταύτης μετὰ πολλῆς σπουδῆς. κίνδυνον γὰρ ἐπιφέρει συῤῥεόντων αὐτῇ πλειόνων χυμῶν. εἰ μὲν οὖν ἡ γινομένη φλεγμονὴ μόνη περὶ τὸ δέρμα περιέχεται, καὶ μηκέτι περαιτέρω χωρήσει, δυσχερὲς οὐδέν, ἀλλὰ καὶ εὐίατος ἔσται ἡ συμβαίνουσα περὶ τὴν κεφαλὴν ὀδύνη. εἰ δὲ τηλικαύτη τε καὶ οὕτως ἰσχυρά, ὥστε καὶ εἰς συμπάθειαν ἄγειν τὸν περικράνιον ὑμένα, πολλάκις δὲ καὶ τὴν μήνιγγα, κίνδυνος οὐ μικρὸς ἔσται. σπασμοὶ γὰρ ὡς ἐπὶ τὸ πολύ, καὶ παραφροσύναι παρακολουθοῦσιν, ὡς ὀξύτατον αὐτοῖς ἐπάγειν τὸν θάνατον. ὅπως οὖν μὴ ἐπιγίνεσθαι μεγάλας φλεγμονὰς κωλύσωμεν, ἀπὸ φλεβοτομίας ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν τῆς θεραπείας ποιεῖσθαι. οὕτω γὰρ ἀντίσπασις ἔσται τῆς ἐπιῤῥοῆς. γινομένης δὲ τῆς κενώσεως καὶ τοῦ ὅλου ἀπερίττου, δεῖ λοιπὸν ἄρχεσθαι καὶ τῶν μερικῶν βοηθημάτων, καὶ αὐτῆς τῆς κεφαλῆς ποιεῖσθαι πρόνοιαν, ἐλαίῳ τε γλυκεῖ διαβρέχοντας, ἐρίοις περισκέποντας, καὶ θάλποντας πανταχόθεν, ὥστε μὴ ῥιγῶσαι τὴν κεφαλήν, τουτέστι τὴν τῶν νεύρων ἀρχήν. οἴνου δὲ κατ᾽ ἀρχὰς αὐτοὺς ἀπείργειν καὶ κρεῶν, καὶ καθόλου ἡ πᾶσα δίαιτα καθαρὰ καὶ ἀπέριττος, καὶ μάλιστα εἰ καὶ πυρετὸς εἶναί σοι φαίνοιτο σφοδρός. τηνικαῦτα γὰρ ὡς πρὸς πυρετὸν ἁρμόζεσθαι δεῖ πτισάνης χυλὸν αὐτοῖς ἐπιδιδόναι, καὶ λεκύθους ὠῶν, καὶ μαλάχας ἀποζεσθείσας, καὶ θριδακίνας, ἴντυβά τε καὶ κολοκύνθας. εἰ δὲ ἀγρυπνία προσείη, καὶ χαμαιμηλελαίῳ διαβρέχειν δεῖ καὶ ῥοδίνῳ. πολλάκις δὲ καὶ ἀμφότερα, τὸ πλέον καὶ τὸ ἔλαττον, ἀπὸ τῆς κατὰ τὸ μέγεθος φλεγμονῆς, καὶ τῆς τοῦ κάμνοντος κράσεως καὶ ἡλικίας ἐπιλογιζομένους. οὕτω μὲν ἐὰν χωρὶς ἕλκους ἐπιγίνηται φλεγμονή, προσήκει ποιεῖσθαι θεραπείαν. εἰ δὲ καὶ συνέλκοιτο, τηνικαῦτα τοῖς αὐτοῖς μὲν οὐκ ἀποτρεπτέον κεχρῆσθαι, προσέτι δὲ καὶ τῷ ῥοδίνῳ μετὰ μέλιτος, ἢ τῆς τετραφαρμάκου, καὶ ἡ ἀφλέγμαντος κηρωτή, καὶ φαρμάκων ἐπίθεσις ἁρμόδιός ἐστι, καὶ μάλιστα τῆς ἀνεμώνης. αὕτη γὰρ παντοίως ὠφελεῖ, καὶ ἔμμοτος γινομένη, καὶ ἐπιπλαττομένη. τοιαύτη μὲν γὰρ ὥστε καὶ ὑποφαίναι ἡ θεραπεία τῆς μεθ᾽ ἑλκώσεως γινομένης. τελεώτερον δὲ λεχθήσεται τηνίκα περὶ τῶν ἐν κεφαλῇ τραυμάτων, καὶ τῶν ἐν τοῖς ἄλλοις μορίοις συνισταμένων τὸν λόγον ποιώμεθα.

ιά

Περὶ κεφαλαίας.

Δεινόν τι πάθος καὶ ἐπώδυνον ἰσχυρῶς, ὥστε καὶ τὰς ῥίζας αὐτὰς ὀδυνᾶσθαι τῶν ὀφθαλμῶν. ἔστι δὲ καὶ χρόνιον, καὶ ἐπὶ μικραῖς προφάσεσιν ἑτοίμως παροξυνόμενον. τῶν γὰρ ἐχόντων τοῦτο τὸ πάθος, οἱ μὲν ἀπὸ οἴνου πόσεως ὀλίγον ἀκρατεστέρου, οἱ δὲ ὑπό τινος ὀσμῆς, οἷον στύρακος, ἢ λιβάνου, τινὲς δὲ καὶ ὑπ᾽ αὐτῆς τῆς αὐγῆς τοῦ φωτὸς πλήττονται, ὥστε ἐν σκότει μᾶλλον ἀρκεῖσθαι διάγειν, ἤπερ ἐν φωτί. γίνεται δὲ τοῦτο μάλιστα τὸ πάθος καὶ διὰ φλεγμονὴν χρονίαν τοῦ περικρανίου ὑμένος, ἢ τῶν μηνίγγων, καὶ δι᾽ ἔμφραξιν δέ, καὶ διὰ πλῆθος ὠμοτέρων καὶ παχυτέρων χυμῶν, ἔσθ᾽ ὅτε δὲ καὶ διὰ * πολλῶν δριμυτάτων χυμῶν ἐγκειμένων ἐν τῷ βάθει. πολλάκις δὲ καὶ διὰ δυσκρασίαν θερμὴν ἐπιγίνεται τὸ πάθος, ἀσθενεστέρας γινομένης τῆς κεφαλῆς ὑπὸ τοῦ χρόνου, καὶ διὰ τοῦτο ἑτοίμως δεχομένης. ἔσθ᾽ ὅτε δὲ ἑλκούσης * ἐπὶ τῶν κάτω δίκην σικύας, τὰ εὑρισκόμενα περιττά. προσέχειν οὖν ἀκριβῶς δεῖ ταῖς διαγνώσεσιν, ὡς καὶ ἐπὶ τῶν ἄλλων παθῶν, ὑπὸ τίνος αἰτίας γίνεται καὶ τὴν ἀρχὴν λαμβάνει τῆς γενέσεως, οἷον, πότερον διὰ πλῆθος, ἢ διὰ φλεγμονήν τινα τῶν ἐν ἐγκεφά-

λω μορίων, ἢ ἔμφραξιν, ἢ διὰ χρόνιον δριμύτητα. οὕτω γὰρ ἔσται τὸ νόσημα, ἀν ἴδης ἔτοπον ἢ χρόνιον ἀπὸ τῆς τέχνης δυσάλωτον. Σημεῖα αὐτῆς ἔστωσαν ταῦτα. Εἰ μὲν οὖν βάρους αἴσθησις γίνοιτο πολλὴ κατὰ τὸ μόριον, δῆλον ὡς οὐ κατὰ ποιότητα μόνον * ἢ ἀτμοί τινες, ἀλλὰ πλῆθος ὕλης τὸ τὴν ἔμφραξιν ἐργαζόμενον. γνωρισθήσεται δέ σοι σαφέστερον πρὸς τοῖς εἰρημένοις ἅπασιν, ἐπισκεπτομένῳ τὸ τοῦ πάσχοντος ὅλον σῶμα, εἰ φύσει πληθωρικόν ἐστιν, ἢ οὔ, καὶ τὰ προηγησάμενα πάντα. οὕτω γὰρ ἅπαντα περισκοποῦντί σοι βεβαιοτέρα γενήσεται ἡ διάγνωσις. Σημεῖα τῆς διὰ φλεγμονὴν ἐγκεφάλου γινομένης κεφαλαίας. Εἰ μὲν οὖν αἴσθησις γίνοιτο βάρους καὶ σφυγματώδης ὀδύνη, φανερόν ἐστιν ὡς διὰ φλεγμονὴν τινὰ συμβαίνει ἡ τῆς κεφαλαλγίας διάθεσις. Σημεῖα τῆς διὰ πνεύματος. Εἰ δὲ τάσεως αἰσθάνοιτο μόνης, χωρὶς βάρους καὶ σφυγμοῦ, δῆλον ὅτι φυσώδους ἐγκειμένου πνεύματος γέγονε πάλιν ἡ διάθεσις.

Περὶ τῆς διὰ δριμύτητα γινομένης ὀδύνης.

Εἰ δὲ οὐδὲν τούτων ἐστὶ, δῆξις δὲ μόνον ἐγγίνεται, γίνωσκε τὴν ὀδύνην * ὅτι δριμὺς καὶ χολώδης ἐργάζεται χυμός. Σημεῖα τοῦ εἶναι θερμὴν δυσκρασίαν. Εἰ δὲ τούτων οὐδὲν αἴτιόν ἐστι τὸ τίκτον τὴν τῆς κεφαλῆς διάθεσιν, θέρμης δὲ συναίσθησις γίνοιτο περὶ τὴν κεφαλὴν, καὶ φύσει δὲ φαίνοιτο θερμοτέρα τὴν κρᾶσιν οὖσα, καὶ τὰ προηγησάμενα αἴτια θερμότερα, λογίζεσθαι μᾶλλον ἐκ πάντων εἶναι καὶ τὴν δυσκρασίαν θερμὴν, ἥτις ἐκ τῶν κάτω τὰ περιττὰ, καθάπερ σικύα τις, ἐπισπᾶται εἰς αὐτὴν, καὶ δυσπλήρωτον ἐργάζεται τὴν κεφαλήν. Θεραπεία. Οὕτω μὲν ἂν οἱ εὐμεθόδως χρώμενοι ἰᾶσθαι δύναιντο τὰς πολυχρονίους διαθέσεις τῆς κεφαλαίας. εἰ γὰρ διὰ πλῆθος γίνοιτο ἡ διάθεσις, τοῦ ὅλου πρῶτον ποιεῖσθαι πρόνοιαν, κενοῦντας πρῶτον τὸ πλεονάζον προσφόρως, ἤτοι διὰ φλεβοτομίας, ἢ καθάρσεως· εἰ δὲ οὐκ ἔστιν ὅλον τὸ σῶμα πληθωρικὸν, αὐτὴ δὲ μᾶλλον ἡ κεφαλὴ φαίνοιτό σοι τὴν αἰτίαν ἔχειν, διὰ τὸ εἶναι αὐτὴν φύσει εὐπαθῆ καὶ εὐπλήρωτον, καὶ ἐπισπᾶσθαι αὐτὴν δυναμένην ὅ,τι ἂν εὕροι κείμενον ἐν τῇ γαστρὶ, τοῦ μὲν ὅλου φείδεσθαι σώματος, καὶ μήτε φλεβοτομεῖν ἁπλῶς, ἢ καθαίρειν, ἀλλὰ αὐτῆς προηγουμένως δεῖ ποιεῖσθαι πρόνοιαν, ὡς πρωτοπαθούσης. καὶ εἰ μὲν τοὺς ἐγκειμένους χυμοὺς ὑπολαμβάνοις ψυχροὺς εἶναι, εἴτε ὑπὸ θερμότητος ἑλκυσθέντας, εἴτε δι᾽ ἀσθένειαν ἐκεῖσε τεχθέντας, ἐπιβρέχειν δεῖ καὶ καταιονεῖν ἐλαίῳ, ἢ βοτάναις ἀποζεσθείσαις εἰς οἶνον, μὴ πάνυ θερμοῖς, ἀλλὰ καὶ τόνον ἐχούσαις ἵνα πρὸς τὸ ῥώννυσθαι τὴν κεφαλήν· οἷόν ἐστι τὸ ὠμοτριβὲς ἔλαιον προσλαμβάνον κορύμβους κισσοῦ, ἢ ἑρπύλλου, ἢ ἡδυόσμου χλωροῦ. προϊόντος δὲ τοῦ χρόνου, καὶ τῶν θερμοτέρων προσμίγνυε σισύμβριον, ἢ γλήχωνα, ἢ φύλλα δάφνης, ἢ καλαμίνθης. τούτοις οὖν δεῖ καὶ τοῖς ὁμοίοις τούτων κεχρῆσθαι, καὶ μάλιστα ἐν χειμῶνι, καὶ μάλιστα ὅπου φαίνεται ἡ κρατοῦσα δυσκρασία εἶναι ψυχρὰ, καὶ οἱ ἐγκείμενοι χυμοὶ γλίσχροι τύχοιεν ὄντες καὶ παχεῖς. πάνυ γὰρ διαφορεῖ τὰ ἐγκείμενα, καὶ ῥωννύουσι τὴν κεφαλὴν, ὥστε μὴ ἀσθενεῖν αὐτὴν, μηδὲ ἑτοίμως δέχεσθαι τὰ ἐκ τῆς γαστρὸς ἀναδιδόμενα περιττά. πολλάκις γὰρ οὐ τοσοῦτόν ἐστι θερμὴ, ὡς δύνασθαι αὐτὴν ἕλκειν, ἀλλὰ διὰ τὴν ἀσθένειαν πληροῦται δεχομένη μᾶλλον, ἢ ἕλκουσα. οὕτω μὲν, ἐὰν ὦσιν οἱ ἐγκείμενοι χυμοὶ ψυχρότεροι, δεῖ πράττειν.

Ἐὰν ὑπὸ χολῆς γίνηται ἡ ὀδύνη.

Εἰ δὲ θερμοὶ εἰσιν οἱ χυμοὶ καὶ χολώδεις, καὶ τῷ ὀξυρροδίνῳ ἐπίβρεχε χλιαρῷ, καὶ τῷ διὰ κωδιῶν, καὶ ῥόδων ἀποζέματι, προσεπεμβάλλων καὶ τὴν ἱερὰν μετὰ διαφορητικῶν, οἷον, κισσοῦ, ἢ ἑρπύλλου, ἢ χαμαιμήλου βοτάνης, καὶ λουέσθωσαν εὐκράτῳ * χλιαρῷ χρώμενοι, καὶ σμηχέσθωσαν εὐκράτῳ χλιαρῷ πτισάνης χυλῷ, ἢ λεκύθοις ὠῶν, χλιαρὸν ἐπιχέοντες ὕδωρ. τὸ γὰρ θερμὸν πάνυ καὶ ζέον πρὸς τῷ μηδὲν ὠφελεῖν, ἐπιβλάπτειν αὐτοὺς καὶ παροξύνειν πέφυκεν. ἡνίκα δὲ παύεται τὸ ζέον τῆς θερμασίας, οὐδὲν ἄτοπόν ἐστι καὶ μέλι βραχὺ ἅμα προσπλέκειν τοῖς λεκύθοις τῶν ὠῶν, καὶ αἰτίαις συμμέτροις ἀπορρύπτειν καὶ σμήχειν δυναμέναις. τὰ γὰρ ἄγαν θερμὰ πάντα τούτοις ἐστὶ πολέμια, εἴτε σμήγματα εἶεν, εἴτε ἀποφλεγματισμοί. ἀπὸ γὰρ τῶν ὑγραινόντων μετρίως καὶ λουτρῶν καὶ βοηθημάτων μᾶλλον διαφορεῖται τὰ χολώδη περιττώματα, ἤπερ ἀπὸ τῶν ἄγαν ξηραινόντων καὶ θερμαινόντων. παχύνεται γὰρ μᾶλλον ἐπὶ τῶν τοιούτων, ἤπερ διαφορεῖται· ἐφ᾽ ὧν δὲ παχεῖς εἰσι καὶ μὴ πάνυ θερμοί, καὶ ἐπὶ τούτων συμβουλεύω μὴ πάνυ ἀθρόως φέρεσθαι ἐπὶ τὰ διαφορεῖν δυνάμενα· κολακεύειν δὲ μᾶλλον τὴν ὕλην διὰ τῶν μετρίων ἀλειμμάτων καὶ λουτρῶν, καὶ οὕτως ἐπὶ τὰ πλέον δυνάμενα χωρεῖν ἅτινα λεπτύνουσί τε καὶ διαφοροῦσι βοηθήματα, οἷον ὅσα διὰ νίτρου καὶ νάπυος σύγκειται. παρακμάζοντος δὲ τοῦ πάθους, καὶ ἀνατρίψαι κελεῦσαι τῆς κεφαλῆς, καὶ μάλιστα ἐν λουτρῷ διὰ σινδόνων, περιαφαιρεθεισῶν δηλονότι τῶν τριχῶν, καὶ πταρμικοῖς * κατὰ μέρος· πρότερον μὲν τοῖς ἁπλουστέροις, ὕστερον δὲ τοῖς ἰσχυροτέροις· πρὸς δὲ τὸ εὐχερῶς ἐξευρίσκειν τὸν βουλόμενον κατασκευάσαι, ὑπέταξα καὶ τούτων τὰς ἐκθέσεις· ἔχει δὲ τούτων ἡ γραφὴ οὕτως. Ἔρρινον κεφαλῆς καθαρτήριον ποιοῦν πρὸς ὀφθαλμίαν καὶ ἐπιληψίαν. * Μελανθίου < η', ἁλὸς ἀμμωνιακοῦ < η', ἐλατηρίου < δ' τρίψας, ἀναλάμβανε σικυωνίῳ ἐλαίῳ, ἢ μυρσίνῳ, ἢ κρινίνῳ, ἢ κυπρίνῳ, ὥστε κηρωτῆς ἔχειν σύστασιν. ἀνελόμενος οὖν εἰς πυξίδα κερατίνην χρῶ, ὑποχρίων τοὺς μυκτῆρας, κελεύων ἀνασπᾶν. τοῦτο δὲ ἔρρινον οὐ μόνον ὠφελεῖ τοὺς ἔχοντας χρονίαν κεφαλαλγίαν, ἀλλὰ καὶ τοὺς ὑπὸ ὀφθαλμίας ἐνοχλουμένους, καὶ τοὺς ἐπιληπτικούς. ἄγει γὰρ εὐχερῶς εἴ τι γλισχρόν ἐστιν ἐν ἐγκεφάλῳ, καὶ παχυμερὲς ἐχόμενον. ἔτι δὲ καὶ τὸ διὰ τῆς κυκλαμίνου συγκείμενον οὐδὲν ἧττον. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτως. Τὸ διὰ κυκλαμίνου ἔρρινον. Κυκλαμίνου ξηρᾶς < η', νίτρου ἐρυθροῦ < δ'. εἰ δὲ ἀντὶ νίτρου ἐλατήριον ἐμβάλοις, κάλλιον ἂν γένοιτο. κέχρησο δὲ οὕτω, τρίψας αὐτὰ καλῶς, διὰ καλάμου ἐμφύσα, κελεύων ἀνασπᾶν ἄνω νεύοντα, εἶτα πάλιν κάτω νεύοντα, καὶ ἀποπτύειν τὸ συναγόμενον. Ἐπίθεμα πρὸς τὰς χρονίους κεφαλαλγίας.

Κέχρησο δὲ καὶ ἐπιθέμασι κατὰ τῆς κεφαλῆς, καὶ χρίσμασιν ἐπὶ τῶν χρονίων διαθέσεων διαφορεῖν δυναμένοις· ἐξ ὧν ἐστι καὶ τοῦτο πολλάκις πεῖραν δεδωκός. ἔχει δὲ ἡ γραφὴ οὕτως. Περὶ κηρωτῆς. Ἰρίνου μύρου, πευκεδάνου, κασορείου ἀνὰ < α', δαφνίδων < β', πηγάνου ἀκρεμόνων, < δ', ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ ῥοδίνῳ, καὶ ξυρήσας τὴν κεφαλήν, ἐπίθες καθ᾽ ὅλης αὐτῆς. κἂν δὲ παροξυσμὸς γίνηται μέγας, κέχρησο παρηγορικοῖς καὶ μετρίως συγκριτικοῖς, ἐξ ὧν ἐστι τοῦτο. Σμῆγμα κεφαλῆς πρὸς κεφαλαλγίαν. Ὀποῦ πευκεδάνου < ις', ὀποῦ μήκωνος, ἀνίσου, ἡδυόσμου, σμύρνης, σκαμμωνίας ἀνὰ < β', ὄξει ἀναλάμβανε, καὶ ποίει χρῖσμα,

καὶ ἐν ταῖς ἀμετρήταις ὀδύναις ἐπίχεε τῇ κεφαλῇ. τούτοις καὶ τοῖς ὁμοίοις κεχρῆσθαι, ἐφ' ὧν διὰ παχεῖς χυμούς, ἢ πνεῦμα φυσῶδες ἡ ὀδύνη γίνεται.

Ἐφ' ὧν ποιότης ἐστὶν αἴτιον.

Εἰ δὲ διὰ ποιότητα θερμὴν γίνεται ἡ ὀδύνη, δῆλον ὅτι τὰ αὐτὰ δεῖ προσφέρειν ὅσα καὶ ἐπὶ τῶν ὀδυνωμένων διὰ χολώδη χυμὸν ἁρμόζειν εἰρήκαμεν, χωρὶς τοῦ φλεβοτομεῖν, ἢ καθαίρειν, ἢ ὅλως οἱονδήποτε κενωτικὸν παραλαμβάνειν φάρμακον. εἰ δὲ διὰ γαστρὸς ἐποχὴν συμβαίνει γίνεσθαι τὴν διάθεσιν, παντοίως δεῖ σπουδάζειν ὑπάγειν διὰ τροφῆς, καὶ τῶν ἠρέμα καθαίρειν δυναμένων. εἰσὶ μὲν οὖν τὰ πολλὰ καὶ οἱ ἅλες. εἰ οὖν διὰ γλίσχρους χυμοὺς ἐπέχεται ἡ γαστήρ, δίδου τὴν σκευασίαν τῶν ἐχουσαν ταῦτα, ἁλῶν ἀμμωνιακῶν < β', πεπέρεως < α', εὐφορβίου < α'. δίδου εἰς ᾠόν, ἢ εἰς πτισάνην < ϛ', ἢ η', ἤτοι γράμματα γ', ἢ δ'. εἰ δὲ οὐ διὰ γλίσχρους χυμοὺς ἐπέχεται ἡ γαστήρ, κέχρησο τοῖς ἔχουσι τὸ δακρύδιον. ἔχει δὲ καὶ τούτων ἡ σκευασία οὕτω, ἁλῶν κοινῶν πεφρυγμένων < γ', πεπέρεως < ϛ', σκαμμωνίας < α'. δίδου καὶ εἰς ᾠόν, καὶ ἄρτον, καὶ ὅπου βούλει, κοχλιάριον α'. πάνυ γὰρ ἀλύπως οἴδασι καθαίρειν καὶ μαλάττειν τὴν γαστέρα οἱ ἅλες οὗτοι, καὶ θαρρῶν κέχρησο τούτοις, καὶ τοῖς ἔχουσι τὸ εὐφόρβιον. εἰ δὲ φέρεται ἡ γαστήρ· καὶ πλέον διὰ τὴν ξηρότητα φέρεται ἡ κεφαλή, σπούδασον διὰ τροφῆς καὶ πομάτων αὐτὴν ἐπιχεῖν καὶ φαρμάκων. εἰ δὲ δι' ἀγρυπνίαν ἢ φροντίδα συμβαίνει τὸ πάθος, σπουδάζειν δεῖ πάλιν διὰ τῶν ὑπνοποιεῖν δυναμένων, καὶ παρηγορεῖν παντοίως τῶν καμνόντων, καὶ καθόλου εἰπεῖν ἀεὶ πρὸς τὴν ποιοῦσαν αἰτίαν, τὸ πάθος * ἁρμόζον. καὶ χρῶ τοῖς εἰρημένοις εὐμεθόδως. οὕτω γὰρ ἡ χρονία καὶ δύστροπος διάθεσις νικηθήσεται πάντως ὑπὸ τῆς ἀκριβείας τῆς τέχνης, καὶ τῆς εὐκαίρου τῶν βοηθημάτων προσαγωγῆς.

Περὶ ἡμικρανίας. ιϛ'

Ὀδυνῶνται τὸ ἥμισυ μέρος τῆς κεφαλῆς, ἀρχομένης τῆς ὀδύνης περὶ τὸ ἡμίκρανον· καὶ γίνεται τοῦτο, περιττώματος ἔκ τινος ἐμπεπηγότος, ἢ τεχθέντος, καὶ ἀναλυομένου εἰς πνεῦμα, καὶ παροξύνοντος τοὺς τόπους καθ' ἑκάστην, ἢ διὰ μιᾶς, ἢ δύο, πρὸς τὸ ὑποκείμενον εἶδος τὴν ἀρχὴν * λαμβάνουσα τῆς κινήσεως. εἰ μὲν οὖν ἀπέριττόν σοι φαίνεται τὸ πᾶν σῶμα, τῆς κεφαλῆς προνοοῦ, καὶ αὐτῇ πρόσφερε μερικὴν θεραπείαν. εἰ δὲ πλῆθος ἐνοχλεῖ τῷ παντί, τηνικαῦτα πολυειδῶς δεῖ προσέχειν, καὶ διαγινώσκειν τίς ἄρα ἐστὶν ὁ πλεονάζων χυμός. δῆλον γὰρ ὅτι καὶ τὴν κένωσιν ἐξ αὐτοῦ δεῖ ποιεῖσθαι. καὶ εἰ μὲν αἷμα, διὰ φλεβοτομίας· εἰ δέ τις ἄλλος εἴη τῶν χυμῶν, διὰ καθάρσεως τοῦ λυποῦντος περιττώματος.

Περὶ τῆς κατὰ συμπάθειαν γινομένης ἡμικρανίας.

Εἰ δὲ κατὰ συμπάθειαν τοῦ στομάχου γένοιτο, ἢ ἀσθενοῦντος αὐτοῦ κατὰ τὴν πέψιν, ἢ περιέχοντος ὕλην ἐν ἑαυτῷ χολώδη, ἢ φλεγματώδη, καὶ μὴ πέττονται καλῶς, σκόπει πάλιν πότερον διὰ θερμὴν δυσκρασίαν ἢ ψυχράν. εἰ μὲν οὖν διὰ ψυχρὰν δυσκρασίαν, ἀναγκαῖόν ἐστι διὰ τῶν θερμαινόντων ποιεῖσθαι πρόνοιαν· εἰ δὲ διὰ θερμήν, διὰ τῶν ψυχόντων καὶ ἐπικρατιζόντων.

Περὶ τῆς διὰ ψυχρὰν αἰτίαν τοῦ στομάχου γινομένης ὀδύνης περὶ τὸ ἡμίκρανον.

Εἰ δὲ διὰ ψυχρὰν αἰτίαν τοῦ στομάχου φαίνεταί σοι γεγονυῖα, πρῶτον μὲν ἐπι-

βροχαῖς κέχρησο ταῖς δι' οἰνελαίου, καὶ νάρδου, καὶ γλευκίνου, καὶ στύρακος, καὶ μαστίχης. ἔπειτα δὲ καὶ ἐπιθέμασι, πολυαρχίῳ, ἢ φιλαγρίῳ, καὶ τῷ μελικιάτῳ καλουμένῳ, γενναίως διαλύειν δυναμένῳ τὰ ἐν τῷ στομάχῳ γενόμενα πνεύματα. ἔστω δὲ καὶ ἡ τροφὴ τοιαύτη, θερμαίνειν τε ἅμα καὶ λεπτύνειν δυναμένη, μετὰ καὶ τοῦ τόνον ἐντιθέναι. ὑδρόγαρον τοίνυν τούτοις ἐπιτήδειον ἀνίσου προσειληφὸς πλείονος. ὠφέλιμον δὲ καὶ τὸ ὀξύμελι πινόμενον μετὰ πράσων ἑφθῶν ἐσθιομένων, καὶ τὸ διὰ τῶν κυδωνίων μήλων σκευαζόμενον, ἔχον πεπέρεως καὶ ζιγγιβέρεως. ὠφελοῦσι δὲ αὐτοῖς καὶ τὰ δι' ὑσσώπου, καὶ ἀνίσου, καὶ δαύκου, καὶ σελίνου πινόμενα, καὶ τῶν λαχάνων, σκάνδιξ καὶ γιγγίδιον, ἐλαῖαι, ἀσπάραγοι, καὶ τεῦτλα μετὰ σινάπεως, καὶ κάππαρις, καὶ σκόροδον δὲ πολλάκις χρονίας ἔλυσεν ὀδύνας. ὥσπερ καὶ τάριχος, καὶ * ἐν κατυρεῖ λεγομένη, καὶ κοιλιάξ. Κόκκοι οἱ διὰ κολοκυνθίδος. Ὠφελεῖ δὲ τούτοις καὶ ἔμετος μετὰ τροφὴν, καὶ ἡ κάθαρσις ἡ διὰ τῶν κόκκων τῶν ἐχόντων τὴν κολοκυνθίδα, καὶ τὸ εὐφόρβιον· ὧν ἡ σύνθεσις ἔχει οὕτως, ἀλόης Γο α', εὐφορβίου Γο S'', κολοκυνθίδος, σκαμμωνίας, * κόμμεως ἀνὰ Γο α', νίτρου ἀλεξανδρίνου Γο S'', ἐλλεβόρου μέλανος φλοιοῦ Γο α'. ἐν ἄλλῳ χωρὶς βδελλίου, ἀναλάμβανε χυλῷ κράμβης, ἢ κιτρίου, ἢ ῥοδομήλου, καὶ δίδου γράμματα ϛ'. σὺ δὲ μὴ ἀθρόαν, ἀλλὰ κατὰ μικρὸν ποίει τὴν δόσιν αὐτῶν, καὶ οὕτως ἔρχου ἐπὶ τὴν τελείαν δόσιν. εἰσὶ γὰρ καὶ συγκρίνειν δυνάμενοι οὐκ ἔλαττον τῆς ἱερᾶς. καὶ λοιπὸν δὲ καὶ οὐκ ἐπὶ πολλῆς ποιοῦνται τὴν κένωσιν, ἀλλ' ἐκ βάθους καὶ οἷον αὐτῆς τῆς ῥίζης ἕλκοντες τὰ περιττώματα. καὶ εἴ τις ὀρθῶς χρήσαιτο, οὐ μόνον ἡμικρανίαν, ἀλλὰ καὶ χρονίαν ὀδύνην ἰᾶσθαι δύναιτο, καὶ στομαχικὰς διαθέσεις, καὶ ἐπιληψίας, καὶ ἀρθρῖτιν, καὶ ἰσχιάδας. οὕτω μὲν, εἰ διὰ γλίσχρους χυμοὺς γενομένους ἐν τῷ στομάχῳ ὀδύνη γένοιτο, ἰᾶσθαι δεῖ.

Περὶ τῆς διὰ χολώδη χυμὸν γινομένης ἡμικρανίας.

Εἰ δὲ διὰ χολώδη χυμὸν γένοιτο ἡ ὀδύνη, λαμβανέτωσαν περὶ τὸν ἀπόλυτον ἄρτον εἰς εὔκρατον. ὑπερβαλλόντως γὰρ αὐτοὺς ὠφελεῖ τοῦτο. καὶ μαλάχη δὲ λοιπὸν, καὶ θριδακίνη ἐσθιόμεναι, καὶ καθόλου ἔστω ὑγραίνουσα ἡ δίαιτα, καὶ λουτρὰ εὔκρατα, καὶ τελευταῖον κάθαρσις ἡ διὰ τῆς πικρᾶς καὶ τοῦ δακρυδίου, καὶ τῶν ἄλλων ὅσα χολὴν οἶδε καθαίρειν, ἐκτὸς πάνυ θερμαίνειν. Ἐπιθέματα. Ὁμοίως δὲ καὶ τὰ ἔξωθεν ἐπιτιθέμενα χρίσματα μὴ ἔστωσαν πάνυ θερμά. καὶ καθόλου ἡ σύμπασα ἀγωγὴ τοιαύτη σοι γινέσθω οἷα καὶ ἐπὶ τῶν τὴν κεφαλὴν ἀλγούντων. αὗται γὰρ τυγχάνουσιν αἱ κατὰ γένος αἰτίαι, πλὴν ὅτι αἱ χρονιώτεραί εἰσιν καὶ ἰσχυρότεραι τοῖς νοσοῦσι τὴν κεφαλήν. ἵνα δὲ καὶ ἑτοιμότερον εὑρίσκειν δύναιτό τις καθ' ἑκάστην αἰτίαν ἁρμόζοντα βοηθήματα, καὶ τούτων ὑπέγραψά σοι τὰς ἐκθέσεις. Χρίσματα πρὸς τοὺς ὑπὸ παχέων καὶ γλίσχρων χυμῶν ὀδυνωμένους τὸ ἡμίκρανον. Εὐφορβίου μέρος ἓν, καστορίου τὸ ἴσον ἀναλαβὼν ὕδατι, ἐπίθες εἰς τὸ οὖς κατὰ τὸ ἀλγοῦν μέρος, καὶ εὐθὺς εἰς τὸ βαλανεῖον εἰσιέναι κέλευε, καὶ λούεσθαι συνήθως. πάνυ καλὸν βοήθημα τοῦτο, καὶ θαρρῶν αὐτῷ κέχρησο. μέγιστον δέ ἐστι καὶ τὸ λαμβάνον τοῦ μέλανος τοῦ γραφικοῦ. ἔχει δὲ τούτου ἡ γραφὴ οὕτω, * εὐφορβίου < α' S'', μέλανος γραφικοῦ < δ', σμύρνης τρωγλίτιδος < γ', κροκομάγματος < ϛ', πεπέρεως λευκοῦ < γ', ὄξος τὸ ἀρκοῦν, ὡς λειωθῆναι ταῦτα καλῶς, καὶ ὅμοιον γλοιοῦ γενέσθαι κατὰ τὸ πάχος. τοῦτο κατάχριε, ἀρξάμενος ἀπὸ τοῦ μεσοφρύου, μέχρι τοῦ κροτά-

κροτάφου ὅλου, καὶ μάλιστα εἰ τύχῃ ψιλὸς ὁ τόπος ὑπάρχων τριχῶν. καὶ μετὰ τὸ ψυχθῆναι, πάλιν κατάχειε, καὶ τοῦτο κατὰ τοῦ αὐτοῦ τόπου μέχρι τρίτου. δεῖ δὲ χρίειν αὐτὸ ἔξωθεν, ὥστε δυνηθῆναι τὸ βοήθημα καλῶς ἐνεργῆσαι, ἕως οὗ μέλλει λούεσθαι. φυλάσσου δὲ μήποτε ἐν τῷ χρίεσθαι παρεισέλθῃ τι τοῦ φαρμάκου ἐν τοῖς ὀφθαλμοῖς, σπόγγῳ χρώμενος, καὶ ἀπαλλάττων εὐφυῶς τὸ ἐπίχρισμα, καὶ μετὰ τὸ ἐξελθεῖν ἀπὸ τοῦ βαλανείου, πάλιν ὁμοίως κατάχειε πολλάκις, μέχρι τελείως ἀπαλλάξεις τὸν πάσχοντα. καὶ μετὰ τὸ ἀπαλλαγῆναι, δεῖ πάλιν ἐκ διαλειμμάτων χρῆσθαι τῷ βοηθήματι, ὥστε μὴ τῷ αὐτῷ περιπεσεῖν νοσήματι. τούτων μείζονα βοηθήματα πρὸς τὰς χρονίας καὶ ἰσχυρὰς ὀδύνας οὐκ ἔστιν εὑρεῖν. πρὸς δὲ τὰς μετριωτέρας τῷ ἀλείμματι κέχρησο ἔχοντι τὸν κηρὸν καὶ τὸ εὐφόρβιον. ἔχει δὲ καὶ τούτου ἡ συμμετρία οὕτω, σαβίνου ἐλαίου ξε. ε', κηροῦ ℥ γ', εὐφορβίου ℥ α', τούτῳ χρῶ ἐπιχρίων τὸ ἥμισυ τοῦ μετώπου τοῦ κροτάφου τοῦ μυὸς πρὸ τοῦ λούεσθαι. ποιεῖ δὲ μάλιστα πρὸς τὰς ἀπὸ ψυχρῶν διαθέσεων ὀδύνας. καὶ ἄλλα δὲ πολλὰ εὑρήσεις κείμενα τοῖς παλαιοῖς, ἀλλ' ἀρκεῖ μόνα ταῦτα πλείστην δεδωκότα πεῖραν.

Ἐφ' ὧν διὰ χολὴν γίνεται ἡ ὀδύνη.

Τοῖς δὲ διὰ χολὴν ὀδυνωμένοις ἀρκεῖ καὶ ὁ κροκώδης ἐπιχριόμενος, καὶ ὁ τρίγωνός γε τροχίσκος, καὶ ἡ αἰγυπτία γῆ, καὶ ἀλοιφαὶ πᾶσαι ὅσαι διὰ ῥοδίνου καὶ χαμαιμηλίνου ἐλαίου εἰσίν, ὀλίγου προσειληφυῖαι ὄξους, ἤ τινος τῶν προειρημένων χυλῶν. τούτοις καὶ τοῖς ὁμοίοις τούτων δεῖ κεχρῆσθαι τὸν εὐμέθοδον ἰατρόν.

Περὶ φρενίτιδος. ιγ'.

Ὅτι μὲν ἡ φρενῖτις τῶν ὀξυτάτων ἐστὶ, καὶ ἐπικινδυνοτάτων παθῶν, ἅπασιν ὡμολόγηται. ὅθεν δὲ συνίσταται καὶ τί πάσχοντος τοῦ ἐγκεφάλου, καὶ ποίου μέρους αὐτοῦ, καὶ περὶ τῆς θεραπείας τοῦ πάθους, τοῦτο πᾶσιν ἀμφισβητεῖται. λέγωμεν οὖν καὶ ἡμεῖς τίς ἀκριβὴς ἡ φρενῖτις, καὶ τί τὸ αἴτιον αὐτῆς, ὅπη τε διαγινώσκειν χρή. πολλοὶ γὰρ αὐτῶν μάλιστα περὶ τὴν διάγνωσιν ἠπατήθησαν οὐ μικρῶς, ὥστε καὶ τοὺς παραφρονοῦντας ἡγεῖσθαι φρενιτικούς· πολὺ δὲ τὸ διάφορον. Τίς ἡ αἰτία τῆς φρενίτιδος.

Γίνεται τοίνυν ἡ ἀκριβὴς φρενῖτις ἀπὸ τῆς ξανθῆς χολῆς, ὅταν αὐτὴ ἀναδοθεῖσα φλεγμονὴν ἐργάσηται περὶ τὸν ἐγκέφαλον, ἢ τὴν ἐν αὐτῷ μήνιγγα. πρὶν γὰρ ἀναδοθῆναι καὶ στηριχθῆναι, οὐ φρενῖτιν, ἀλλὰ παραφροσύνην ποιεῖ, καὶ τοῦτο συμβαίνειν εἴωθεν περὶ τὰς ἀκμὰς, μάλιστα ὡς ἐπὶ τὸ πολὺ, τῶν ὀξέων πυρετῶν, εἶτα πάλιν ἀποπαύεσθαι περὶ τὰς παρακμάς. καὶ τοῦτο τῆς παραφροσύνης ἴδιον, τὸ μὴ καθ' ὅλους τοὺς καιροὺς παραμένειν τοὺς πυρετοὺς, ἀλλὰ παύεσθαι. ἡ μέντοι φρενῖτις ἀεὶ παραμένει. ἔστι δὲ καὶ αὐτῆς τῆς φρενίτιδος οὐχ ἓν εἶδος μόνον, ἀλλὰ καὶ διάφορα. ἡ μὲν γὰρ ἐπὶ τῇ ὠχρᾷ χολῇ συνίσταται, ἥτις πραοτέρα τυγχάνει. ἡ δὲ ἐπὶ τῇ ξανθῇ χολῇ, ἥτις καὶ σφοδροτέρα μᾶλλον, καὶ τοὺς πυρετοὺς ἐπιφέρει μείζονας. γίνεται δὲ καὶ ἄλλη θηριώδης καλουμένη, ἀμετρότερον αὐτῆς τῆς ξανθῆς χολῆς ὑπερθερμανθείσης, καὶ ὑπεροπτηθείσης. Σημεῖα μελλούσης γίνεσθαι φρενίτιδος. Προηγεῖται μελλούσης γίνεσθαι φρενίτιδος μάλιστα συνεχὴς καὶ ἐπιτεταμένη ἀγρυπνία, ὕπνοι θορυβώδεις, καὶ ἀναπηδήσεις, καὶ ὀνείρων ἔσθ' ὅτε φαντασίαι, ὥστε καί τινας ὑπονοεῖν εἰδέναι τὰ μέλλοντα, καὶ προλέγειν ἐθέλειν. προηγοῦνται δὲ καὶ ἐπιλησμοσύναι τῶν

λεγομένων. ἀρχόμενοι γὰρ ἐπιτρέπειν τοῖς οἰκείοις, εἰς ἑτέραν ἐπιτρέπονται ἐπιλανθανόμενοι ὧν ἐξ ἀρχῆς ἐπιτάττειν ἔμελλον. καὶ ἀποκρινόμενοι δὲ θρασύτεροι καὶ ὀργιλώτεροι φαίνονται τοῦ πρόσθεν, καὶ μέγα καὶ πυκνὸν ἀναπνέουσι, καὶ τοὺς ὀφθαλμοὺς μικροὺς καὶ σκληροὺς ἔχουσι, καὶ τὸ ἰνίον ὀδυνῶνται πολλάκις. ἐὰν δὲ ἐπιταθῇ τὸ πάθος, ὡς ἐγγὺς αὐτοὺς εἶναι τοῦ φρενιτίζειν, καὶ ἀτενὲς ὁρῶσι, καὶ αὐχμηροὺς ἱκανῶς ἔχουσι τοὺς ὀφθαλμοὺς καὶ ἐρυθροὺς, καὶ λήμας ἔχουσι, καὶ δάκρυον ἐξ ἀμφοτέρων φέρεται. ἐπὶ πλέον δὲ ἐπιτεινομένου τοῦ πάθους, ἄρχονται καὶ κροκιδίζειν καὶ καρφολογεῖν, καὶ οὐδὲ ἀπόκρισιν διδόναι σαφῆ δύνανται, καὶ τὴν γλῶτταν μᾶλλον ἴσχουσι * παχυτέραν, καὶ τοὺς πυρετοὺς ξηροτέρους, καί ποτε καὶ τρομώδεις γίνονται ὑποξηραινομένου τοῦ ἐγκεφάλου, καὶ τῶν ἐξ αὐτοῦ νεύρων, καὶ δυσαισθητοῦσιν, ὥστε καὶ ἐγειρομένους αὐτοὺς μόλις ἢ οὐδὲ ὅλως ὑπακούειν. τοιαῦτα μὲν οὖν εἰσι, καὶ τοσαῦτα τῶν κυρίως φρενιτικῶν τὰ σημεῖα. ἐξ ἀρχῆς οὖν εὐθὺς ἔχει τὴν αἰτίαν ὁ ἐγκέφαλος· οὐ γὰρ ἄλλου τινὸς πάσχοντος ἡ κυρίως φρενῖτις γίνεται, ὥσπερ τινὲς ἐνόμισαν, ἐπὶ φλεγμονῇ τοῦ διαφράγματος γίνεσθαι τοὺς φρενιτικοὺς, ὅπερ οὐκ ἔστιν ἀληθὲς, ἀλλὰ καὶ αὐτὸς ὁ ἐγκέφαλος ἐπειδὰν φλεγμαίνῃ, ἰσχυρὰς ἐργάζεται τὰς παραφροσύνας, ὡς ἐοικέναι φρενίτισι. Πῶς χρὴ διακρίνειν τοὺς παραφρονοῦντας ἀπὸ τῶν φρενιτικῶν. Διορίζονται δὲ οἱ κυρίως φρενιτικοὶ, τῶν παραφρονούντων κατὰ συμπάθειαν, ἔκ τε τοῦ διηνεκῆ τὸν πυρετὸν αὐτοῖς παρεῖναι, καὶ τοῦ εἶναι τοὺς ὀφθαλμοὺς αἱματώδεις, καὶ ἐκ τῆς ῥινὸς αἷμα φέρειν, καὶ τὴν κεφαλὴν ἔχειν θερμοτέραν. ἐπὶ γὰρ τῶν νοσούντων τὸ διάφραγμα, τοσοῦτον οὐκ ἔστιν ἡ κεφαλὴ θερμὴ, ὅσον τὰ ὑποχόνδρια καὶ αὐτὸ τὸ διάφραγμα, καὶ δυσπνοοῦσι μᾶλλον, καὶ ἀνώμαλον ἰσχυρῶς ἴσχουσι τὸ πνεῦμα. διοίσεις δὲ καὶ ἀπὸ τῶν μαινομένων τοὺς φρενιτικοὺς, ὅτι ἡ μὲν μανία ἄνευ πυρετοῦ θεωρεῖται, ἡ δὲ φρενῖτις, ὡς εἰρήκαμεν, ἀεὶ μετὰ πυρετοῦ. ταῦτα μὲν ἐστὶ τὰ σημεῖα τῶν κυρίως φρενιτικῶν, ἐφ' ὧν καὶ ξανθὴ χολὴ μόνη στηριχθεῖσα ἄνευ ἄλλης ὕλης, τὴν διάθεσιν εἰργάσατο. ὥσπερ εἰ μιχθείη τῇ ξανθῇ χολῇ φλέγμα, νόθη φρενῖτις ἡ τοιαύτη καλεῖται, καὶ τὸ καλούμενον ἐργάζεται ἄγρυπνον κῶμα. Σημεῖα φρενίτιδος νόθης. Γνωρίσεις δὲ καὶ τὴν ἐξ ἐπιμιξίας γινομένην φρενῖτιν, ἔκ τε τοῦ τὰ ἐπιγινόμενα συμπτώματα μεμιγμένα εἶναι, ὧν ἐμποιούντων αὐτὴν αἰτίαν τὴν φύσιν αὐτῶν ἐμφαίνοντα. καὶ γὰρ ἀγρυπνοῦσί τε ἅμα καὶ καταφέρονται, καὶ πάλιν κατ' ὀλίγον παραφρονοῦσι καὶ εἰς ὕπνον βαθὺν ἰόντες καὶ κωματώδη, μετὰ θορύβου διεγείρονται, καὶ ἀποκρίνονται πρὸς τοὺς καλοῦντας ἄτακτα καὶ μανίας ἐχόμενα ῥήματα.

Περὶ τῶν ἤδη χρονισάντων φρενιτικῶν.

Εἰδέναι δὲ δεῖ ὅτι κατ' ἀρχὰς τοῦ νοσήματος καὶ ὀλιγοχρονίως ταῦτα συμβαίνειν εἴωθεν. ἐπειδὰν δὲ χρόνιον ὑπερβῇ τὸ νόσημα, καὶ ἀσθενὴς ἡ δύναμις γένηται, σημεῖα μικρὰ φαίνεται αὐτῆς, ὡς ἄλλο τι φρενίτιδος τινὰς νομίζειν εἶναι. οὐκ ἔστι δὲ εἶδος, ἀλλὰ κατ' ἀρχὰς μὲν ταραχώδεις γίνονται καὶ μανιώδεις, ἅτε δὴ τῆς χολῆς εὐθὺς ἀναδιδομένης, καὶ διεγειρούσης τὸν ἐγκέφαλον. ὕστερον δὲ παραπλησίως τοῖς ἐκτικοῖς πυρετοῖς, ὁμαλῆς δυσκρασίας γινομένης περὶ ὅλον τὸν ἐγκέφαλον, οὐκέτι διαταράττονται πάνυ, καὶ ἄτακτα καὶ μανιώδη φλυαροῦσιν, ἀλλὰ κεῖνται μὴ φθέγγεσθαι δυνάμενοι διὰ τὴν ἀτονίαν, μήτε τὸ τῆς κατακλίσεως σχῆμα μεταλλάττοντες, μήτε ἀναπηδῶντες ἰσχυρῶς. ἀτάκτως δὲ μόνον τὰς χεῖρας φέροντες, ὥστε τινὰς τῶν

ἀγνοούντων

ἀγνοούντων ὑπονοῆσαι τὸν κάμνοντα ζητεῖν * τί ἂν εὕροι κρατῆσαι. τινὲς δὲ αὐτῶν οὔτε τὰ βλέφαρα ἀνοίγειν δύνανται, διὰ τὸ προεκκεκμηκέναι τὴν δύναμιν. εἰ δὲ καὶ ἀνοίξωσί ποτε, ὑπὸ τοῦ διενοχλοῦντος χυμοῦ πάλιν, ὀλίγον ἀναβλέψαντες χρόνον, εὐθὺς μύουσιν. ἔτι δὲ ἀσθενούσης τῆς δυνάμεως αὐτῶν, ἐπιγίνονται τὰ σημεῖα ταῦτα, καὶ οὐκέτι φρενίτιδος ἕτερον εἶδος δηλοῖ, τὸ ἄρρωστον εἶναι τὸν σφυγμόν, καὶ σκληρόν, καὶ βραχύν, καὶ στενόν, καὶ ἄγαν ἁπάντων τῶν ἐπὶ πολὺ μάλιστα χρονισάντων φρενιτικῶν. ταῦτα μὲν οὖν τὰ σημεῖά εἰσι δι' ὧν γινώσκονται οἱ φρενιτικοί. λοιπὸν δὲ καὶ ὅπως ἄν τις αὐτῶν τὴν θεραπείαν ἄριστα ποιῇ, λέγωμεν ἤδη.

Θεραπεία φρενιτικῶν. Ἐπὶ πάντων τῶν κυρίως φρενιτικῶν, ἐὰν τὰ τῆς δυνάμεως ἔρρωται, καὶ μηδὲν ἄλλο κωλύει, σπουδάζειν παραλαμβάνειν τὴν φλεβοτομίαν, ὡς πρῶτον ὑπάρχον ἁπάντων καὶ μέγιστον ἐσόμενον βοήθημα. εἰ δὲ στασιάζει ὁ κάμνων, οἷα συμβαίνει πολλάκις, ὡς μὴ θέλειν ἐπιδιδόναι τὴν χεῖρα τῷ ἰατρῷ, πάντως δεῖ ποτε σπουδάζειν ἀπὸ τῆς ὀρθίας φλεβὸς τῆς ἐν τῷ μετώπῳ τὴν ἀφαίρεσιν ποιήσασθαι τοῦ αἵματος. ποιήσεις δὲ τοῦτο καλῶς, ἐὰν ὁ * ἐρίοις περισφίγξῃς τεχνικῶς τὸν τράχηλον, ὥστε κυρτωθῆναι τὸ ἀγγεῖον. οὕτω γὰρ σοῦ πράξαντος, ἀκοντισθήσεται μετὰ τοῦ πνεύματος ἀνεμποδίστως ἅμα τῇ τομῇ τὸ αἷμα. ἐγὼ γοῦν ἰασάμην τινὰ πάνυ φρενιτικόν. καὶ εἰ μὴ πολλοὶ καὶ ἰσχυροὶ κατεῖχον οἰκέται, περιεσφιγμένον πανταχόθεν. οὐδαμῶς ἂν οὐδὲ τὴν ἐν μετώπῳ φλέβα ἠδυνήθην τεμεῖν. οὕτως ἀγρίως ἐκινεῖτο, καὶ τὰ τῶν μαινομένων ἔπραττεν ἅπαντα, καὶ εἴ γε ξίφος ἦν αὐτῷ, ἔσφαξεν ἂν οὐκ ὀλίγους τῶν συνόντων αὐτῷ. ἐπεὶ δὲ δὶς ἀφελεῖν ἐφαίνετο δυσχερὲς τοῦ αἵματος, ἀλλ' οὕτω τοσοῦτον ἐξ ἀρχῆς ἐκενώσαμεν, ὅσον ἂν ἔμελλεν ἀρκεῖν αὐτῷ, εἰ καὶ ἐκ δευτέρου πάλιν ἀφελόντες ἦμεν. ἦν δὲ θαυμάσαι τῆς κενώσεως γινομένης, ὅπως τοῦ καταρρέοντος ἐπιρροφᾶν ἐσπούδαζεν. ἅμα δὲ καὶ τοὺς παρεστῶτας ἀπερράντιζεν, ὥστε καὶ γέλωτα κινεῖσθαι δι' αὐτὸ τοῖς πολλοῖς. ἀλλ' οὗτος μὲν ἐθεραπεύθη ταχέως, μετὰ καὶ τῆς ἄλλης προνοίας ἀκολούθως γινομένης εἰς αὐτόν. οὕτω μὲν οὖν δεῖ πράττειν, εἰ μὴ δυνατὸν ἦν τέμνειν τὴν ἀπ' ἀγκῶνος φλέβα. μετὰ δὲ τὴν τοῦ αἵματος κένωσιν, καὶ τοπικῶς δεῖ βοηθεῖν, καὶ διαβρέχειν ὀξυρροδίνῳ τὴν κεφαλήν, ὥστε μὴ θερμὴν αὐτὴν οὖσαν ἐπὶ πλέον ἔχειν, καὶ διὰ τοῦτο πληροῦσθαι. προσσπουδάζειν δὲ δεῖ τῷ ὀξεῖ, τῶν τε παρηγορικῶν, καὶ ὕπνον ἐμποιεῖν δυναμένων προσπλέκειν. ὅταν δὲ ἀκμάζῃ τὸ νόσημα, καὶ ἀγρυπνίας ἐπιφέρῃ καὶ παρακοπάς, ἔτι μᾶλλον βοηθεῖν, καὶ ἐπὶ πλέον καταβρέχειν τῷ ὀξυρροδίνῳ, καὶ καταπλάττειν τῷ ἀποζέματι τῶν χαμαιμήλων, καὶ κωδίων, καὶ ἑρπύλλου, καὶ κισσοῦ, καὶ πάλιν τῷ ὀξυρροδίνῳ, καὶ ὀσφραντικοῖς, καὶ χρίσμασιν, ὥστε παντὶ τρόπῳ τὴν ἀγρυπνίαν ἐκκόψαι, ὕπνον τε ἐμποιῆσαι τῷ κάμνοντι, ὅπερ μόνον καὶ μέγιστόν ἐστι τῶν παραφρονούντων ἴαμα καὶ πάσης νόσου. εἰ δὲ καὶ τούτων γινομένων ἐπιμένει τὰ τῆς ἀγρυπνίας, καὶ τὰ τῆς παρακοπῆς συμπτώματα, ἐπίδος αὐτῷ ποιεῖν πρὸς ἅπαντα χρήσιμον γινόμενον τὸ διὰ κωδιῶν. οὐ μόνον γὰρ ἰάσεται τὴν ἀγρυπνίαν, ἀλλὰ καὶ τὸν πυρετόν, ἔτι δὲ κεκαυμένην τὴν κεφαλήν, ὥσπερ ἀπὸ πυρός, ἐκψύξαι δυνήσεται. εἰ δὲ μηδὲν πάνυ κατεπείγει, μὴ σπουδάσῃς δοῦναι τὴν διὰ τῶν κωδιῶν, καὶ μάλιστα, εἰ μήτε γνησία φαίνοιτό τις εἶναι ἡ φρενῖτις, ἀλλὰ καί τι φλέγματος μετέχουσα, ὥστε καὶ νόθην αὐτὴν ὀνομάζεσθαι, ἀπέχου τηνικαῦτα προσφέρειν αὐτὴν τοῦτον, ἢ ἄλλο τι

τῶν καρῶσαι καὶ ναρκῶσαι δυναμένων. εἰ δὲ καὶ ἀσθενὴς ἡ δύναμις ᾖ, παραιτοῦ τότε μάλιστα διδόναι τι τῶν ναρκωτικῶν, ἐπιφέρειν τε * φησιν ὕπνον ἐπαγγελλομένων. ἐπὶ γὰρ τῶν ἀσθενῆ τὴν δύναμιν ἐχόντων οὐχ ἡ τυχοῦσα βλάβη τῇ πόσει τῶν τοιούτων παρακολουθεῖ, ἀλλὰ θάνατος ἔσθ' ὅτε. Περὶ οἰκήματος. Κατασκευάζειν δὲ δεῖ καὶ τὸ οἴκημα ἐν ᾧ διάγει ὁ κάμνων, ὥστε τὸν ἀέρα μήτε πάνυ παχὺν εἶναι, μήτε νοτιώδη, ψυχρὸν, ἢ πάνυ θερμὸν, ὥστε μήτε πύκνωσιν ἐπισυμβαίνειν τῇ κεφαλῇ, μήτε πλήρωσιν, ἀλλ' εὔκρατον εἶναι, ὥστε διὰ τῆς εὐκρασίας ἀνακιρνᾶσθαι τὸ ψυχικὸν πνεῦμα καὶ ἀναχαλᾶσθαι. ἔστω δὲ μᾶλλον φωτεινὸν ἢ σκοτεινὸν, ὥστε διὰ τῆς αἰσθήσεως εἰς συναίσθησιν ἔρχεσθαι τῶν συνήθων τὸν κάμνοντα. διὸ καὶ φίλοι τινὲς οἱ πάνυ συνήθεις παραμενέτωσαν αὐτὸν, ὡς καὶ αἰδεσθήσεται προσεγκαλοῦντας ἐφ' οἷς πράττει. μήτε δὲ οἰκέτης ἢ συγγενὴς εἰσιέτω πρὸς ὃν ἔχει ποτὲ λύπην, ἢ ὀργήν. ἐρεθιστικὸν γάρ ἐστι τοῦτο καὶ κινητικὸν, καὶ τοῦ πάνυ ταράττεσθαι φανερὸν αἴτιον γίνεται, μήτε δὲ αὐτὸ εἰσιέτω τὸ τῶν φίλων πλῆθος. οἱ γὰρ πολλοὶ θορύβου μόνον αἴτιοι αὐτῷ γίνονται, καὶ προσέτι καὶ τὸν ἀέρα παχύνουσιν, ἐκπνέοντες ὑγρὰ πνεύματα. φυλαττέσθω δὲ μὴ κινεῖσθαι βιαίως, ἀλλὰ πράως, ὥστε μὴ δι' ἀσθένειαν διασείεσθαι τὴν κλίνην. παροξυντικὸν γὰρ εἴπερ ἄλλο, καὶ τοῦτο, καὶ τοῦ ὕπνου ἐμποδιστικόν. διακρατείτωσαν δὲ τὰ μέλη ἅπαντα οἱ παρόντες ἀβιάστως, καὶ ἀνατριβέτωσαν ἠρέμα, καὶ μάλιστα τὰ κάτω, καὶ τότε πλέον ἡνίκα οἱ σπασμοὶ τῷ κάμνοντι γίνονται· περιβαλλέσθωσαν δὲ δεσμοὶ περὶ τὰ κῶλα. καὶ γὰρ προτρέπει τοῦτο τὴν ὕλην περὶ τὰ κάτω, καὶ προσέτι τῶν σπασμῶν γίνεται παρηγορικόν. κάλλιον δὲ καὶ προσαντλεῖν, μετὰ τὴν ἀνάτριψιν τῶν κάτω, καὶ οὕτως ἐπιδεσμεῖν, ὥστε δυνηθῆναι καταχεῖν εἰς τὰ κάτω μᾶλλον τὴν ὕλην προτραπεῖσαν διὰ τῆς προσαντλήσεως ἅμα καὶ ἀνατρίψεως. μηδὲν δὲ ποιεῖν εἰς τὴν παρακμὴν τῶν πυρετῶν, καὶ πρὸ πολλοῦ τῆς εἰσβολῆς. δεῖ δὲ καὶ τὰς σικύας αὐτῷ προσφέρειν, καὶ μάλιστα πρὸ τῶν εἰσβολῶν, ὥστε διὰ τῆς ἀντισπάσεως εἶρξαι τὴν τῆς ἄνω ὕλης ὁρμήν. ὡσαύτως δὲ καὶ τὰ ἐπιρροφήματα ἀεὶ προσφέρειν αὐτοῖς, ὡς μὴ πολὺ σύνθετα, μήτε πάλιν θερμὰ εἶναι, χλιαρὰ δὲ μᾶλλον. ὅσοι γὰρ ἐπυρίασαν ἐπὶ πλέον τὰ σπλάγχνα, μεγίστων αἴτιοι κακῶν οὗτοι τοῖς κάμνουσιν ἐγένοντο, τὴν ὕλην ἀνακινήσαντες ἀθρόως, ὥστε πρὸς τὴν ἄνω φορὰν ὁρμήσασαν ἀποπληρῶσαι τὴν κεφαλὴν εἰς τοσοῦτον, ὥστε παρακόψαι γενναίως, ἔσθ' ὅτε δὲ καὶ καρωθῆναι, καὶ πάλιν δεηθῆναι τὴν τέχνην τῶν δυναμένων διεγεῖραι, πταρμικῶν τε καὶ ἀνατρίψεων, διὸ πυριῶν σφοδροτέρων οὐ δεῖται τὰ σπλάγχνα, καὶ μάλιστα ἐπὶ τῶν ἰσχυροτέρως πυρεσσόντων, καὶ ἐφ' ὧν ἐστι πλῆθος καὶ ἡ κεφαλὴ πεπόνθεια. ἀρκεῖ οὖν μόνον τὸ λινόσπερμον ὑδρελαίῳ συνεψηθῆναι, ἢ εἰς ζέμα χαμαιμήλων προσηνὲς καὶ εὔκρατον ἐπιπλασθὲν τοῖς σπλάγχνοις. οὕτω γὰρ τὸ ζέον πραϋνθήσεται, καὶ διατεταμένα τῶν σπλάγχνων ἔσται χαλαρά, καὶ διὰ τοῦτο καὶ τὰ τῶν πυρετῶν ἔσονται πραΰτερα.

Περὶ διαίτης. Δεῖ δὲ μετὰ τοῦ φαρμακεύειν * καθὼς ἐθέλειν προσέχειν καὶ τῇ διαίτῃ, ὡς ἀναγκαιοτάτῃ μάλιστα. πολλοὶ γὰρ ἀμελοῦσι, καὶ οὐκ ἴσασιν ὅσα δύναται βλάψαι καὶ ὠφελῆσαι ἡ δίαιτα τὸν κάμνοντα, εἴθε δὲ κἂν τὸ φαρμακεύειν ὀρθῶς ἠπίσταντο, καὶ καιρὸν ἐζήτουν, ἢ τάξιν, ἢ ποιὸν, ἢ ποσόν. ἀλλ' οὐδενὶ τούτων προσέχοντες καθ' ἑκάστην εἴσοδον παρέχουσι πράγματα τοῖς σπλάγχνοις, ἢ διαβρέχοντες,

ἢ κατα-

ἢ καταπλάττοντες, ἢ σκευάζοντες ἐν παντὶ καιρῷ, καὶ πλήθους ὄντος, ἔσθ' ὅτε καὶ ἀπεψίας, καὶ ταῦτα σαφῶς βοῶντος τοῦ σοφωτάτου Γαληνοῦ, ὡς οὔτε καταπλάσμασιν, οὔτε καταιονήμασιν ἐν παντὶ καιρῷ δεῖ κεχρῆσθαι, εἰ μὴ ἐπὶ μόνων ἐκείνων οἷς οὐδὲν ἐν ὅλῳ τῷ σώματι, ἀλλὰ τὰ περιττά, τοῖς δὲ ἄλλοις ἅπασι κακὸν ἔσχατον. ἀλλὰ ταῦτα μὲν οἱ κακῶς ἔχοντες λόγου πράττουσιν· ἡμεῖς δὲ ὅσα μεμαθήκαμεν ἐκ τῶν παλαιῶν, ἅμα δὲ καὶ εἴ τι πράττειν ἡμᾶς ὀρθῶς ὑπαγορεύει ὁ λόγος, ἤδη λέγωμεν. πτισάνη μὲν οὖν πρῶτον ἁπάντων ὡς ἐν διαίτῃ τοῖς φρενιτικοῖς προσφερέσθω βοήθημα, καλῶς μάλιστα προεψημένη. διδόσθω δὲ ὁ χυλὸς αὐτῆς μόνος, εἰ δὲ μὴ ἡδέως ἔχοιεν, σὺν τοῖς κόκκοις αὐτὴν λαμβανέτωσαν ἀντὶ τινὸς ἐδέσματος· εἰ δὲ ἡδέως ἔχοιέν τι, προσπλέκεσθαι ἁρμόζει μόνον ὑδρόμελι μικρόν, ἢ ὑδροροσάτον, ἢ ῥοδόμηλον, τὸ δὲ ὑδρόμηλον, μάλιστα τὸ * κυβυειατικόν, ὡς πολέμιον αὐτοῖς, φεύγειν δεῖ, καὶ τὸ ὀξύμελι. εἰ δὲ μὴ ἡδέως ἔχοιεν τὴν πτισάνην· πολλοὶ γὰρ οὐδὲ τοῦ ὀνόματος αὐτῆς ἡδέως ἀκούουσιν· ἐπιδιδόναι αὐτοῖς δεῖ τὸν τοῦ βρώμου χυλόν, εἰ εὑρίσκοιτο, ἢ κιτείου· εἰ δὲ καθόλου τὰ ῥοφήματα ἀποστρέφοιτο, ἄρτον εἰς θερμὸν ὕδωρ βεβρεγμένον ἐπιδίδου. οὐκ ἔλαττον γὰρ αὐτοὺς ὠφελήσει τῶν ῥοφημάτων. Περὶ λαχάνων. Λαχάνων δὲ ἐσθιέτωσαν ἴντυβα, καὶ μαλάχην ἑψηθεῖσαν, ἔσθ' ὅτε δὲ καὶ ἄνεφθα, ἐὰν ἄγαν ἡ θερμότης ὑπερβάλλουσα φαίνοιτο, καὶ διψώδης ὁ κάμνων ὑπάρχοι, καὶ πάνυ ἄγρυπνος. οὕτω γὰρ ὠφελήσεις. καὶ ἔτι μᾶλλον, ἐὰν τοὺς καρποὺς παρέχῃς τῆς θριδακίνης, καὶ τῶν σικύων τὴν ἐντεριώνην, καὶ τῶν πεπόνων, πέψεως δὲ φανείσης, καὶ ἰχθύων λαμβανέτωσαν, καὶ ἐχίνου, καὶ κτενίων.

Περὶ ὀπώρας καὶ πόματος. Τῆς ὀπώρας δὲ λαμβανέτωσαν * δωράκινα, περσικῶν δὲ καὶ κερασίων, καὶ μήλων, καὶ ῥοιῶν, τούτων ὀλιγάκις. πίνειν δὲ αὐτοὺς συνεχέστερον συμφέρει, καὶ κατ' ὀλίγον, εὔκρατον. οὔτε γὰρ ὀρέγονται πολλοῦ πόματος, οὔτε ὠφελοῦνται ἀθρόως πίνοντες, τὸ δὲ ψυχρὸν ὕδωρ παραιτεῖσθαι διὰ τὸ μὴ εἶναι ἀσφαλές. εἰ γὰρ εὑρεθείη ἡ φλεγμονὴ περὶ τὸ διάφραγμα, ἢ περί τι τῶν ἄλλων μορίων, οὐ σμικρὸς ὁ κίνδυνος. εἰ γὰρ καὶ παρ' αὐτὰ δόξει παρηγορεῖν * τὸ ψυχροποτεῖν, ἀλλ' οὖν μείζονας ὕστερον καὶ κακοήθεις ἐργάζεται πυρετούς, ὥστε καὶ τὴν παρακοπὴν αὐξηθῆναι, καὶ ἁπλῶς εἰπεῖν, ἅπαντα μεταβάλλειν ἐπὶ τὸ κακοηθέστερον. ἀσφαλέστερον οὖν εὐκράτῳ μᾶλλον κεχρῆσθαι ἢ ψυχρῷ ὕδατι. οἶδα δὲ καὶ ὑδρελαίῳ χρησάμενος, ἐφ' ὧν εἶδον ἄμετρον ξηρότητα, καὶ καυσουμένην τὴν χολὴν ἄνω, καὶ οὐδὲν ἀξιόλογον ἐκ τῶν ἐντέρων ἐκκρινόμενον, ἐπραΰνθη δὲ ἐκ τούτου τὰ τῆς θερμασίας, καὶ ἐχαλάσθη τὰ συντεταμένα καὶ φλεγμαίνοντα, καὶ διὰ γαστρός, καὶ δι' ἐμέτων ἔκκρισις ἐγίνετο χολώδης, ὥστε μὴ πολλῶν ἡμερῶν ἔτι δεηθῆναι τελέως ἅπασαν ἀπορρῖψαι τὴν νόσον τὸν κάμνοντα. καὶ γὰρ πάντα αὐτῷ τὰ προσαγόμενα βοηθήματα ἐπράττετο, τοῦ παντὸς ὄντος ἀπερίττου σώματος. Περὶ λουτροῦ. Λούειν δὲ χρή, καὶ ἀλοιφὴν παραλαμβάνειν, ἐφ' ὧν ἤδη κένωσις ἐγίνετο, καὶ ποσότης οὐκ ἐνοχλεῖ τῷ παντὶ σώματι, ἀλλὰ ξηρότης, καὶ ἀγρυπνία πλείστη, καὶ οἱ πυρετοὶ ἔνδον. οὐδὲν βλάψεις τὸν οὕτω λουόμενον, μάλιστα εἰ καὶ εὔκρατον παραληφθείη τὸ λουτρόν. ὥστε μήτε τὸν ἀέρα πυρώδη, μήτε τὴν δεξαμενὴν ἄγαν εἶναι θερμήν. ὅσοι δὲ δεδοικότες τὸν πυρετὸν οὐ λούουσι, τὰ μέγιστα βλάπτουσιν. ἀγρυπνικώτεροι γὰρ ἐκ τῆς ἀλουσίας, ἔτι μᾶλλον καὶ ταραχώδεις γίνονται τὴν διάνοιαν. λούειν

οὖν χρή, ὡς εἴρηται. οὕτω γὰρ χρώμενοι εἰς εὐκρασίαν ἐπανέρχονται, καὶ τοῦ λοιποῦ τῆς παραφροσύνης καὶ τῆς ἀναπλούσης τὸν πυρετὸν ἀπαλλάττονται διαθέσεως.

Περὶ οἴνου. Τολμᾶν δὲ καὶ οἶνον διδόναι τοῖς φρενιτικοῖς ἄγυψον, ἐφ' ὧν ἡ ἀγρυπνία πολλὴ καὶ ἡ δύναμις ἀσθενής, οἵ τε πυρετοὶ τὸ σφοδρὸν οὐκέτι καὶ τὸ διακαὲς ἔχουσιν, ἀλλὰ καὶ πέψις τις ἐπιφαίνεται τοῖς οὔροις. ἔτι δὲ μᾶλλον ἐκείνοις δεῖ θαρρούντως διδόναι, οἷς καὶ συνήθες ἐστιν ἐν τῇ ὑγείᾳ φιλεῖν τὸν οἶνον, καὶ τὸ στόμα τῆς γαστρὸς ἀσθενές, καὶ ψυχροτέρα φύσει. ἐπὶ γὰρ τούτων εὔκαιρός ἐστιν ἡ τοῦ οἴνου ἐπίδοσις ἅπασι τοῖς παραφρονοῦσι συμμέτρως παραληφθεῖσα. μεταβάλλει γὰρ αὐτῶν τὸν θυμόν, καὶ τὸ ἄγριον ἦθος εἰς εὐθυμίαν, ὕπνον τε φέρει, διὰ τὸ ταχέως τὴν τροφὴν πέττεσθαι, καὶ ἀναδίδοσθαι παρασκευάζει ἐν τῷ ὅλῳ σώματι. ἐφ' ὧν οὖν οὐκ ἔστιν ἐν τοῖς ὑποχονδρίοις ἡ ζέουσα φλεγμονὴ θερμὴ πάνυ πολλά, καὶ ἡ δύναμις ἀσθενοῦσα, προτρέπου διδόναι θαρρῶν αὐτοῖς οἶνον. τὸ γὰρ ἐξ αὐτοῦ ὠφέλεια μείζων ἔσται τῆς νομιζομένης ἔσεσθαι βλάβης. ἐὰν γὰρ ἡ δύναμις ἐπανέλθῃ, καὶ μὴ συγχωρηθῇ καταπεσεῖν, ἅπαντα πράττειν δυνάμεθα, καὶ βοηθεῖν πολυτρόπως τῷ κάμνοντι. καταπεσούσης δὲ αὐτῆς ὑπὸ τῆς ἀγρυπνίας, ἄπορος ἡ θεραπεία πᾶσα τῶν ἰατρῶν γενήσεται. μετρεῖν οὖν τήν τε προσδοκωμένην βλάβην ἐκ τοῦ οἴνου, καὶ τὴν ὠφέλειαν, κἂν ᾖ πλείονα τὰ ἐπιτρέποντα, διδόναι δεῖ καταφρονοῦντα τῆς ἐλάττονος βλάβης. οὐκ ἐνδέχεται γὰρ τὸ ὠφελοῦν μὴ κατά τι καὶ βλάπτειν. ἰατροῦ δέ ἐστι τὸ μετρεῖν καὶ κρίνειν τὰ τοιαῦτα. ἐν ποσότητι γὰρ ἅπαντα συμμέτρως καὶ ποιότητι, καὶ τάξει, καὶ καιρῷ προσφερόμενα, πάντα κατορθοῦται τὰ τῆς τέχνης, καὶ τέλος ἐπιφέρει χρηστόν.

ιδ'

Περὶ ληθάργου.

Ὁ γνήσιος λήθαργος, ὥσπερ ἡ φρενῖτις, ἔχει μὲν τόπον ἐγκεφάλου, ὕλην δὲ ἐναντίαν τῇ φρενίτιδι. ἐπὶ φλέγματι γὰρ πλεονάζοντι γίνεται ὑγραίνοντι αὐτὸν καὶ διαβρέχοντι ἰσχυρῶς, ὡς μὴ δύνασθαι μεμνῆσθαι τῶν λεγομένων, ἀλλὰ μύειν ἀεὶ ἐθέλειν τὰ βλέφαρα, καὶ ἡσυχάζειν, ἢ δι' ὅλου καρουμένους ὑπὸ τῆς καταπνιγούσης καὶ ναρκούσης τὸ ψυχικὸν πνεῦμα, ὑγρότητος ἅμα καὶ ψύξεως. ἐὰν οὖν φλεγματικὸς ᾖ μόνος ὁ τὸν λήθαργον ἐργαζόμενος χυμός, ὁ γνήσιος λήθαργος γίνεται, καὶ πάντα ταῦτα ἐπιφέρει τὰ συμπτώματα. εἰ δὲ μὴ μόνον εἴη τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἀλλὰ καὶ χολή, ἀνάγκη καὶ τὰ συμπτώματα μικτὰ γίνεσθαι, ὡς ποτὲ μὲν ἀγρυπνεῖν, ποτὲ δὲ ὑπὸ βαθυτάτου ὕπνου ἔχεσθαι, ποτὲ δὲ παραφρονεῖν. ἀμφότερα γὰρ πράττουσι, μύουσί τε τὰ βλέφαρα, καὶ τὰς χεῖρας κινοῦσιν, ὥσπερ ψηλαφῶντές τινα, καὶ αὐτὰ ἔχειν οὐ δυνάμενοι. ὅσοι μὲν οὖν μετριώτερον διάγουσιν, ἐμβοώντων αὐτοῖς τινων, ἀνοίγουσιν ἔσθ' ὅτε τὰ βλέφαρα, καὶ πάλιν μύουσιν. εἰ δὲ πάνυ ἀσθενῶς ἔχοντες καὶ πάνυ κρατούμενοι, οὐδὲ ὅλως ὑπακούουσιν, οὐδὲ κινοῦσι τὰ βλέφαρα, καὶ τοὺς σφυγμοὺς ἀραιούς, καὶ μικρούς, καὶ ἀμυδροὺς ἴσχουσιν. οὕτω μὲν οὖν εὐχερές ἐστι διαγινώσκειν αὐτούς. λέγωμεν δὲ πῶς αὐτοὺς δεῖ θεραπεύειν. Θεραπεία. Πάντα περισκεψάμενος ἀκριβῶς ὅσα γε ἡμῖν οἱ παλαιοὶ παρακελεύονται, τήν τε δύναμιν φημὶ τοῦ κάμνοντος καὶ τὴν ἕξιν, τά τε ἄλλα, τήν τε ἡλικίαν, καὶ κατάστασιν ὅλου τοῦ σώματος, οὕτως ἐλθεῖν εἰς τὴν πρὸ πάντων ἀφαίρεσιν παραλαμβάνειν αἵματος, ἐὰν μή σοι τι τῶν

εἰρημένων ἀνυπεράτη, καὶ μάλιστα ἡ δύναμις. προνοησάμενος δὲ τοῦ παντός, καὶ τοπικῶς βοηθεῖ τῷ κάμνοντι, πᾶσαν ἐπιμέλειαν τῇ κεφαλῇ προσάγων, ὥστε καὶ τοὺς ἀτμοὺς κωλύεσθαι τοὺς ἄνω φερομένους, καὶ τοὺς ἤδη φθάσαντας ἐμπεσεῖν διαφορηθῆναι. μάλιστα γὰρ τοῦτο ποιεῖ τὸ ὀξυρρόδινον, ἰσχυροποιοῦν τὴν κεφαλὴν, καὶ μάλιστα ἀρχομένου τοῦ πάθους, ὥστε μὴ εὐχερῶς δέχεσθαι τοὺς λοιποὺς πολλοὺς ἐπ' αὐτὴν ἀναφερομένους ἀτμούς. ἐπεὶ οὖν ἡ περιεχομένη περὶ τὸν ἐγκέφαλον ὕλη φλεγματική ἐστι, καὶ τὸ πλεονάζον αἴτιον ὑγρὸν ἀπεδείχθη καὶ ψυχρόν, μιγνύειν χρὴ καὶ συνέψειν τῷ ὀξυρροδίνῳ καὶ τῶν λεπτύνειν ἅμα δυναμένων. οἷον, ἢ πολκεδμου, ἢ καστορίου, ἢ γλήχωνος, ἢ καλαμίνθης, ἢ θύμου. καὶ ἐπιχρίειν τὸ μέτωπον, ἢ καστορίῳ, ἢ θριξὶ κεκαυμέναις ἀνθρωπείαις, καὶ λειωθείσαις μετὰ ὄξους. πάνυ γὰρ ὠφελεῖ καὶ διεγείρει τὰ τοιαῦτα, ἴσως δὲ καὶ ἀντιπαθείᾳ τινί. εἰ δὲ ἐπιμένει τὸ πάθος, καὶ δυσδιέγερτοι τυγχάνουσι, κεχρῆσθαι δεῖ πταρμικῷ τῷ στρουθίῳ καλουμένῳ, ἢ μετὰ καστορίου, ἢ πεπέρεως, ἢ εὐφορβίου, ἢ ἐπιθύμου, ποτὲ μὲν ἐμφυσῶντας, ἄλλοτε δὲ πτερῷ διαχρίοντας. οὐ δεῖ δὲ συνεχῶς τοῦτο ποιεῖν. ἀποκάμνει γὰρ ἡ δύναμις αὐτῶν, καὶ προσέτι μᾶλλον πληρωτικὰ γίνονται τῆς κεφαλῆς. ἀνατρίβειν δὲ καὶ τὰ σκέλη, καὶ τῷ σικυωνίῳ καταχρίειν ἐλαίῳ. ἔσθ' ὅτε δὲ καὶ αὐτῇ μόνῃ τῇ σκίλλῃ μετὰ ὄξους λειωθείσῃ καταπλάττειν τὰ σκέλη. τοῦτο γὰρ καὶ τοὺς πάνυ καταφερομένους ὕπνῳ βαθεῖ καὶ καρώδει οἶδε διεγείρειν. εἰ δὲ καὶ κακοήθες, καὶ χρονίζει τὸ πάθος, ἄφελε τῶν τριχῶν, καὶ χρίε τινὶ καὶ αὐτὰ τῶν ἀμύττειν δυναμένων, ἅμα τῷ καστορίῳ. καὶ πίνειν δεῖ αὐτοὺς τὸ καστόριον ὑπὲρ πάντα. σπουδάζειν δὲ μάλιστα περὶ μιᾶς ὥρας τοῦ παροξυσμοῦ. καὶ γὰρ λεπτύνει καὶ ἀναθάλπει τὸ ψυχρανθέν, καὶ ὅλον νεκρωθῆναι κινδυνεῦον τὸ σῶμα. ἐγὼ γοῦν οἶδα τῶν κριθέντων πολλοὺς ὑπὸ μόνου τούτου διαφυγόντας τὸν θάνατον. καὶ καθ' ἑαυτὸ διδόμενον ὠφελεῖ· ἔτι δὲ μᾶλλον καὶ μετὰ ὀξυμέλιτος. εἰ δὲ καὶ πληρωτικὸς εἴη ὁ κάμνων, καὶ μετά τινος τῶν ὑπάγειν τὴν γαστέρα δυναμένων, καὶ μάλιστα τοῦ δακρυδίου. ἀρκεῖ δὲ δυσὶ γράμμασι καστορίου προσπλέκειν ἓν γράμμα δακρυδίου, ἢ πλέον μικρὸν, ἢ ἔλασσον πρὸς τὴν δύναμιν ἀποβλέποντα. γινέσθω δὲ μὴ μόνον τὰ βοηθήματα τῶν λεπτυνόντων, ἀλλὰ καὶ ἡ τροφὴ τοιαύτη. διὸ καὶ τὸν χυλὸν αὐτοῖς τῶν ἀμυγδάλων ἑψηθέντων αὐτῶν μετὰ μέλιτος δεῖ παρέχειν. καὶ πτισάνη δὲ αὐτοῖς παρεχέσθω, ἔχουσα κόμην πράσου, ἢ σελίνου, ἢ ὑσσώπου, εἰ μὴ σφόδρα πυρέττοιεν. εἰ γὰρ εἴη πυρετὸς σφοδρός, οὐ χρὴ συνέψειν τῷ ὑσσώπῳ, ἀλλ' ἀρκεῖ καὶ ἡ ῥίζα τοῦ σελίνου μόνου, καὶ τὸ ἁπλοῦν ὀξύμελι καὶ μετὰ τῆς πτισάνης, καὶ καθ' ἑαυτὸ μόνον. ἀγαθὸν δὲ καὶ αἱ ψύχες μετὰ ἀπομέλιτος ἢ ὑδρομήλου διδόμεναι, τὸ δὲ ὑδρόμηλον τὸ * κυβυριαλικὸν οὐ δεῖ διδόναι αὐτοῖς, ἀλλ' οὐδὲ κνιδείου ὅλως, ἀπέπτου τοῦ νοσήματος ἔτι ὄντος, ἀρξαμένου δὲ πέττεσθαι, οὐδὲν κωλύει καὶ λούειν αὐτοὺς, καὶ οἴνου ἐπιδιδόναι βραχέως, καὶ μάλιστα μετὰ φλεβοτομίαν, καὶ γαστρὸς ὑπαγωγὴν, καὶ κάθαρσιν μετρίαν ὅλου τοῦ σώματος. οὐ δεῖ δὲ φοβεῖσθαι τὸ λουτρὸν, εἴπερ μὴ ἐστὶ πλῆθος περιττωμάτων, καὶ τὰ ὄντα περιττὰ μᾶλλον διαφορηθήσεται διὰ τῆς τοῦ λουτροῦ μετρίας θέρμης. ἐγὼ γοῦν οἶδα μετὰ ἑπτὰ ἡμέρας εἰσαγαγὼν ἐν λουτρῷ τινας τῶν οὕτω νοσούντων, μηδὲ ἀναβλέπειν ὑπὸ τοῦ πολλοῦ κάρου δυναμένους, μηδὲ αὐτὸ τοῦτο συναισθανομένους ὅτι λούονται, μᾶλλον εὗρον ἀπὸ τοῦ λουτροῦ διεγερθέντας, καὶ ἀναβλέψαι δυναμένους, καὶ λαλῆσαι, καί τινας ἐπιγνῶναι τῶν παρεστώτων. εἰ μὲν

οὕτω ἡ δύναμις ἐρρωμένη φαίνοιτο, χρὴ λούειν ἐν τῷ βαλανείῳ. εἰ δὲ ἀσθενεστέρα εἴη, ὡς μὴ δύνασθαι τὸν ἄρρωστον φέρειν τὸν κόπον, ἢ τὴν ἐκ τοῦ λουτροῦ θέρμην, ἐν τῷ οἴκῳ λοῦσον, πληρώσας ἓν ἀγγεῖον θερμοῦ ὕδατος, ὥστε χωρῆσαι τὸν κάμνοντα καθεζόμενον, ὑπερέχοντα τὴν κεφαλὴν ἐκ τοῦ ὕδατος, εὐχερὲς δέ ἐστι κατασκευάσαι διὰ ξύλων τὸ τοιοῦτον ἀγγεῖον. μὴ βρεχέτω δὲ τὴν κεφαλὴν ὁ νοσῶν, ἐπεὶ πρὸς τῷ μηδὲν ὠφελεῖσθαι, ἔτι καὶ λειποθυμίαν ταχέως ὑπὸ τῆς καταχύσεως τοῦ θερμοῦ πάσχει. οὕτω μὲν οὖν ἄχρι ἑνὸς ἢ δύο λουτρῶν δεῖ πράττειν. ἔπειτα λοιπὸν ἄγειν αὐτὸν ἐπὶ βαλανεῖον, καὶ σμήχειν τοῖς συνήθεσι μηδὲν ὑφορώμενον. τοιαύτην δεῖ ποιεῖσθαι καὶ ἐπὶ τῶν ἐχόντων κάρον ἴασιν. οὐ γὰρ ἡ θεραπεία πολύ τι διήλλακται, οὐδὲ ἡ αἰτία. χρὴ δὲ γινώσκειν ὅτι ὁ κάρος κατὰ τὸ ἔμπροσθεν μᾶλλον συνίσταται μέρος τῆς κεφαλῆς, ὥστε καὶ τὰς αἰσθητικὰς αὐτῶν ἐπὶ πλέον ἀδικεῖσθαι δυνάμεις. γίνεται δὲ καὶ ἐπὶ σφοδραῖς ὀδύναις, ὡς ἂν διαφορουμένου καὶ καταπίπτοντος τοῦ ψυχικοῦ πνεύματος. καὶ ταῖς ἀνατρίψεσι δὲ συμβαίνει τὸ σύμπτωμα τοῦτο, ἐὰν ἀμαθῶς τις κρατήσας ἐπιδήσῃ τὴν μήνιγγα τῷ μηνιγγοφύλακι. οὕτω δὲ κἂν ὀστέον συντρίβων σφοδρότερον, μᾶλλον τὴν μέσην τοῦ ἐγκεφάλου πιλήσει κοιλίαν. περὶ δὲ τῆς τούτων θεραπείας οὐ νῦν ἐστι καιρὸς γράφειν. ἰδίας γὰρ ταῦτα χρῄζει θεραπείας, καὶ φυλαξόμεθα ἐκεῖσε περὶ τούτων εἰπεῖν, ἐν τῷ περὶ καταγμάτων. πρόκειται δὲ λεχθῆναι περὶ ἐπιληψίας.

ιε' Περὶ ἐπιληψίας.

Τὸ τῆς ἐπιληψίας πάθος ἕν τι καὶ αὐτὸ τῶν χρονίων παθῶν ἐστιν, ὑπερβαλλούσης ἀκριβείας καὶ σπουδῆς δεόμενον, καὶ εἴ γε ἀμεληθείη κατ' ἀρχάς, πολλάκις ἀποθνήσκειν ποιεῖ τοὺς ἔχοντας αὐτό. τῆς γὰρ κεφαλῆς ἐστι τὸ πάθος, ἔνθα ἡ ἀρχή ἐστιν αἰσθήσεως καὶ κινήσεως. ὅτι δὲ τῆς κεφαλῆς ἐστι τὸ πάθος δηλοῖ τὸ συμβαῖνον αὐτοῖς ἐν τοῖς παροξυσμοῖς. οὔτε γὰρ ἀκούειν, ἢ ὁρᾶν, ἢ νοεῖν ὅλως, ἢ μεμνῆσθαί τινος δύνανται, ἀλλὰ πάσης αἰσθήσεως ἔρημοι κεῖνται, καὶ νεκρῶν οὐδὲν ἀπέχοντες. διὰ τοῦτο καὶ ἐπιληψίαν τὸ πάθος ἐκάλεσαν, διὰ τὸ ἐπιλανθάνεσθαι καὶ κρατεῖσθαι αὐτῶν τὰς αἰσθήσεις. ἐκάλεσαν δὲ αὐτὸ τοῦτό τινες καὶ ἱερὰν νόσον, διὰ τὸ ἱερὸν καὶ τίμιον εἶναι τὸν ἐγκέφαλον, ἄλλοι δὲ ἡρακλείαν νόσον, διὰ τὸ ἰσχυρὸν καὶ δυσμετάθετον τῆς νόσου, καὶ ἄλλοι ἄλλως ὠνόμασαν. ἀλλ' οὐ δεῖ γράφειν ἅπαντα. ἐκεῖνα δὲ μᾶλλον ὅσα ἁρμόττει. ταῦτα γὰρ μᾶλλον εἰδέναι δεῖ καὶ σπουδάζειν. τοῦτο γὰρ καὶ ποιεῖν ὑπεσχόμεθα. γίνεται τοίνυν κατὰ τρεῖς τρόπους ἡ ἐπιληψία. ἢ γὰρ τῆς κεφαλῆς πρωτοπαθούσης, ἢ τοῦ στομάχου, ἢ ἄλλου τινὸς μορίου πάσχοντος, καὶ ἐπὶ τὴν κεφαλὴν ἀναπέμποντος τὴν οὖσαν ἐν αὐτῷ κακίαν. Σημεῖα τῆς ἐπὶ στομάχῳ γινομένης ἐπιληψίας. Σημεῖα δὲ τὸ ἀπὸ στομάχου γίνεσθαι τὴν ἐπιληψίαν, τὸ συνεχῆ πλειστάκις ἐν αὐτῷ γίνεσθαι καὶ κλόνον τινὰ καὶ δεῖξιν, καὶ παροξύνεσθαι μᾶλλον αὐτούς, καὶ ὑπομένειν τὸ τῆς ἐπιληψίας πάθος, ἡνίκα συμβῇ βραδυσιτεῖν αὐτούς, ἢ * ὀλιγοσιτεῖν. Σημεῖα τῆς ἐπὶ ἑτέρῳ μορίῳ ἐπιληψίας. Οἱ δὲ ἐπί τινι μορίῳ καταπίπτοντες αἰσθάνονται σαφῶς τὴν ἀνάδοσιν γινομένην ἐπὶ τὰ ἄνω, καὶ προλέγουσι τὸ μέλλον αὐτοῖς ἔσεσθαι τῆς ἀναδόσεως ἐπὶ τὸν ἐγκέφαλον ἀρχομένης γίνεσθαι. συμβαίνει δὲ τὸ πάθος καὶ παιδίοις, καὶ μάλιστα τοῖς ὑγροτέροις. διὸ καὶ παιδικὸν αὐτό τινες ἐκάλεσαν. Σημεῖα

τῆς ἐπὶ

τῆς ἐπὶ προσπαθούσης κεφαλῆς ἐπιληψίας. Οἱ δὲ κεφαλῆς προσπαθούσης πάσχοντες δῆλοι πᾶσίν εἰσι. καὶ γὰρ βαρύνονται περὶ τὴν κεφαλὴν, καὶ σκοτοῦνται, καὶ ἀμβλυώττουσι, καὶ βραδέως αἰσθάνονται. παιδίοις δὲ μάλιστα τοῦτο συμβαίνει τὸ πάθος. ἀρχόμενοι οὖν ἡμεῖς ἀπὸ τῆς παιδικῆς ἡλικίας ἀρξώμεθα. εἰ μὲν οὖν ἔστι βρέφος, ἢ καὶ γάλακτος μεταλαμβάνει, οὐδὲν δεῖ πολυπραγμονεῖν, οὐδὲ πράττειν τῶν θεραπειῶν ἐχομένων. ἐπερχομένη γὰρ ἡ ἡλικία καὶ τὸ θερμὸν αὐξανόμενον διαφορεῖ τὴν περιττεύουσαν περὶ τὴν κεφαλὴν ὑγρότητα, καὶ πληροῦσαν αὐτοῦ τὰς κοιλίας. ὅμως συνεργεῖν δεῖ ἡμᾶς καὶ φροντίζειν, ὅπως τὸ γάλα τῆς τρεφούσης χρηστὸν καὶ ἀπέριττον εἴη. μοχθηρὸν γὰρ ὑπάρχον καὶ παχὺ, μεγάλως οἶδεν ἐμποδίζειν τῇ φύσει. γένοιτο δ' ἂν χρηστὸν καὶ εὔχυμον, ἐὰν τῇ τροφῷ προσέχῃς καὶ τοῖς γυμνασίοις, ὥστε καὶ μέτρια γυμνάζεσθαι τὴν τροφὸν, καὶ τροφαῖς εὐχύμοις κεχρῆσθαι. εἰ μὲν οὖν λεπτὸν εἴη τὸ γάλα, παχύνειν αὐτὸ μετρίως δεῖ. εἰ δὲ παχὺ, λεπτύνειν, οἷον, μάραθρον, ἢ ἄνηθον, ἢ ἄνισον, ἢ εὔζωμον, ἢ πήγανον, ἢ πράσον. πάντων δὲ τούτων χλωρῶν ὄντων προσλαμβανέτω. τὰ γὰρ ξηρὰ δριμύτερα μᾶλλον ὄντα, πλέον ἀναστομοῖ τὰ κατὰ τὴν μήτραν ἀγγεῖα, καὶ τὸ αἷμα τῶν καταμηνίων ἐπὶ κενώσεις προτρέπονται, οὗ περ οὐδὲν ἐστι χεῖρον. ἔλαττον γὰρ ἀνάγκη διὰ τοῦτο τὸ γάλα γίνεσθαι, τοῦ αἵματος ἐλάττονος γινομένου διὰ τὴν κάθαρσιν. διὰ τοῦτο καὶ τὰ ἀφροδίσια κάκιστα ταῖς θηλαζούσαις. λεπτὸν γὰρ καὶ δυσῶδες ἀνάγκη γίνεσθαι τὸ γάλα. εἰ δὲ συμβῇ καὶ συλλαβεῖν, ἔτι μᾶλλον ὀλεθριώτερον, καὶ φεύγειν δεῖ ἐκείνην τὴν τροφὸν ὅλως ἐπιδιδόναι τὸν μαζὸν τῷ παιδίῳ, ἄλλην δὲ μᾶλλον ζητεῖν ἔχουσαν γάλα χρηστόν. Διάγνωσις γάλακτος. Διαγινώσκεται δὲ τοῦτο χροιᾷ, συστάσει, καὶ ὀσφρήσει, ὥστε καὶ λευκότατον εἶναι, καὶ μηδὲν ἔχειν πελιδνὸν, ἢ δυσῶδες. κατὰ δὲ τὴν σύστασιν, ὡς μηδὲν ἔχειν λεπτὸν πάνυ, ἢ παχὺ, ἢ τυρῶδες. τὸ γὰρ τοιοῦτον σπασμοὺς γεννᾶν μάλιστα πέφυκε, καὶ ἐμφράττειν τὰ νεῦρα. διὸ καὶ οἴνου συμμέτρου διδόναι δεῖ ταῖς τρεφούσαις, ἀπερίττου καὶ εὐχύμου, κίνησίν τε καὶ κάματον περὶ τῆς τροφῆς πάντοτε παραλαμβανούσης. οὕτω μὲν εἰ ἔτι θηλάζει ὁ παῖς προνοεῖσθαι δεῖ τῆς τρεφούσης, ὡς χρηστὸν αὐτῆς μένοιεν εἶναι τὸ γάλα. εἰ δὲ κινεῖσθαι λοιπὸν ἔχοιεν καιρὸν, μετρίως αὐτὸ δεῖ ποιεῖν γυμνάζεσθαι καὶ παίζειν, καὶ οὕτως ἐσθίειν. μήτε δὲ λούειν συνεχῶς, ἀλλὰ φυλάττεσθαι τοῦτο μάλιστα μετὰ τὴν τροφὴν, καὶ τὸ πίνειν εὐθὺς μετὰ λουτρὸν, μάλιστα * τῶν εὐκράτων. οὐδὲν γὰρ αὐτοῖς οὕτω βλαβερόν. καὶ ἀλοιφῇ δὲ κεχρῆσθαι καὶ ἀνατρίψει πρὸ τῶν σιτίων. ἀεὶ γὰρ τὸ μετὰ τὴν τροφὴν γυμνάσιον οὐ μόνον τοῖς οὕτω πάσχουσιν, ἀλλὰ καὶ πᾶσι πολέμιον. δεῖ δὲ ἐν τῇ ἀνατρίψει πρῶτον ἀπὸ τῶν βραχιόνων ἄρχεσθαι, ἔπειτα λοιπὸν ἔρχεσθαι ἐπὶ τὸ στέρνον καὶ τὴν γαστέρα, καὶ μετὰ ταῦτα ἔρχεσθαι ἐπὶ τὰ σκέλη, καὶ πλέον γε αὐτὰ καὶ ἰσχυρότερον ἀνατρίβειν, ὥστε καὶ διὰ τῆς τοιαύτης ἀνατρίψεως ἀντισπᾶν ἐπὶ τὰ κάτω τὰ ἄνω ῥέποντα περιττώματα. μετὰ δὲ τὴν τῶν ἄλλων μορίων ἀνάτριψιν, τότε λοιπὸν καὶ τὰ περὶ τὴν κεφαλὴν ἀνατρίβεσθαι. πρότερον γὰρ οὐ δεῖ, ὥστε μὴ εἰς αὐτὴν ἐφέλκεσθαι πάντα. μετὰ δὲ τὰ γυμνάσια καὶ τὴν ἀνάτριψιν, εὐθέως μὴ ὁμιλείτω ψυχρῷ ἀέρι, ἀλλὰ ἀναμείνας ὥστε διαπνεῦσαι τὸ θερμὸν ἠρέμα καὶ συνεχὲς τοῦ πνεύματος, οὕτως ἐρχέσθω ἐπὶ τὰ συνήθη, καὶ τροφὴν προσήκουσαν λαμβανέτω. ἄρτον μὲν οὖν συμφέρει ἐσθίειν τὸν κάλλιστα ὠπτημένον, ἄριστα δὲ ἐζυμωμένον, καὶ μάλιστα τὸν κλιβα-

νήστιν, οἷον δέχεται. ἔστι γὰρ ἀπέριττος, καὶ ἧττόν ἐστι περιττωματικός. λαμβανέτω δὲ ἐξ αὐτοῦ μίαν ἢ δύο γο· καὶ μάλιστα, εἰ μελαγχολικωτέρας εἴη κράσεως τὸ παιδίον. εἰ δὲ πάνυ * ζεστὸν, θερμὸν ἔχειν κρεῖττον. οὕτω γὰρ ἐσθιόμενον κωλύει τοὺς ἐκ τούτων χυμοὺς ἀναθυμιάσεις ἐπὶ τὸν ἐγκέφαλον φέρεσθαι, ὅπερ ἐστὶ μέγιστον ἀγαθὸν, καὶ προφυλακτικὸν τοῦ πάθους. τῶν δὲ λαχάνων ἐσθιέτω καὶ σεύτλου, καὶ μαλάχης, μάλιστα καυναλίδος, καὶ γιγγίδων, καὶ πράσων ἀποζεσθέντων, καὶ ἰντύβων δὲ καὶ πράσων μιγνυμένων, * τούτοις ὠφελεῖ. ἔστω δὲ καὶ ἡ ἄρτυσις τοῦ λαχάνου ἐξ ὀλίγου ἐλαίου, καὶ ἁλῶν πάνυ συμμέτρων, τῶν δὲ ὀρνίθων ἐσθιέτωσαν, τήν τε κατοικίδιον ὄρνιν, καὶ τῶν φασιανῶν τὰ μὴ λιπαρὰ, καὶ τῶν χηνῶν τὰ ἄκρα, καὶ ἀτταγήνας, καὶ στρουθοὺς, καὶ κίχλας, καὶ ζυγῆνας, ἀλλὰ καὶ τούτων τὰ μὴ λιπαρά. νήττας δὲ καὶ ὅσα ἐν τοῖς ἕλεσι τρέφονται παραιτείσθωσαν, οἱ δὲ ζωμοὶ ἔστωσαν ἀπέριττοι. εἰ δὲ ἀπεψία τις συμβῇ τῷ πάσχοντι, ἢ διάτασις ἀπὸ πνεύματος ἐν τῇ γαστρὶ, προσπλεκέσθωσαν κόκκοι πεπέρεως δ΄, ἢ ια΄, καὶ ἀνίσου βραχύ. τῶν δὲ κρεῶν παντελῶς καλόν ἐστιν ἀπέχεσθαι τὸν παῖδα, καὶ μάλιστα τῶν χοιρείων τε καὶ βοείων. ἡδονῆς δὲ ἕνεκεν ἢ καὶ ἄλλης χρείας ἐπειγούσης, καὶ ὀλίγον λαμβανέτω, καὶ ὀλιγάκις, καὶ ὅσα μὴ λιπαρὰ, καὶ ἀποζέματος μᾶλλον ἢ ζωμοῦ, καὶ εἰς ὀλίγον ἀποβαπτέσθω πιπερόγαρον, ἢ σίνηπι. τὸ γὰρ σίνηπι κἂν τὸ τμητικὸν ἔχῃ, ἀλλ᾽ ὅμως αὐτὸ παραιτεῖσθαι δεῖ διὰ τὸ πληρωτικόν τι ἔχειν τῆς κεφαλῆς. διὸ καὶ κρομμύων καὶ δαύκων οὐ συμβουλεύω ἐσθίειν, καὶ σμύρνιον, ὡς πληρωτικόν. τὸ δὲ σέλινον παραιτείσθωσαν, ὡς φυσικῶς τοὺς ἐπιληπτικοὺς βλάπτον. τῶν δὲ ἰχθύων προσφερέσθωσαν τοὺς ἀπερίττους, οἷον ψῆσσαν, ἢ κίχλαν, ἢ κόσσυφον, ἢ σκορπίον, ἢ σκάρον. τοὺς δὲ λιπαροὺς παραιτείσθωσαν, καὶ κητώδεις, οἷον, σκόμβρον, πηλαμίδας. πάντες γὰρ οὗτοι παχὺν καὶ γεώδη, καὶ πολέμιον χυμὸν ἀθροίζουσι. τῶν δὲ ποταμίων λαμβανέτωσαν μάλιστα τοὺς καλουμένους * ἀναδρόμους, καὶ τούτους μὴ πάνυ συνεχῶς. ἐχέτω δὲ καὶ τούτων ἡ ἕψησις ὀλίγον πεπέρεως ἢ ὀξυμέλιτος. ἡ γὰρ τοιαύτη ἕψησις ἀφαιρεῖται αὐτῶν τὸν παχὺν χυμὸν καὶ βλαβερόν. τῶν δὲ ὀστρακοδέρμων φεύγειν δεῖ τὴν ἐδωδὴν, διὰ τὸ ψυχρὸν αὐτὰ καὶ παχὺν τίκτειν χυμόν. εἰ δὲ καὶ τοῦ ἐχίνου λαμβάνειν ἐθέλοιεν ἐκ διαστήματος, οὐδὲν ἄτοπον. ἔχει γάρ τοι καὶ εὐκοίλιον, καὶ εὐστόμαχον, καὶ διουρητικόν. λαμβάνειν δὲ δεῖ τούτων διὰ θερμοῦ τινος πόματος, ἢ ἀψινθάτου, ἢ κονδίτου. ἕκαστος γὰρ ἀβλαβής ἐστι. τὰ δὲ κρέα παραιτεῖσθαι μέχρι τελείας ἀπαλλαγῆς, καὶ μάλιστα τὰ χοίρεια. ὡσαύτως δὲ καὶ τὰ ὄσπρια, καὶ μάλιστα τὴν φακήν. εἰ δὲ λαμβάνειν ἐθέλοιεν, προσπλεκέσθω τι τῶν λεπτυνόντων, οἷον, γλήχωνος, ἢ πεπέρεως, ὥστε βοηθεῖσθαι τὸ παχύχυμον ἐκ τῆς τούτων προσπλοκῆς. τὴν δὲ ὀπώραν καλόν ἐστι πάνυ φεύγειν. εἰ δὲ ἀναλαμβάνειν ἐθέλοιεν ἡδονῆς ἕνεκα, ὀλίγη προσφερέσθω, καὶ μᾶλλον μετὰ τὴν τροφήν. οὕτω γὰρ ἀβλαβεστέρα ἔσται. καὶ τραγήματα τὰ πολλὰ φευγέτωσαν, οἷον, κάρυα, φοινίκια. τῶν δὲ πιστακίων λαμβανέτωσαν, καὶ σταφίδας ἐπάνω τῆς τροφῆς, καὶ μάλιστα τὰς ἐχούσας τὸ στύφον ἠρέμα. τοὺς δὲ πλακοῦντας καθόλου φευγέτωσαν, καὶ τὰς κοπτὰς τὰς ἐχούσας τὸν στρόβιλον, τὰς δὲ ἀπὸ ἀμυγδάλων ἢ πιστακίων συγκειμένας οὐ δεῖ φεύγειν. ἔχουσι γὰρ αἱ τοιαῦται καθαρτικόν τι τοῦ φλέγματος. τὸν δὲ οἶνον, ὅσον ἐπὶ τῷ πάθει, φεύγειν δεῖ. καὶ γὰρ πληρωτικός ἐστι τῆς κεφαλῆς, καὶ μάλιστα ὁ παλαιός. στομάχου δὲ χάριν τοῦ συνεργῆσαι τῇ πέψει, οὐδὲν ἄ-

τοπον

τόπον συμμέτρως αὐτὸν λαμβάνειν. τῶν δὲ προπομάτων συνεχῶς προσφερέσθω, μόνου ἀψινθάτου καλουμένου. τοῦτο γὰρ οἶδε καὶ ῥῶσαι τὸν στόμαχον, καὶ λεπτῦναι, καὶ ἀπωθῆσαι τὸ περιττὸν ἐν αὐτῷ περιεχόμενον. οὕτω μὲν διαιτᾶν δεῖ τὸν παῖδα, βοηθήμασι δὲ χρῆσθαι τοῖσδε. Βοηθήματα πρὸς ἐπιληπτικούς. Ἀναστὰς ἕωθεν καὶ ἀποπειραθεὶς τῆς γαστρός, οὕτω προσφερέσθω τι τῶν λεπτυνόντων. ἐν μὲν τῷ χειμῶνι τὸ ζέμα τοῦ ὑσσώπου τὰ μεγάλα δυνάμενον ὠφελεῖν. καὶ πολλοὶ μόνῳ τῷ ζέματι τούτῳ χρησάμενοι ἐθεραπεύθησαν, ὡς μηκέτι δεύτερον ἢ τρίτον περιπεσεῖν τῷ αὐτῷ νοσήματι. τέμνεται γὰρ ὅσα εἰσὶ γλίσχρα καὶ παχέα τῶν περιττωμάτων, καὶ οὐ συγχωρεῖ οὔτε ἐν τῷ στομάχῳ, οὔτε ἐν τῷ θώρακι συστῆναι περιττόν· τὸ μὲν γὰρ δι' οὔρων, τὸ δὲ διὰ γαστρὸς οἶδεν ἀπορρίπτειν καλῶς. τοῦτο μὲν δὴ τὸ ζέμα λαμβανέτω καθ' ἑαυτό, ἢ μετὰ ὀξυμέλιτος, ἐν τῷ χειμῶνι μᾶλλον, καὶ κατὰ τὸ φθινόπωρον, ἐν δὲ τῷ θέρει συνεχῶς· τὸ δὲ τοῦ ἀνήθου μᾶλλον μετὰ ὀξυμέλιτος, ὡς εἴρηται. εἰ δὲ μεγαληλικώτερος εἴη τὴν κρᾶσιν ὁ παῖς, λαμβανέτω καὶ τὸ ζέμα τοῦ ἐπιθύμου, διὰ τὸ καὶ δύνασθαι τοῦτο καλῶς ὑποκλέπτειν τὸν χυμὸν τοῦτον. Περὶ καθαρτηρίων. Εἰ δὲ καὶ ἡλικίαν ἔχει ὁ παῖς ὡς δύνασθαι φέρειν καθάρσιον, * προσφερέσθω τοῖς τὸ φλέγμα καὶ τὸ μελαγχολικὸν καθαίρειν δυναμένοις περίττωμα. μεμαρτύρηται μὲν καὶ ἱερὰ εἰς τὰ τοιαῦτα πάθη, τὸν τοιοῦτον ἀποκενοῦσα χυμόν, ἀλλὰ τὸ δραστικὸν αὐτῆς οὐ πάνυ τῶν νέων ἡλικία φέρει· ὑπερβάλλει γὰρ τὴν ἐκείνων δύναμιν. τοῖς δὲ ἀκμάζουσι τὴν ἡλικίαν, καὶ ἰσχυρὰν ἔχουσι τὴν δύναμιν μελαγχολικοῖς ὠφελίμως δίδοται. βέλτιον οὖν τοῖς νέοις τοῦ ἐπιθύμου μᾶλλον διδόναι ὀλίγον μετὰ τῆς πικρᾶς. καὶ γὰρ ὑποκαθαίρει τοῦ χυμοῦ τι, καὶ προλεπτύνει, καὶ οὕτω καθαίρειν τῇ θεοδωρήτῳ καλουμένῃ ἀντιδότῳ. ὅπως δὲ καὶ αὐτὴ δυνηθείη καλῶς καθαίρειν τὸ ὅλον σῶμα, παραπλεκέσθω αὐτῇ τὸν σταθμὸν ἐχούσῃ * ℥ η', κε γ', κολοκυνθίδος ℥ δ', ἢ καὶ τὸ πολὺ ε', δακρυδίου κε ε' ἢ ϛ', ἢ πλείω πρὸς τὴν δύναμιν τοῦ κάμνοντος· ὅπως ἔσται σύμμετρος ἡ κένωσις. καὶ πολλοὺς οἶδα ὅτι μόνον ἡ τοιαύτη κάθαρσις ἰάσατο. εἰ δὲ στασιάζει ἔτι τὸ τῆς κακοχυμίας, καὶ τὸ πάθος ἐπιμένει, καὶ τοῖς ὑπ' ἐμοῦ κατασκευασθεῖσι καταποτίοις κεχρήσθωσαν, ὧν οὐδὲν εὗρον ἰσχυρότερον. ἔχει δὲ αὐτῶν ἡ σκευασία οὕτως, ἀλόης, σκαμμωνίας ἀνὰ γο S'', κόμμεως, γο ϛ', κολοκυνθίδος γο ϛ', βδελλίου γο S''. λαμβανέτω τούτων πρὸς τὴν δύναμιν ὁ κάμνων ℥ ϛ' ἢ η'. τοῖς δὲ τελείοις δίδου καὶ ϛ' γράμματα. καὶ εἰ πλείω δοίης, οὐδὲν βλάψεις. οὕτως ἀλύπως καὶ ἀσφαλῶς καθαίρουσι, καὶ οὐ μόνον τοὺς ἐπιληπτικοὺς ἴσασιν ὠφελεῖν, ἀλλὰ καὶ τοὺς σκοτωματικούς, καὶ ἀρθριτικούς, εἴπερ τι καὶ ἄλλο. χυλοῦ δὲ κράμβης ἡ ἀνάληψις αὐτῶν γινέσθω. μετὰ δὲ τὴν κάθαρσιν καλόν ἐστι τὰ παρέχοντα καὶ ἀποφλεγματικοῖς κεχρῆσθαι, ὥστε καὶ εἴ τι ἔτι παχὺ καὶ γλίσχρον περιέχοιτο, καὶ τοῦτο διὰ τῆς ὑπερῴας ὑπεξάγειν. καλῶς μὲν οὖν κενοῦσι καὶ οἱ πάστιλλοι διαμασώμενοι, οἱ ἔχοντες ὕσσωπον καὶ γλήχωνος ἢ πεπέρεως. ἔτι δὲ μᾶλλον καὶ τὸ ἀναγαργάρισμα μόνον σκευαζόμενον οὕτω· δεῖ λαβεῖν ὕσσωπον βοτάνην, ἔτι δὲ γλήχωνα καὶ ὀρίγανον, καὶ ἰσχάδας ζ' ἢ θ', καὶ ταῦτα ἀποτριτώσας, καὶ οὕτως ἐξ αὐτῶν μιγνύων κοχλιάρια δύο εἰς κρᾶσιν ἐψήματος, τότε ἀποφλεγμάτιζε πρὸ τροφῆς. μετὰ δὲ τὸν ἀποφλεγματισμὸν παραιτεῖσθαι τὸ λούεσθαι κατ' ἐκείνην τὴν ἡμέραν. βλαβερὸν γάρ. μετὰ δὲ τὴν κάθαρσιν, καὶ τοὺς ἀποφλεγματικούς, ἀρ-

μάλιστα προφυλακῆς χάριν καὶ τοῖς ἐμέτοις κεχρῆσθαι. καὶ γὰρ καὶ αὐτοὶ κενοῦσι τὸν συναγόμενον ἑκάστης ἡμέρας χυμὸν, καὶ οὐ συγχωροῦσιν ὑφ' ἓν ἀθροίζεσθαι. καλοὶ μὲν οὖν καὶ οἱ πρὸ τῆς τροφῆς, ὠφελιμώτεροι δὲ μᾶλλον οἱ μετὰ τὴν τροφὴν, καὶ ἔτι μᾶλλον οἱ ἀπὸ ῥαφανίδων, καὶ λιπαρῶν ἐδεσμάτων, καὶ σιτίων πλησμονῆς, καὶ γλυκυφαγίας, καὶ μέθης. καθαίρουσι γὰρ οἱ τοιοῦτοι ἔμετοι πάνυ, εἴ τι εὕρωσιν ἐν αὐτῷ παχὺ καὶ γλίσχρον περιεχόμενον. καὶ ταῦτα μὲν οὕτω δεῖ πράττειν ἐπὶ πάντων τῶν ἐπιληπτικῶν. Θεραπεία τῶν ἐπὶ στομάχῳ ἐπιληπτιούντων. Εἰ δὲ ὁ στόμαχος εἴη ὁ πάσχων, ἐπισκεπτέον ὁποῖος ὁ τικτόμενός ἐστιν ἐν αὐτῷ χυμός. καὶ εἰ μὲν χολώδης, ἅπαντα δεῖ πράττειν ὥστε μὴ συγχωρεῖν αὐτῷ τοῦ λοιποῦ τίκτειν χολὴν, διὰ τῆς τοῦ ἀψινθίου πόσεως, καὶ τῆς ὀνομαζομένης πικρᾶς. λαμβανέτω δὲ αὐτὴν καὶ ἄρτου βραχὺ εἰς εὔκρατον θερμὸν πάνυ περὶ ὥραν β' ἢ γ'. καὶ ἁπλῶς εἰπεῖν, ἐφ' ὧν ἐστι περὶ τὸν στόμαχον τικτομένη ἡ ξανθὴ χολὴ, καὶ πληροῦσα τὴν κεφαλὴν, ἀναγκαῖόν ἐστιν ἐπὶ τούτων εὔκρατόν τε καὶ ἐπικεραστικὴν γίνεσθαι τὴν ὅλην δίαιταν, καὶ μηδὲν ἔχουσαν δριμὺ, ἢ λιπαρὸν, ἢ ἐλαιῶδες, ἢ ἁλμυρόν. οὕτω μὲν χολὴν τίκτει. εἰ δὲ ψυχρὸς ὢν φλεγματικὸν ἀθροίζει χυμὸν, καὶ διὰ τοῦτο συνδιατίθησι τὴν κεφαλὴν κακῶς, καὶ σπασμὸν ἐπιφέρει, συμβουλεύω διὰ τῶν ἠρέμα θερμαινόντων καὶ τονούντων, αὐτοῦ ποιεῖσθαι πρόνοιαν, ὥστε διαβρέχεσθαι τὸ στόμα τῆς γαστρὸς, δεύτερον ἢ τρίτον τοῦ μηνὸς, ἐλαίῳ τε μάλιστα χαμαιμηλίνῳ, καὶ γλευκίνῳ, καὶ ἀψινθίνῳ. προσπλεκέσθω δὲ τούτοις καὶ στύραξ, καὶ μαστίχη. τοῦτο γὰρ ἔτι μᾶλλον καὶ θερμαίναι καὶ τονῶσαι τὸ ἀσθενὲς δυνήσεται, ὥστε καὶ πέττειν καλῶς. οὐ γὰρ οὐδέν ἐστι κάλλιον ἐπὶ πάντων μὲν παθῶν, καὶ μάλιστα ἐπὶ τῶν ἐπιληπτικῶν. Θεραπεία τῶν ἐπὶ ἑτέρῳ μορίῳ ἐπιληπτιούντων. Ἐὰν δὲ μὴ ὁ στόμαχος ἔχῃ τὴν ἀρχὴν τῆς νόσου, μηδὲ ἡ κεφαλὴ, σκόπει μὴ ἀπό τινος ἄλλου μορίου τὴν ἀρχὴν ἡ ἐπιληψία λαμβάνῃ. ὤφθησαν γὰρ οἱ μὲν ἀπὸ τοῦ ταρσοῦ, οἱ δὲ ἀπὸ τῆς κνήμης, οἱ δὲ καὶ ἐξ ἄλλου μορίου προξενούμενοι. καὶ εἴ γέ σοι τι τοιοῦτον ὤφθη, καὶ τοῦ μέρους ἐκείνου μάλιστα προνοοῦ, καὶ τὴν ὅλην ἐκείνῳ πρόσαγε θεραπείαν. ἐθεασάμην οὖν τινα τῶν ἀναγινωσκόντων καταπίπτοντα, ὃς ἔλεγεν, ἡνίκα αὐτῷ μέλλει συμβαίνειν, ἀπὸ τοῦ ταρσοῦ συναισθάνεσθαί τινας αὔρας ἀναδιδομένας αὐτῷ ψυχρὰς ἐπὶ τὸν ἐγκέφαλον. καθάρας οὖν ἐγὼ τοῦτον πρότερον τοῖς φλέγμα καὶ μελαγχολικὸν κενοῦσι χυμὸν καταποτίοις, ἐπέθηκα καὶ τῶν ἑλκῶσαι καὶ λεπτῦναι, καὶ θερμαίναι τὸν τόπον δυναμένων, ὥστε καὶ ἱδρῶσαι, καὶ ὑγρά τινα φανερῶς διὰ τοῦ μορίου οὐκ ὀλίγα προχυθῆναι. καὶ δὴ τοῦτο πραξάντων ἡμῶν, ὑγιὴς ὁ νεανίσκος ἐγένετο. ἦν δὲ τὸ ἐπιτεθὲν αὐτῷ βοήθημα καὶ ἰασάμενον, τὸ λεπίδιον ἡ βοτάνη. ποιοῦσι μὲν γὰρ καὶ ἄλλα τινὰ τὸ αὐτὸ, ἀλλ' οὐδὲν οὕτως ὡς αὐτή γε ἡ βοτάνη. μετὰ δὲ τὴν τοιαύτην ἐπιμέλειαν, καὶ τοὺς ἐμέτους, καὶ τοὺς ἀποφλεγματισμοὺς καὶ ἐν παλαίστραις γυμνάζεσθαι κατὰ τὴν κίνησιν, παραλαμβανέτω ὁ πάσχων ὡς μέγιστον ἀγαθὸν, καὶ μάλιστα πρὸ τῶν σιτίων. κινείσθω δὲ μὴ μόνον διὰ ποδῶν, ἀλλὰ καὶ δι' ἵππων, τὸ μὲν πρῶτον, πρᾳύτερον, ὕστερον δὲ, καὶ σφοδρότερον. καὶ ἔστω μέτρον τοῦ γυμνασίου ἡ ἀναπνοὴ τοῦ γυμναζομένου πυκνοτέρα γινομένη. ὅτε γὰρ τοῦτο αἴσθηται, δεῖ μήκετι γυμνάζειν τὸ σῶμα. μετὰ δὲ τὸ γυμνάσιον λουτροῖς ὁ κάμνων κεχρήσθω τοῖς ἀπὸ γλυκέων ὑδάτων, ὡς μηκέτι συνεχέσιν, ἀλλὰ ἅπαξ ἢ δὶς τῆς ἑβδομάδος, καὶ πρὸ τροφῆς μᾶλ-

λον,

λον ἢ μετὰ τροφήν. μὴ χρονιζέτω δὲ ἐν τῷ ἀέρι, ἀλλὰ καὶ τὰς σίπλας περιχεέσθω, θερμὰς μὲν κατὰ τοῦ στομάχου καὶ τῶν σκελῶν· ὀλίγας δὲ κατὰ τῆς κεφαλῆς, καὶ ταύτας εὐκράτους· καὶ σμηχέσθω τὸ ὅλον σῶμα μὴ πάνυ θερμῷ· καὶ ἀνατριβέσθω τὴν κεφαλὴν πάνυ συμμέτρως. κατιὼν δὲ εἰς τὴν ἔμβασιν, μὴ πάνυ βαπτιζέσθω τὴν κεφαλὴν, ἀλλὰ δύο ἢ τρεῖς. εἰς δὲ τὴν τοῦ ψυχροῦ δεξαμενὴν εἰσιὼν, πρότερον ἐπιβρεχέτω τὴν κεφαλὴν ὀλίγῳ ὕδατι, καὶ οὕτως εἰσιέτω, ὡς μήτε ἁρπάζειν αὐτὴν, μήτε δέχεσθαι τοὺς τοῦ ὅλου σώματος ἀναπεμπομένους ἀτμούς. καὶ περιβαλλόμενος τὰ σάβανα, πάλιν δεχέσθω ὕδωρ ὁ πάσχων ταῖς χερσὶ, καὶ περινοτιζέσθω τὸ πρόσωπον αὐτοῦ. μετὰ δὲ τὸ λουτρὸν φευγέτω πίνειν εὐθὺς οἶνον τὸν ἄκρατον. οὐδὲν γὰρ οὕτως εἰς ὑπόμνησιν ἄγει τὸ πάθος. διὸ παραιτεῖσθαι δεῖ τὸν ἄκρατον ἐπιδιδόναι, μάλιστα ἐπὶ τῶν ἐπιληπτικῶν. ταῦτα μὲν οὕτω δεῖ πράττειν, καὶ οὕτω διαιτᾶν, οὐ μόνον παῖδα, ἀλλὰ καὶ τὸν ἀκμάζοντα τὴν ἀκμαστικὴν ἡλικίαν. εἰ δὲ χρόνιον εἴη τὸ νόσημα καὶ δύσεργον, ὥστε περιφρονεῖν τῶν ἐπιεικεστέρων βοηθημάτων, τηνικαῦτα καὶ τοῖς ἐπὶ πλέον λεπτύνειν δυναμένοις καὶ ἀνασκευάζειν τὴν ὅλην διάθεσιν, κεχρῆσθαι, καὶ μάλιστα τῷ ἔχοντι τὸν λευκὸν ἐλλέβορον καθαρτηρίῳ, οὗ ἡ γραφὴ ἔχει οὕτως.

Καθαρτήριον τὸ διὰ λευκοῦ ἐλλεβόρου. Δαφνοκόκκων κεκαθαρμένων, κεράτια η', ἀλυπιάδος, πεπέρεως λευκοῦ, εὐφορβίου, ἐλλεβόρου λευκοῦ ἀνὰ κεράτια η'. ταῦτα πάντα κόψας, καὶ σταθμίσας ἕκαστον αὐτῶν, ὥσπερ καὶ γέγραπται, δίδου τὰ πάντα μίαν δόσιν εἰς ἀπόβρεγμα κολοκυνθίδος. γινέσθω δὲ τὸ ἀπόβρεγμα οὕτω, λαβὼν κολοκυνθίδα, πλήρωσον ἑψήματος, καθάρας αὐτὴν πρότερον καλῶς, ὡς μηδὲν ἀπολειφθῆναι τοῦ ἐντὸς σπέρματος, μηδὲ τοῦ κναφαλώδους· καὶ ἔασον αὐτὴν ἐπὶ θερμοσποδιᾶς ἀπὸ ἑσπέρας ἄχρι τῆς ἕωθεν διανυκτερεύουσαν· καὶ οὕτω δίδου τὸ βοήθημα μέγιστον ὑπάρχον, καὶ δι᾽ ἐμέτων πλεῖστα καθαῖρον πάνυ παχέα καὶ γλίσχρα τῶν περιττωμάτων· διὸ δεῖ καὶ συνεργεῖν τῷ ἐμέτῳ, ἵνα εἰ ναυτιῶσιν ἢ σπαράττονται, παρέχειν ἐπιρροφᾶν ὀλίγον μελικράτου. καὶ εἰ μηδὲν ἀξιόλογον ναυτιῶντες ἀναφέροιεν, καὶ πλεονάκις κεχρῆσθαι σπαράττοντα τὸν στόμαχον, προσφέροντα ἔτι μᾶλλον τὸ μελίκρατον. οὕτω γὰρ ἀλυπότερον ἀνενεχθήσονται τὰ ἐν τῷ στομάχῳ προσπεπλεγμένα περιττώματα. μετὰ δὲ τὴν κάθαρσιν, ἄρτον δίδου βραχὺν ἀποβρέχων εἰς οἰνόμελι. παραιτοῦ δὲ καὶ τὸ λουτρὸν διὰ μιᾶς ἢ δύο ἡμερῶν. εἰδέναι δὲ δεῖ ὅτι ἐπὶ τῶν τὸ στόμα τῆς γαστρὸς ἐχόντων ἀσθενὲς, καὶ εὐαίσθητον, οὐ δεῖ τοῦ λευκοῦ ἐλλεβόρου ἐμβάλλειν ἐν τῷ καθαρσίῳ, ἀλλὰ μᾶλλον τοῦ μέλανος. ἔσται γὰρ αὐτῷ ἄλυπον καὶ ὠφέλιμον, μετὰ τοῦ μηδὲ τοὺς βιαίους ἐπιφέρειν σπαραγμούς. ἐγὼ καὶ τῇ ἱερᾷ καθῆρα καλῶς, καὶ τῷ ἀρμενιακῷ λίθῳ, δεδωκὼς αὐτοῦ [illegible] γ', καὶ ὠφέλησα· ἀλλ᾽ οὐδὲν οὕτως εὗρον ἐπὶ τῶν κεχρονικότων ἐπιληπτικῶν, ὡς τοῦτο μάλιστα τὸ καθάρσιον. καὶ πολλοὺς οἶδα θεραπευθέντας ὑπὸ τούτου καὶ μόνου τῶν ἀπογνωσθέντων παρὰ τῶν ἄλλων ἰατρῶν. μετὰ δὲ τὰ καθάρσια λοιπὸν καὶ τῶν ἀντιδότων τινὰς λαμβάνειν, ὅσαι μετασυγκρίνειν εἰσὶ δυναταὶ, καὶ ἀπολεπτύνειν, εἴ τι τοῖς πόροις ἐστὶ περιλαμβανόμενον. τοιαύτη δέ ἐστιν * ἥ τε τοῦ θέρμου κλίμαξ καλουμένη, καὶ ἡ θηριακή. καὶ ταῦτα μὲν πολυσύνθετα καὶ δυσευπόριστα. ἐν δὲ τοῖς ἁπλοῖς εὐπόριστόν τε καὶ ἰσχυρότατόν ἐστι ἡ τοῦ πυρέθρου ῥίζα κοπτομένη καὶ ἀναλαμβανομένη μέλιτι, κοχλιάριον ἓν, ἐκ διαστήματος ἄχρις ἕνδεκα δόσεων. πεπείραται τὸ βοήθημα· καὶ μὴ τῆς εὐ-

τελείας αὐτοῦ καταφρονήσῃς. Φυσικὰ πρὸς ἐπιληπτικούς. Ταῦτα μὲν οὖν εἴρηται περὶ τῶν ἐπιληπτικῶν, ὅσα τε ἡμεῖς ἔγνωμεν, καὶ ἡ μακρὰ πεῖρα ἐδίδαξεν. ἀλλ' ἐπειδὴ τοῖς φυσικοῖς καὶ περιάπτοις χαίρουσί τινες, καὶ τούτοις κεχρῆσθαι ζητοῦσι, καὶ κατὰ τὸ ἀληθὲς αὐτῶν τυγχάνουσι τοῦ σκοποῦ, πρέπον ἐνόμισα τοῖς φιλομαθέσι καὶ περὶ τούτων ἐκθέσθαι τινά, ὥστε τὸν ἰατρὸν πανταχόθεν εὔπορον εἶναι εἰς τὸ βοηθεῖν δύνασθαι τοῖς κάμνουσιν. Ἀρχιγένης μὲν οὖν ἐν τοῖς κατὰ γένος παραινεῖ οὕτω λέγων, κατὰ δὲ τοὺς παροξυσμοὺς διακρατεῖν δεῖ πάντα τὰ μέρη, ὥσπερ καὶ τοὺς περιοδικῶς ῥιγοῦντας, καὶ τῶν μελῶν ἕκαστον λιπαραῖς χερσὶν ἀπευθύνειν μετὰ συμμέτρου συντονίας, μαλάσσοντας τά τε ὄμματα αὐτοῦ ἡσυχῇ καὶ καταψύχοντας. ἔτι τε φλεβοτομεῖν αὐτοὺς κατὰ τὸν καιρὸν τοῦτον. παυσαμένου δέ, συγχριστέον καὶ θαλπτέον ἱματίοις τὴν κεφαλήν, πολλῷ ἐλαίῳ καὶ θερμῷ συμβρέχοντας. εἰ δὲ μετὰ καταφορᾶς ἐπιληπτίζοιντο, βαλὼν εἰς σινδόνια, ἢ εἰς ἕτερον ἱμάτιον, κέλευε σείειν. καταξύσας δὲ ὃ θέλεις μέρος τοῦ σώματος αὐτοῦ τοῦ πάσχοντος, τῷ αἵματι στόμα χρῖε, καὶ ἐγερθήσεται. μετὰ δὲ τοὺς παροξυσμοὺς τὴν μὲν ὅλην ἀνασκευὴν τοῦ πάθους τοῖς περὶ ταῦτα πεπονημένοις ἰατροῖς ἐπιτρεπτέον, τὰ δὲ δίχα περιττῆς περιεργίας ποιοῦντας, πειρᾶσθαι περάτλειν. ἄξιον δὲ πρότερον ἀποδεῖξαι τὰ προγνωστικὰ καὶ ἐλεγκτικὰ τοῦ πάθους βοηθήματα. Σημεῖα διαγνωστικὰ ἐπιληπτικοῖς. Γνωριστέον δὲ τὸν ἐπιληπτικὸν οὕτω· αἰγὸς ἐπιδερματίδα ἐπιβαλὼν τῷ πάσχοντι, θαλάσσῃ βάπτισον. πίπτει γὰρ εὐθέως. ἢ λούσας αὐτὸν κατὰ κεφαλῆς, κέρας αἰγὸς ὑπὸ τοὺς μυκτῆρας αὐτοῦ ὑποθυμία, καὶ πεσεῖται. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὁ γαγάτης λίθος, προσαχθεὶς πρότερον πυρί, καὶ τοῖς μυκτῆρσι τεθείς. καταπίπτει γάρ. ὀξ. ὀλίγου ἀντιγράφου, ζιγγιβέρεως βραχὺ ἔνθες εἰς τοὺς μυκτῆρας, καὶ παρ' αὐτὰ πεσεῖται. Ἐκ τῶν Ἀπολλωνίου εὐπόριστον, εἴπερ ἰάσιμός ἐστιν ὁ ἐπιληπτικός. Ἐπειδὰν καταπέσῃ, πρόσθες αὐτῷ θύμον, καὶ εἰ μὲν ἀντιλήψεται, ἰάσιμός ἐστιν· εἰ δὲ μή, οὔ. εἰς δὲ πρόγνωσιν ἐπιληπτικῶν καὶ τοῦτό φασιν, ὡς χλωραὶ αἱ ὑπὸ τὴν γλῶτταν αὐτῶν εὑρίσκονται φλέβες. Περὶ θεραπείας, ἐκ τοῦ δευτέρου Θεοδώρου. Ἐπιληπτικοῦ δὲ καταπεσόντος, ἀπὸ τῶν μεγάλων δακτύλων τῶν ποδῶν αὐτοῦ αἷμα ἀποξύσας, χρῖσον αὐτοῦ τὰ χείλη καὶ τὸ μέτωπον, καὶ παρ' αὐτά, ἀναστήσεται. Ἀπολλώνιος δέ φησι, διδάξω καλῶς, τὸ αἷμα αὐτῶν ἐν τῷ ποτῷ, οἴνου δὲ ἀπεχέσθωσαν. τοῦτο παρὰ Ξενοκράτει. Ἄλλο. Καὶ τοῦτο θαυμαστῶς ποιεῖ, ἐν τοῖς νεοσσοῖς τῶν χελιδόνων ἀνατμηθεῖσι εὑρίσκονται λιθάρια δύο, ὧν τὸ μὲν ἓν μέλαν, τὸ δὲ ἕτερον λευκόν. καταπεσόντος τοῦ ἐπιληπτικοῦ, ἐπιτίθει καὶ ἐγείρεις αὐτόν. τὸ μέλαν δὲ λαβών, περίαπτε δέρματι. τὰ δὲ λιθάρια ταῦτα λέγεται διδόναι τὰς χελιδόνας τῷ πρώτῳ νεοττῷ. ἅπερ οὐ καλῶς εὑρίσκονται, εἰ μὴ διὰ τῆς ἀνατομῆς τῶν νεοττῶν ἀπάντων. Ἄλλο. Χαμαιλέοντα λαβών, ἐν ἐλαίῳ ἕψε, ἕως οὗ τακῇ καὶ παχυνθῇ τὸ ἔλαιον. κηρωθέντος δὲ τοῦ ζωμοῦ, ἐκλέξας τὰ ὀστᾶ αὐτοῦ, χῶσον εἰς ἀνήλιον τόπον, καὶ πεσόντα τὸν ἐπιληπτικὸν τρέψας ἐπὶ κοιλίαν, ἄλειφε τῷ ἐλαίῳ κατὰ νώτου, ἀπὸ τοῦ ἱεροῦ ὀστοῦ ἕως τοῦ πρώτου σπονδύλου, καὶ εὐθέως ἐγερθήσεται. τοῦτο ἑπτάκις ποιήσας, τελέως ἀπαλλάξεις. τὸ δὲ ἔλαιον ἀπόθου ἐν πυξίδι. Ἄλλο. Ἄλλοι δέ φασιν, ἐπιληπτικοὺς διαγνωσθέντας θεραπεύειν χρή, καθάπερ Ἀρχιγένης παραινεῖ. προηγουμένως οὖν τῶν κατὰ τὴν δίαιταν καταλλήλοις χρηστέον ὑδροποσίαις· κρεῶν ἀποχή, * καὶ συνουσία

ἀφροδι-

ἀφροδισίων· ἀνειμμάτων δὲ παραλήψεις γινόμεναι παρὰ ἐμπείρων παρατετη-
ρημένων). τοῖς δὲ ἐπιληπτικοῖς ἁρμόδια καὶ αὐτά, γαλῆς ἧπαρ χωρὶς τῆς χολῆς μετὰ ὕ-
δατος ἡμικοτυλίου, πότιζε νήστει ἐπὶ ἡμέρας γ'. λέγουσι δέ τινες μέρος ἀπὸ * τοῦ
ὀρνέου κεκαυμένον ἐν ποτῷ διδόμενον ἀνασκευάζειν τὴν νόσον. καὶ ταῦτα μὲν ἐκ τῶν
ἀρχιγένους. Αλλο. Ετερον δὲ ὅπερ κεῖται ἐν τῷ τρίτῳ στράτωνος, οὕτω, κύνα ἐπὶ
ἡμέρας ιδ' ἐγκλείσας, ὀστέα μόνον παράβαλλε αὐτῷ φαγεῖν. τῇ δὲ πεντεκαιδεκάτῃ
ἡμέρᾳ ἐκ τῆς λευκῆς τοῦ κυνὸς ἀφόδου καύσας ἀνὰ κοχλιάρια δύο πότιζε ἡ-
μέρας ε'. Αλλο. Ελαβον καὶ τοῦτο ἐν * τυρκίᾳ, παρὰ ἀγροίκου τινὸς λέγοντος κατὰ
τύχην ἀπηλλάχθαι. ἔτυχε γὰρ πήγανον ἄγριον κόπτων ἐν τῇ ἀρούρᾳ, καὶ σύν-
δουλος αὐτοῦ σεληνιακὸς ὢν ἔπεσεν. ὁ δὲ μεστὸς τῆς ἀποφορᾶς τοῦ πηγάνου ὑπάρχων,
ἐκράτησεν αὐτοῦ τὰς ἀναπνοάς, καὶ ἐγερθεὶς, οὐκέτι ἐπελήφθη. ἐπείρασε δὲ καὶ ἐπὶ
ἄλλῳ, καὶ ἀπήλλαξε. κἀγὼ δὲ πλειστάκις ἐθεράπευσα. θαυμαστὸν οὖν καὶ ἐξαίρετόν
ἐστι. καὶ ἔστω σοι ἀμετάδοτον. Εκ τοῦ * νήου θεοδώρου μοσχίωνος, πρὸς ἐπιλη-
πτικούς. Σταφίδος ἀγρίας < η', κασορίου < δ', ὀποῦ πευκεδάνου, πυρέθρου
ἀνὰ < β'. τὴν σταφίδα κόψον, καὶ εἰς κύστιν προβατείαν, ἢ αἰγείαν τοῦ οὔρου * ἔτι
ὄντος καθεὶς, ποίησον ὑποξηρανθῆναι· εἶτα κόψας καὶ σήσας, τοῖς ἄλλοις πρόσμι-
γε, καὶ δίδου μετὰ μελικράτου πρὸς δύναμιν. Ετερον ὅπερ ἔλαβον ἐν γαλλίᾳ.
Αλεκτρυόνος ὄρχεις ξηροὺς πότιζε μετὰ ὕδατος ἢ γάλακτος, καὶ ὕδατος νήστει, καὶ τοῦ-
το ποίει δι' ἡμερῶν ε'. φυλακτέον δὲ ἀπὸ οἴνου. Ετερον ἐκ τοῦ μυρσίνου τοῦ θρα-
κός. Μονομάχου σφαγέντος, ἢ ἑτέρου τινὸς καταδίκου ῥάκος ἡμαγμένον λαβὼν
καῦσον, καὶ τῇ σποδῷ τοῦ ῥάκους μίσγε οἶνον, καὶ ἐν δόσεσιν ἑπτὰ ἀπαλλάξεις. δέδω-
κε δὲ πεῖραν πολλάκις ἐξαίρετον. Εκ τῶν παρακειμένων ἐν τοῖς στράτωνος, λέγει
δὲ ὀρφέως εἶναι). Στρύχνου ῥίζαν ἀνελόμενος φθινούσης σελήνης κόψον, καὶ δίδου πίνειν
ἐξ αὐτῆς, τὴν μὲν πρώτην ἡμέραν, μίαν δόσιν, εἶτα β', εἶτα γ', εἶτα δ'. καὶ οὕτως
ἐφεξῆς, μέχρις ἂν πεντεκαίδεκα ἀναλώσῃς δόσεις· μυστηριῶδες δέ ἐστι, καὶ ὑπὸ
πολλῶν θαυμάζεται. Εν δὲ ἰασωνίᾳ πρὸς ἐπιληπτικοὺς τοῦτο ἔμαθον. Κρανίου
ὄνου ἐπιμελῶς καύσας, κόψον καὶ σῆσον, καὶ ἔχε ἐν πυξίδι. ἐπὶ δὲ τῆς χρείας δίδου
< α', ἐν ἄλλῳ ὕδερον < β', μεθ' ὕδατος ψυχροῦ κοτύλην α'. πρὶν δὲ δοῦναι τὸ φάρμα-
κον, βρέξας τὴν βοτάνην λείωσον, καὶ δίδου πίνειν ἐξ αὐτῆς < γ', μετὰ ὕδατος κοτύλην
α', ἐν ἄλλῳ, κοχλιάριον ἕν, νήστει ἐπὶ ἡμέρας β', ὁσάκις ὑπονεφελός ἐστιν ἡ ἡμέρα·
καὶ ὀλίγας παραλιπὼν ἡμέρας, δίδου τὸ ἐκ τοῦ κρανίου τοῦ ὄνου. πρὶν δέ τι τῶν προει-
ρημένων δοῦναι, προκάθαιρε τὴν κεφαλὴν τοῦ κάμνοντος ἐπὶ ἡμέρας τρεῖς, ὡς ὑ-
ποτέτακται), σταφίδος ἀγρίας, νάπυος ἀνὰ ℥ δ', πυρέθρου < α', ἁλὸς ἀμμωνιακοῦ
< α', κόψας, σήσας, ποίησον ξηρίον, καὶ δὸς μασᾶσθαι μετὰ μίαν, καὶ ἄφες χάσκειν
αὐτὸν ἀποφλεγματίζοντα. ἔστι δὲ θαυμαστότατον. Περίαπτα καὶ ἀντιπαθῆ πρὸς
ἐπιληπτικούς, ἐκ τῶν ἀρχιγένους. Περιάπτοις δὲ τούτοις χρηστέον πρὸς τὸ πά-
θος, ὡς ἀσκληπιάδης ὁ φαρμακευτής, ἧλον ἐσταυρωμένου περὶ βραχίονι τοῦ πάσχον-
τος περίαπτε, καὶ ἀπαλλάξεις. Ζαλάχθης δὲ τάδε φησίν, ἴασπις λίθος ὁ προσαγο-
ρευόμενος * καπνιαθεὶς, εἰς πάντα τὰ περὶ κεφαλὴν καὶ διάνοιαν συνιστάμενα
περιάπτεται, καὶ περιτεθέντος δὲ τοῦ αὐτοῦ ἐὰν συγχρίσηται τῷ ὑγρῷ, ταῦτα δρά-
σειεν ἐναργῶς καὶ θαυμασίως. Οστάνης δέ φησι κοράλλιον καὶ γλυκυσίδην, καὶ στρύ-

χου ῥίζαν ἀνελόμενος σελήνης μειούσης, ἐνδήσας εἰς ὀθόνιον ἱερὸν περίαπτε. Ἄλλο. Ἴασπις δὲ ὁ προσεοικὼς καλλαΐνῳ, δακτυλίῳ ἐνδεθεὶς, φορεῖται, καὶ ἀπαλλάττει· ἔστι δὲ πολυτίμητος. Ἄλλο. Δημοκράτην δὲ τὸν ἀθηναῖον λέγεται νεανίσκον ὄντα καὶ ἐπιληπτιζόμενον παραγενέσθαι εἰς δελφοὺς, καὶ δεῖσθαι τούτου τοῦ δαίμονος, πολλῶν αὐτῷ προσφερόντων περιάμματα ἀντιπαθῆ τῆς νόσου, ποίῳ χρήσεται αὐτῶν, καὶ τὴν πυθίαν φάναι, * μόνον δὲ πρὶν ἐκ βοὸς κατὰ κρίου. τίκτει δὲ χυμοὺς κευθμῶνος ἐν ὑγρῷ ἕρπητα πολύπλοκον, δεινοῦ ἀπὸ κόρσης, εἰ δ' οὕτως μείζονα εἰρόμενος κεφαλῆς ποιμνήϊον αὐλὴν μηκάδος, ἀγρονόμον δέρας περικάμβαλε μήλου ἕρπητα πολύπλοκον, δεινοῦ ἀπὸ κόρσης. ὁ δημοκράτης ἀκούσας ταῦτα, ἐνόμισεν ὅ,τι τότε ὁ δαίμων ηὔδα. ἐπεὶ δὲ αὐτὸς ἐλθὼν παρεγένετο πρὸς θεόγνωστον τὸν * δημοκράτειον ἤδη ἐννενηκοστὸν ὄγδοον ἔτος ἐλαύνοντα, τούτῳ τὸν χρησμὸν καταγγέλλει. ὁ δὲ σφόδρα θαυμάσας τοῦ δαίμονος τὴν σύνεσιν, καὶ τῆς σοφίας τὸ ἀσαφὲς καὶ σκολιὸν ῥητὸν, εἶπε τὴν σαφήνειαν τοῦ χρησμοῦ, τῶν ἐν τοῖς ποιμνίοις αἰγῶν φυσικῶς, φησὶν, ἔγκυος γὰρ ἡ κεφαλὴ κατὰ τοῦ ἐγκεφάλου βάσιν πολλῶν σκωλήκων. ἐπερχομένων τε πταρμῶν τῷ ζώῳ, ἐκπάλλονται πολλοὶ ἐκ τῶν ῥωθώνων τῆς αἰγὸς σκώληκες. χρὴ οὖν ὑποστορέσαντα ἱμάτιον, διὰ τὸ μὴ ἅψασθαι τῆς γῆς τοὺς σκώληκας λαβεῖν α' ἢ γ', καὶ ἐνδύσαντα εἰς δέρμα μέλανος προβάτου, ἐξάψαι ἀπαλῆς ἀπὸ δειρῆς· καί φησι τοῦτο ἀντιπαθὲς τῆς νόσου. Ἕτερον πρὸς τὸ αὐτὸ, ὅπερ κεῖται ἐν τῷ στράτωνος, λέγεται δὲ μοσχίωνος. Ὄνου τὸ μετώπιον δέρματι περιαπτόμενον καὶ φορούμενον ἀπαλλάττει. ἧλον ἐκ πλοίου ναυαγήσαντος ἐλάσας, ποίησον * βραχιόλιον πλατὺ, ὥστε ἐνθεῖναι ὀστέον ἀπὸ καρδίας ἐλάφου, καὶ περίθες ἐν τῷ εὐωνύμῳ βραχίονι. ἐκκαρδιώσας δὲ τὴν ἔλαφον ζῶσαν, καὶ ἀναπτύξας τὴν καρδίαν ἀνυπερθέτως παραχρῆμα καλάμῳ εὑρίσκεις ὡς τάρκιον πεπηγὸς ὀστάριον, εἶτα ξήρανον, καὶ βαλὼν, ποίει ὡς προείρηται, καὶ θαυμάσεις. Ἄλλο. Ὀθόνιον ἐκ ναυαγήσαντος πλοίου ἤδη πεπλευκότος καὶ πεπαλαιωμένου δῆσον ἐπὶ τὸν δεξιὸν βραχίονα ἐπὶ ἑπτὰ ἑβδομάδας, ἐν αἷς ἀπέχου τε * καὶ ἀπαλλαγήσεται ὁ κάμνων. πεσεῖται δὲ ἐὰν τρίχας ὄνου καὶ μούλης ὑποθυμιάσῃς. πύρεθρον δὲ ἐὰν εἰς τοὺς μυκτῆρας αὐτοῦ ἐμφυσήσῃς, εἰ μὲν εἴη ἰάσιμος, πταρήσεται, εἰ δὲ μὴ, οὔ.

Ἄλλο. Κοράλλιον ἀπὸ ἐγκεφάλου τοῦ ὄνου περίαπτε, γλυκυσίδης ῥίζης, καὶ στρύχνου φθινούσης σελήνης, δίδου κόκκον α', δίδου παρὰ α', εἶτα παρὰ β', εἶτα παρὰ δ', ἕως ἀναλώσῃς ιε' πόσεις. καὶ χρυσόλιθος καλῶς ποιεῖ, καὶ ἴασπις ὁ ἀερίζων, ἢ ὁ προσόμοιος καλλαΐνῳ, δακτυλίῳ φορούμενος. Ταῦτα μὲν εἴρηται τοῖς παλαιοῖς ὡς φυσικῶς δρᾷν δυνάμενα. ὅσα δὲ ἡμεῖς ἐξεθέμεθα, κατὰ μέθοδον εἴρηται. καὶ δεῖ πανταχόθεν βοηθεῖν τὸν ἐπιστήμονα, καὶ φυσικοῖς χρώμενον, ἐπιστημονικῷ λόγῳ καὶ μεθόδῳ τεχνικῇ· καὶ τὸ λεγόμενον πᾶσι, κινεῖν τὰ καλῶς σπεύδοντα μακρᾶς νόσου καὶ μοχθηρᾶς ἀπαλλάξαι τὸν κάμνοντα. ἐγὼ δὲ φιλῶ πᾶσι κεχρῆσθαι· διὰ δὲ τοὺς πολλοὺς τοὺς ἐν τῷ νῦν χρόνῳ ἀμαθεῖς ὄντας καταμέμφεσθαι τοῖς χρωμένοις τοῖς φυσικοῖς, ἔφυγον συνεχῶς χρῆσθαι τοῖς φύσει δρᾷν δυναμένοις, καὶ ἔσπευσα τεχνικῇ μεθόδῳ περιγενέσθαι τῶν νοσημάτων. καὶ οἶδα οὐ μόνον ἐπιληπτικὰς νόσους, ἀλλὰ καὶ ἄλλα νοσήματα πολλὰ διὰ διαίτης καὶ φαρμακείας ἰαθέντα. διὸ καὶ νῦν βούλομαι καὶ τὸν θέλοντα περιγενέσθαι τῆς ἐπιληψίας, ταύτῃ μᾶλλον τῇ νῦν εἰρημένῃ κεχρῆσθαι διαίτῃ, καὶ

φαρμα-

φαρμακεία, καὶ οὐκ ἀποτεύξεται. δραστηρίως δὲ ποιοῦσι τοῖς εἰρημένοις, καὶ τὸ ἡλιακὸν ἱερὸν κῦφι πινόμενον, μάλιστα μετὰ κάθαρσιν. δεῖ δὲ καὶ ποτίζειν ἅπαξ, ληγούσης σελήνης, καὶ τοῦτο ποιεῖν ἄχρι τελείας ἀπαλλαγῆς. οὐδὲν δὲ ἧττον ὅτε καὶ θεραπευθῇ, προφυλακῆς χάριν ἐπιδιδόναι αὐτό, μέχρις ἂν ἀσφαλῆ καὶ βεβαίαν ἴδῃς ἀπαλλαγὴν τῆς νόσου, καὶ μηδὲν αὐτῆς λείψανον ὑπολειπόμενον φαίνεσθαι. οὐδὲν δὲ ἧττον προφυλαττέσθω καθολικῶς, ὥστε μηδεμίαν ὑπόμνησιν παρέχειν τῷ πάθει. μάλιστα πάντων τὴν ἀπεψίαν ὡς μέγιστον κακὸν, καὶ τὸ διψῆν ἢ ἀσιτᾶν, ὑπόνοιαν ἀπεψίας, καὶ τὴν βραδυσιτίαν, καὶ τὴν ἐκχόλωσιν ὑπονοείτωσαν. φυλαττέσθωσαν δὲ καὶ τὸ πίνειν εὐθέως μετὰ λουτρὸν, ὡς εἰρήκαμεν, καὶ μάλιστα τὸν ἄκρατον, καὶ τοὺς πάνυ παλαιοὺς, καὶ τοὺς πάνυ νέους, καὶ τοὺς στύφοντας. γάλα δὲ πίνειν καὶ τυρὸν ἐσθίειν, καὶ εἴ τι διὰ γάλακτος ἐστὶ σκευαζόμενον. φευγέτωσαν δὲ καὶ δυσώδη πάντα, καὶ ὅλως ἐγχρονίζειν τόποις τοιούτοις, καὶ τὴν θυμιαμάτων τὴν ἐπὶ πολὺ ὄσφρησιν, καὶ ἀφ' ὑψηλοῦ ἀτενίζειν ἐπὶ πολὺ, καὶ τὸ σκέπειν πάνυ καὶ θερμαίνειν τὴν κεφαλὴν, καὶ τὸ ἐγχρονίζειν ἐν ἡλίῳ, ἢ ὅπου πῦρ ἐστὶν ἐπὶ πολὺ, καὶ τὸ ἐν λουτρῷ βραδύνειν, καὶ ἐν θερμῷ πάλιν ὕδατι ἀποσμήχειν τὴν κεφαλὴν, καὶ ἄπεπτον αὖθις λούεσθαι. παραιτείσθω δὲ καὶ τὸ μετὰ τροφὴν γλυκέος τινὸς ἐδέσματος, ἢ πόματος λαμβάνειν. καὶ γὰρ καὶ τοῦτο προξενητικὸν τοῦ πάθους, καὶ μάλιστα ἐφ' ὧν ἡ ξανθὴ χολὴ τίκτεται ἐν τῷ στομάχῳ. τούτοις γὰρ εὐκράτως συμφέρει διαιτᾶν, οὐχ ὥσπερ τοὺς ἀθροίζοντας τὸν φλεγματώδη χυμὸν, διὰ τῶν παντοίως λεπτυνόντων τοὺς χυμοὺς καὶ θερμαινόντων. ταῦτά τις ἐὰν ἀκριβῶς μένῃ φυλάττων, οὐ μὴ δεηθείη ἑτέρου τινὸς βοηθήματος, καὶ μάλιστα τῶν ἐπωδυνῶν καὶ κίνδυνον ἐπιφερόντων, ἔσθ' ὅτε δὲ καὶ ἀρτηριοτομίας, καὶ * ἀναρτήσεως, καὶ καύσεως, καὶ τῶν ἄλλων, ὅσα τιμωρία μᾶλλον, ἢ θεραπεία πολλοῖς γέγονε.

Περὶ μελαγχολίας. ιϛ΄

Οὐ μία τίς ἐστι τῆς μελαγχολίας ἡ αἰτία, οὐδὲ εἷς χυμὸς ὁ τίκτων τὸ πάθος, ἀλλὰ πλείους, καὶ ἄλλοτε ἄλλως τρεπόμενοι, ὅθεν οὐδὲ τὰ αὐτὰ πάντες ὑπομένουσι συμπτώματα, οὐδὲ ὡσαύτως ἴσχουσι τὰ κινήματα τῆς φαντασίας, ἀλλ' οἱ μὲν αὐτῶν γελῶσιν ἀεὶ, καὶ μετὰ ἱλαρότητος ἡ φαντασία αὐτοῖς γέγονεν· οἱ δὲ μετ' ὀργῆς καὶ συντονίας, ἐοικότες, ὅσον ἐπὶ τούτῳ, τοῖς φρενιτικοῖς ὀνομαζομένοις. τινὲς δὲ αὐτῶν μετὰ νωθρότητος πολλῆς, ὡς μὴ ἀποφθέγγεσθαι θέλειν αὐτοὺς, ὡς παραπλησίως τοῖς καλουμένοις μωροῖς. ἄλλοι δὲ δόξας ἔχουσι, καὶ προλέγειν τὰ μέλλοντα οἴονται. ἕτεροι δὲ φιλοῦσι τὸν θάνατον· ἄλλοι δὲ φιλοῦσι τὴν σφαγὴν, ἄλλοι δὲ φοβοῦνται. καὶ οἱ μὲν αὐτῶν διαλείμματα κατά τινας καιροὺς ἔχουσιν, ὥστε καὶ τῶν συνήθων ἀντέχεσθαι, οἱ δὲ συνεχείας φυλάττουσιν. οὐ μόνον δὲ διαφέρουσι κατά τινας πολυτρόπους κινήσεις τῶν ἐπιγινομένων αὐτοῖς συμπτωμάτων, ἀλλὰ καὶ κατὰ τοὺς πεπονθότας τόπους. οἱ μὲν αὐτὸν μόνον ἔχουσι τὸν ἐγκέφαλον νοσοῦντα, οἱ δὲ καὶ τὸ ἄλλο πᾶν σῶμα, καὶ τὴν γαστέρα μόνην, καὶ τὰ ὑποχόνδρια. ἐπεὶ οὖν καὶ τὰ αἴτια τῆς μελαγχολίας εἰσὶ διάφορα, καὶ τὰ πάσχοντα μόρια, καὶ τὰ κινοῦντα, καὶ τὰ ἐνοχλοῦντα τούτοις συμπτώματα, διὰ τοῦτο προσήκειν ἡγοῦμαι τοῖς φιλομαθέσι σπουδάζειν εἰδέναι περὶ ἑκάστου, καὶ πόθεν γίνονται. τὰς γοῦν διαγνώσεις αὐτῶν ἀκριβῶς ἐκθέσθαι

δέον ἡμᾶς. οὕτω γὰρ καὶ θεραπεῦσαι καλῶς, καὶ περιγενέσθαι τοῦ πάθους, εἰ καὶ δυσχερὲς εἴη, δυνηθείημεν.

Σημεῖα τῆς διὰ πλῆθος αἵματος γινομένης μελαγχολίας.

Διαγνώσῃ δὲ τὴν διὰ πλῆθος αἵματος γίνεσθαι τὴν μελαγχολίαν, πρῶτον μὲν εἰς αὐτὴν ἀποβλέπων τὴν κρᾶσιν τοῦ πάσχοντος. ἴσμεν γὰρ μᾶλλον ὅσοι δασεῖς καὶ μέλανες τῇ χροιᾷ, καὶ λεπτοὶ τὴν ἕξιν ἁλίσκονται πλείω τῶν λευκῶν καὶ παχυτέρων. καὶ οἱ μᾶλλον ἀκμάζοντες τῇ ἡλικίᾳ, καὶ οἱ λεπτῇ διαίτῃ χρώμενοι, καὶ ὀργίλοι, καὶ φροντιστικοί, καὶ ἐν λύπαις, καὶ δυσθυμίαις ἐπὶ πλεῖστον βιώσαντες. ἐρωτᾷν δὲ δεῖ πρὸς τούτοις, μὴ ἄρα τὶς ἐπίσχεσις γένοιτο συνήθους κενώσεως, ἐπὶ μὲν ἀνδρῶν, αἱμορροΐας, ἐπὶ δὲ γυναικῶν, ἐμμηνίου καθάρσεως. καὶ εἰ περὶ τὸ σῶμα βάρους αἴσθησις ἀηδὴς ὑπάρχει, ἐπιβλέπειν δεῖ καὶ τὸ πρόσωπον, εἰ μᾶλλον τοῦ πρόσθεν ἐρυθρότερον εἴη, καὶ αἱ φλέβες ἐν ὄγκῳ μείζονι, καὶ τεταμέναι. τούτων γὰρ ὄντων, πλῆθος αἵματος ἀνάγκη ἐστὶν ὑποπτεύειν ἀναπέμπον τοὺς ἐπὶ τὴν κεφαλὴν ἀτμούς. εἰ δὲ καὶ διαλείμματά τινα τῶν φαντασιῶν αὐτοῖς γίγνοιντο, ὥστε καὶ τῶν συνήθων ἔργων ἐπί τινα χρόνον ἅπτεσθαι θέλειν. ἔτι καὶ μᾶλλον ὑπονοητέον ἐξ ἀναθυμιάσεως αἱματικοῦ χυμοῦ τὴν γένεσιν ἐχόντων, καὶ τὸν ἐγκέφαλον λυμαινομένων, τὸ τῆς μελαγχολίας εἶδος προσγίνεσθαι, καὶ πάσχειν τι παραπλήσιον αὐτούς, ὁποῖον τοῖς ὑποχεομένοις συμβαίνει τὴν ὅρασιν. εἰ δὲ καὶ μετὰ γέλωτος τὰ τῆς φαντασίας γίνοιτο, γίνωσκε μὴ πάνυ κακόχυμον καὶ δακνώδη τὸν λυποῦντα χυμόν, τῷ δὲ ποσῷ μόνῳ βλάπτειν.

Περὶ θεραπείας.

Ἐὰν οὖν ἡ διάγνωσις ὑπαγορεύῃ σοι πλῆθος αἵματος εἶναι τὸ λυποῦν, καὶ διὰ τοῦτο τὴν τοιαύτην ἐπιγίνεσθαι μελαγχολίαν, ὡς εἰρήκαμεν, * μόνον ἐπιθολοῦντος τὸ ψυχικὸν πνεῦμα, καὶ τὰς τοιαύτας κινοῦντος φαντασίας, πρὸ πάσης ἀνάγκης, ἢ τινος ἑτέρας θεραπείας, ἀφαίρεσιν αἵματος παραλαβεῖν. ἐγχρονίζειν γὰρ ἐπὶ τούτων οὐ δεῖ, δέους ὄντος μὴ ἀναβαλλομένων ἡμῶν ἐπὶ πλέον ἀλλοιώσῃ τὸ σῶμα τοῦ ἐγκεφάλου, ἢ καὶ χρονίσαντα ἔνδον ἐμφράξωσι τὰς κοιλίας αὐτοῦ. ὀλίγας οὖν ἡμέρας εὐχύμῳ τε καὶ εὐκράτῳ τροφῇ διαιτήσας τὸν κάμνοντα, μηδαμῶς συγχωρῶν κρεῶν τε καὶ τῶν αἱματικὸν χυμὸν τίκτειν δυναμένων ὅλως προσίεσθαι, ἐπὶ τὴν κένωσιν ἐλθὲ τοῦ αἵματος, καὶ εἰ μὲν ἔρρωται ἡ δύναμις, * ὅσον ἐστὶ νομίσῃς ἀρκεῖν αὐτόν, εὐθὺς ἄφελε. πολλάκις γὰρ ἡ ἀθρόα κένωσις συγκενοῦσθαι καὶ διαπνεῖσθαί τι ποιεῖ, καὶ τοῦ ἀναπέμποντος τοὺς ἀτμοὺς πνεύματος. εἰ δὲ μὴ φέρει πολλὴν ἐκ πρώτης ἡ δύναμις κένωσιν, ἀνάγκη τηνικαῦτα μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς, καὶ πολλάκις ὅσον ἐγχωρεῖ κατὰ μικρὸν ἀφαιρεῖν. εἰ δὲ μὴ ἀπὸ τῆς χειρὸς δυνατόν ἐστι ποιεῖσθαι τὴν κένωσιν, ἀποπειρᾶσθαι δεῖ ἀπὸ τῆς ἰγνύος, καὶ ἀπὸ τῶν περὶ τὸν ἀστράγαλον μερῶν τὴν κένωσιν ποιήσασθαι. καὶ μᾶλλον τοῦτο δεῖ πράττειν ἐπὶ γυναικείων σωμάτων. καὶ γὰρ προτρεπτικὸν τῆς ἐμμηνίου καθάρσεως. ὅταν οὖν μὴ φανερὰς εὕρῃς τὰς ἐν ἀγκῶνι φλέβας, τὰς ὑποπιπτούσας ἐν τοῖς εἰρημένοις τόποις, δεῖ τηνικαῦτα τέμνειν. κενώσεως γὰρ αἵματός ἐστι χρεία πρὸς τὴν εἰρημένην διάθεσιν. οὐδὲν οὖν ἧττον ὠφελήσῃς, ὅθεν ἂν τὴν ἀφαίρεσιν τοῦ αἵματος ποιή-
» σῃς, ἐπειδὴ καὶ πάντα συγκενοῦνται, καθάπερ ὁ θεῖος ἱπποκράτης φησί, ξύρροια μία,
» σύμπνοια μία, πάντα συμπαθέα.

Θεραπεία τῆς διὰ σφήνωσιν αἵματος γινομένης μελαγχολίας.

Εἰ δὲ ὕλη αἱματικοῦ χυμοῦ σφηνωθείη περὶ τὸν ἐγκέφαλον, τότε θαρρῶν τὴν ἐν τῷ μετώπῳ φλέβα τέμνε. μετὰ γὰρ τὴν ἐξ ὅλου τοῦ σώμα-

τὴν κένωσιν, τὴν τοπικὴν ἤδη προσάγων θεραπείαν οὐδὲν βλάψεις. ἄνευ δὲ τούτου πάντων ἀπείρατον ἐργάσασθαι, εἰ περὶ τὴν κεφαλὴν ἐνεργεῖν τι βουληθείης, ἀδικήσεις μᾶλλον ἢ ὠφελήσεις, ἐπὶ τὸ πεπονθὸς ὕλην ἐπισπώμενος πλείονα. οὕτω μὲν ἰᾶσθαι δεῖ τοὺς ἐπὶ πλήθει μόνῳ τοῦ αἵματος ἀρξαμένους μελαγχολᾶν, μηδέπω σαφῶς ἀλλοιωθέντος ἐπὶ τὸ δακνῶδες καὶ δριμὺ, ἢ χολῶδες, ἢ ἐπὶ ἄλλην τινὰ χυμοῦ δυσκρασίαν. εἰ γὰρ φθάσει τι τούτων ὑπομεῖναι τὸ αἷμα, οὐκέτι μετὰ γέλωτος οὗτοι τὰς φαντασίας ἴσχουσιν, ἀλλὰ τοὐναντίον ἄγριοι καὶ μανιώδεις ἄγαν αὐτοῖς οἱ παροξυσμοὶ προσγίνονται. διὸ δεῖ σπουδάζειν ἐκτέμνειν ἀρχόμενον τὸ πάθος. χρονίσαν γὰρ καὶ οἷον φυσιωθὲν, ἀθεράπευτον εἰς τέλος ἀποτελεῖται, καὶ οὐ μελαγχολᾶν μόνον, ἀλλὰ καὶ μαίνεσθαι τοὺς τοιούτους κικλήσκουσιν. οὐδὲν γάρ ἐστιν ἄλλο μανία ἢ ἐπίτασις τῆς μελαγχολίας ἐπὶ τὸ ἀγριώτερον. Σημεῖα τοῦ δριμύτερον καὶ χολωδέστερον γεγενῆσθαι τὸ ποιοῦν αἷμα τὴν μελαγχολίαν. Γνωρίσεις δὲ μηκέτι ἀναφερομένους ἀτμοὺς αἱματικοὺς, ἀλλὰ μελαγχολικωτέρους, ἢ δριμυτέρους, ἐξ ὧν προειρήκαμεν· ὅτι δὲ καὶ ὀργιλώτεροι, καὶ θορυβώδεις, καὶ οὐκέτι προσηνεῖς· καὶ οὐκ ἐξ αἵματος· λοιπὸν δὲ τὴν κρᾶσιν τοῦ κάμνοντος εἶναι θερμοτέραν καὶ ξηρὰν, καὶ τὴν ἡλικίαν ἀκμαστικὴν, καὶ τὴν προλαβοῦσαν δίαιταν, θερμοτέραν τε καὶ δριμυτέραν· καὶ τὰ ἄλλα τούτοις σύστοιχα σαφέστερον ἐνδείξεταί σοι τὸ μᾶλλον ἐπὶ τὸ χολωδέστερον ἐκτετράφθαι τὸ αἷμα. κινοῦνται γὰρ διαφόρως οἱ χυμοὶ, καὶ ἄλλοτε ἄλλην ἀναδέχονται ποιότητα. ἐπὶ μὲν γὰρ τὴν χολὴν ἐκτρέπονται διὰ πολλὴν ἀσιτίαν, καὶ ἁλμυρῶν ἐδεσμάτων συνεχῆ προσφορὰν, ἢ εὐτόνους φροντίδας. ἐπὶ δὲ τὸν αἱματικὸν χυμὸν προβαίνουσιν ἐπὶ πλέον διὰ πλείονος οἴνου χρῆσιν, καὶ διά τινα πολυτρόφων ὄρεξιν ἐδεσμάτων, καὶ λουτρῶν πλειόνων. εἰ δὲ καὶ τοὺς δύο συμβῇ πλεονάζειν χυμοὺς, τούτων ἑκάτερον ἀποτελεῖται σύμπτωμα. ποτὲ μὲν γὰρ γελῶσι, ποτὲ δὲ θρασύτερον φθέγγονται, καὶ ἄλλοτε ἄλλας κινήσεις, καὶ διαλείμματα, καὶ παροξυσμοὺς ἔχουσιν, ὥσπερ ἐπὶ τῶν κατὰ περίοδον κινουμένων συμβαίνει πυρετῶν· καὶ ἐπὶ τούτων ποτὲ μὲν ὑπὸ τοῦδε τοῦ χυμοῦ πληροῦσθαι τὸν ἐγκέφαλον· ποτὲ δὲ ὑπὸ τοῦδε, πρὸς τὰς διαφορὰς αὐτῶν ἐκτροπὰς καὶ κινήσεις. Θεραπεία τῆς ὑπὸ χολώδους καὶ δριμυτέρου αἵματος γινομένης μελαγχολίας. Εἰ οὖν ἐκ τούτων ὧν εἰρήκαμεν σημείων ἐπιμεμῖχθαι χολὴν τῷ αἵματι ἐν τοῖς ἀγγείοις ὑπονοήσεις, ἐπὶ τὰ κενοῦντα τὸν τοιοῦτον χυμὸν ἔρχεσθαι κατὰ τὸ τηνικαῦτα. τοῦτο δὲ πράξεις καλῶς, καὶ τὰ τῆς καθάρσεώς σοι ἐπιτήδεια γενήσεται, ἐὰν ὀλίγας ἡμέρας εὐκράτῳ τροφῇ καὶ ὑγροτέρᾳ τὸν ἄνθρωπον προδιαιτήσας, δώσεις τὸ χολαγωγὸν φάρμακον. οὕτω γὰρ καὶ ὁ λυμαινόμενος χυμὸς ῥᾳδίως ἐπακολουθήσει τῷ καθαίροντι βοηθήματι, νικώμενος μᾶλλον ἢ νικῶν τοῦ φαρμάκου τὴν δύναμιν. ὥσπερ γὰρ τέμνει ἐπὶ τῶν παχυτέρων ὅσα λεπτύνει καὶ θερμαίνει προσφέρων, οὕτω καὶ οἱ τοιοῦτοι χυμοὶ ἐπιτηδειότεροι πρὸς κένωσιν γενήσονται. τοὺς δὲ ὑπὸ τοῦ χολώδους αἵματος ὀχλουμένους διαιτήσας, ὥσπερ εἰρήκαμεν, ὑγρᾷ καὶ εὐκράτῳ τροφῇ, τὸ φάρμακον ἐπιδίδου. ἔστω δὲ ἡ πικρὰ προσλαμβανομένη τὸν ὀπὸν τῆς σκαμμωνίας. ἀλλὰ τῆς μὲν πικρᾶς προσβάλλε δραχ. ϛ΄, τοῦ δὲ τῆς σκαμμωνίας ὀποῦ κεράτια η΄, ἢ μικρῷ πλέον, ἢ ἔλαττον. εἰ μὲν οὖν λυθὲν τὸ φάρμακον μὴ θέλει λαμβάνειν ὁ κάμνων, γινέσθω καταπότια. εἰ δὲ καὶ ταῦτα δυσχεραίνει καθ᾽ αὐτὰ, σὺν οἴνῳ ἢ ᾠοῖς ἁπαλωτάτοις δεχέ-

θω, διανοιχθέντος ἠρέμα τοῦ ὑμένος τῆς λεκύθου, καὶ ἐν τῷ μέσῳ ἐμπλησθέντων. οὕτω γὰρ ἀλύπως καὶ προσηνῶς ὁ κάμνων πάντως αὐτὰ δέξεται. μετὰ δὲ τὴν τοιαύτην δόσιν τοῦ φαρμάκου, εἰ μὴ ἀρκοῦσαν εὕροις γινομένην τὴν κένωσιν, ἐπιδιαλιπὼν ὀλίγας ἡμέρας, καὶ διαιτήσας πάλιν τοῖς ὑγραίνειν δυναμένοις τὸν κάμνοντα, λουτρῷ κέχρησο καὶ ἡσυχίᾳ· καὶ αὖθις κάθαιρον, αὐξήσας μᾶλλον μικρῷ πλέον τοῦ καθαρσίου τὴν δόσιν. οὕτω γὰρ ἂν ἄριστα πράξῃς, ἐφ' ὧν μὴ μελαγχολία φαίνοιτο γεγενῆσθαι, τοῦ αἵματος ἐπὶ τὸ χολῶδες ἐκτραπέντος, καὶ ὑπερθερμαινομένου καὶ κινδυνεύοντος ἄπαν ὑπεροπτηθῆναι. ὅσοι γὰρ θερμοτέραις ἐπὶ τῶν τοιούτων ἀντιδότοις ἢ καθαρτηρίοις ἐχρήσαντο, καὶ μάλιστα τῇ καλουμένῃ ἱερᾷ, οὗτοι μανιωδεστέρους ἀπετέλεσαν τοὺς κάμνοντας, ἐπὶ τὸ ξηρότερον καὶ δριμύτερον παρατρέψαντες τὸ αἷμα. βέλτιον οὖν ἐπὶ τῶν τοιούτων ἁπλουστέροις ἔτι ὑποκαθαίροντας φαρμάκοις, καὶ ἀντὶ τοῦ δύνασθαι θερμαίνειν τὸ πᾶν, ἐπιτρέπειν τῇ ὑγραινούσῃ τροφῇ. ἴστε δὲ καὶ ὑμεῖς, ὡς καὶ ἐγὼ τῶν οὕτω καμνόντων πολλοὺς ἰασάμην, διαίτῃ μᾶλλον ἢ φαρμακείᾳ χρησάμενος. ἔστω δὲ ἡ δίαιτα, συντόμως εἰπεῖν, παλιασμένη μάλιστα, καὶ ἕωθεν παραλαμβανομένη μετὰ τῶν κόκκων, ἢ περὶ ὥραν δευτέραν. ἐν δὲ τῷ ἀρίστῳ, καὶ τῶν ἰχθύων οἱ πετραῖοι, ἥ τε κατοικίδιος ὄρνις, καὶ τὰ ἄλλα πτηνά, χωρὶς τῶν ἐν τοῖς ἕλεσι, καὶ τῶν ὀστρακοδέρμων τὰ κτένια, καὶ οἱ ἀστακοί, καὶ οἱ ἐχῖνοι, καὶ τῶν λαχάνων ἡ θριδακίνη καὶ ἴντυβον, παντοίως ἐσθιόμενα, καὶ ἡ μαλάχη. τὰ δὲ ἄλλα πάντα παραιτείσθωσαν, καὶ μάλιστα τὴν κράμβην, καὶ τὰ ἄγρια τῶν λαχάνων. ὀπωρῶν δὲ τῶν πεπόνων καὶ σικύων ἡ ἐντεριώνη· ὡσαύτως καὶ τῶν σταφυλῶν αἱ γλυκεῖαι καὶ σκληρόσαρκοι· καὶ τῶν μήλων ὅσα μὴ στύφα. τὰ δὲ σῦκα παραιτείσθωσαν, ἢ μετρίως προσφερέσθωσαν· καὶ πάντα ταῦτα· πεπείραται γὰρ τὰ τοιαῦτα· ἐγγὺς τοῦ μὴ δύνασθαι βλάπτειν. τῶν δὲ πλακουντῶν ἁπάντων παραιτείσθωσαν τὶ λαμβάνειν ὅλως, καὶ τὰ διὰ γάρου τε καὶ τυροῦ τὴν σκευασίαν ἔχοντα. πάντα γὰρ ὅσα τοιαύτην ἔχει τὴν σκευασίαν, ἔχοντα τὸν χολώδη μᾶλλον αὔξει καὶ ὑπεροπτᾷ χυμόν. εἰ δὲ ἡ χρεία καλέσει * χρεστιατικόν, καὶ τοῦτον ὀλίγον. τούτου δὲ μὴ ὄντος, προτιμητέον τοὺς μηδὲν ἔχοντας στυπτικόν, διὰ τὸ μὴ περὶ τὴν κεφαλὴν αὐτοὺς ἀναδίδοσθαι. τοιαύτη μὲν αὐτοῖς καὶ ἡ δίαιτα ἔστω. καὶ γὰρ ἐ * τῶν κατὰ μέρος λέγεται, καὶ τοῦτο συνετῶς παραθήσει ἰατρὸς ἀκολουθῶν τοῖς εἰρημένοις, ἐξευρεῖν δυνήσεται ἑαυτῷ, καὶ εἰ κρεῶν καὶ λουτρῶν δεήσει, ἢ αὔξων, ἢ μειῶν τὸ ποσόν, μὴ ἄγαν ἀθρόως.

Περὶ λουτροῦ. Καὶ ἡ τῶν γλυκέων λουτρῶν χρῆσις, εἴπερ τι καὶ ἄλλο, τῶν βοηθούντων αὐτοῖς ἐστι. τὸ μὲν γὰρ δεῖ διαφορῆσαι τῆς χολῆς, τὸ δὲ καὶ ἐπικεράσαι διὰ τῆς τῶν ὑγρῶν ποιότητος. ὅλον μέντοι τὸ σῶμα καταχείσθωσαν θερμῷ ὕδατι· τὴν δὲ κεφαλὴν χλιαρῷ μᾶλλον, καὶ τοῖς λεκύθοις τῶν ὠῶν αὐτοὺς σμηχέσθωσαν. ἀλειφέσθωσαν δὲ τὸ μὲν ὅλον σῶμα ὑδρελαίῳ, καὶ τὴν κεφαλὴν ῥοδίνῳ. ἔστω δὲ καὶ ὁ ἀὴρ εὔκρατος· ὁμοίως δὲ καὶ ἡ τοῦ θερμοῦ δεξαμενή, καὶ ἐγχρονιζέτωσαν ἐν αὐτῇ, καὶ εἰς τὸ θερμὸν ἀναγκαζέσθωσαν εἰσιέναι, πάντως καὶ εἰ θέρος εἴη, ἐγχρονιζέτωσαν ἐν αὐτῷ. μετὰ δὲ τὸ λουτρὸν εὐθὺς μὴ πινέτωσαν οἶνον, πλὴν εὔκρατον. καὶ οὕτως ἐσθιέτωσαν, ὡς προειρήκαμεν ἔμπροσθεν. καὶ καθεύδειν δὲ μέλλοντες προσφερέσθωσαν εὔκρατον πάλιν. οὕτω μὲν χρὴ διαιτᾶν τοὺς διὰ χολῶδες αἷμα καὶ θερμὸν πάνυ, καὶ τοὺς ἀρχομένους μελαγχολᾶν. εἰδέναι δὲ δεῖ ὅτι ἐπὶ τούτων οἱ παλαιό-

τεροι

τερι, σικύαις ἐχρήσαντο κατὰ τῆς κεφαλῆς, καὶ * ἀνατρίμμασι δὲ δριμυτέροις, ἀμύττειν τὴν κεφαλὴν βουλόμενοι, ἄλλοι δὲ καὶ βδέλλαις. ἡμεῖς δὲ φεύγομεν ἐπὶ τῶν τοιούτων ἁπάντων τὰ τοιαῦτα. πρὸς γὰρ τῷ μηδὲν αὐτοὺς ὠφελεῖν, ἔτι καὶ μᾶλλον δυσκράτους καὶ ξηροτέρους ἐργάζονται. τότε δὲ προσήκει ταῦτα ποιεῖν, ὁπηνίκα φθάσῃ βιαίως ἐπὶ τὸν ἐγκέφαλον παραγινομένη ὕλη, καὶ σφηνωθῇ παχυτέρα οὖσα, καὶ τοῖς ἄλλοις ὑπείκειν βοηθήμασιν οὐκ ἀνεχομένη.

Περὶ τῆς ἀπὸ μελαγχολικοῦ αἵματος γινομένης μελαγχολίας.

Συμβαίνει μὲν οὖν μάλιστα μελαγχολᾶν τινας, ὑπερπλημένου τοῦ αἵματος, καὶ ἀμετρότερον ἐπιπέμποντος τῇ κεφαλῇ τὰς ἀναθυμιάσεις, καὶ τρέποντος τὸ ἐν αὐτῇ ψυχικὸν πνεῦμα. γνωρίσεις δὲ τὸ μᾶλλον ἀπὸ τοῦ μελαγχολικοῦ γίνεσθαι τὰς ἀναθυμιάσεις, ἐκ τοῦ λύπας ἀλόγους, καὶ δυσθυμίας, καὶ φόβους ὑπομένειν τὸν κάμνοντα, ἔρων τε θανάτου, καὶ ἀποστρέφεσθαι τοὺς μάλιστα δοκοῦντας εἶναι τῶν φίλων· ὑπονοίας τε ψευδεῖς ἔχειν, ὥς τινων θελόντων αὐτὸν ἀνελεῖν, ἢ ξίφει χρωσαμένων, ἢ φαρμάκοις παρεχόντων. ἴσμεν δὲ καὶ ἄλλας μυρίας εἰδότα τὸν τοιοῦτον χυμὸν ἐπιφέρειν ξένας τε καὶ πολυτρόπους φαντασίας. καὶ ὅτι οἱ μὲν ἐνόμιζον εἶναι κέραμον αὐτούς, ἄλλοι δὲ βύρσαν, ἕτεροι δὲ ἀλεκτρυόνα, καὶ μιμεῖσθαι θέλειν τὴν ἐκείνου φωνήν. καθάπερ ἄλλοι ἀηδόνα τὸ ὄρνεον ἐνόμισαν εἶναι, καὶ κλαίειν ὅτι τὸν Ἴτυν ἀπώλεσαν. ἕτεροι δὲ ὅτι τὸν οὐρανὸν βαστάζουσιν, ὡς ἄτλας· καὶ δεδιέναι φασὶ μὴ καταπέσῃ, καὶ οὐ μόνον ἐκεῖνον, ἀλλὰ καὶ πάντας ὁμοῦ συντρίβειν. ἐγὼ δὲ γυναῖκα ἐθεασάμην οὕτω φανταζομένην καὶ περισφίγγουσαν ἑαυτῆς τὸν μέσον τῆς χειρὸς δάκτυλον, ὡς ἐν αὐτῷ τὸν ὅλον κόσμον βαστάζουσαν. ἔκλαιε δὲ κἀκείνη δεδοικυῖα μή πως ἐπικάμψῃ τὸν δάκτυλον αὐτῆς, καὶ ὅλον συμβῇ καταπεσεῖν τὸν κόσμον, καὶ πάντα ἀπολέσθαι παραυτίκα. καὶ ἄλλους δὲ πολλοὺς ἑωράκαμεν, ὧν περιττόν ἐστι, τάχα δὲ καὶ ἀδύνατον ἐθέλειν ἁπάντων μεμνῆσθαι. ἀλλ' ἀρκέσει ταῦτα παραστῆσαι, ποῖα μᾶλλον εἴωθε συμβαίνειν τοῖς ἀπὸ μελαγχολικοῦ χυμοῦ τὴν γένεσιν ἀρξαμένοις ἔχειν. εἰ μὲν οὖν ἀρξάμενον εἴη τὸ νόσημα διὰ λύπην ἢ φροντίδα τινὰ προηγησαμένην, ἢ ψυχικὸν ἄλλο πάθος, ὑπονοεῖν χρὴ τότε πρὸς τὸ τῆς φαντασίας εἶδος, ἢ λόγον, ἢ ἄλλο τι τῶν ἀθρόαν ἐργάζεσθαι τὴν μεταβολὴν δυναμένων. πλεῖστοι γὰρ οὕτως ἰάθησαν τινὰ λόγον, ἢ καὶ ἑωρακότες καὶ ἀκούσαντες ὧν ἐπεθύμουν τυχεῖν. οὕτως οὖν Φιλότιμος ἰατρὸς ἰάσατο τὸν ἀποτετμῆσθαι δοκοῦντα, διὰ τὸ τύραννον γενέσθαι, ὀδυρόμενόν τε τὸ συμβάν, κατὰ τῆς κεφαλῆς ἐπιθεὶς ἑαυτῷ μολύβδινον πῖλον ἀθρόως, ὥστε τοῦ βάρους αἰσθόμενον, οἰηθῆναι πάλιν ἀνειληφέναι τὴν κεφαλήν, ὑπερχαρέντα τε, καὶ διὰ τοῦτο ἀπαλλαγῆναι τῆς κενῆς φαντασίας. καὶ γυναῖκα δέ τις ἰάσατο οὕτω μελαγχολοῦσαν, οἰομένην ὄφιν καταπεπωκέναι, ἀποθέμενος εἰς τὸν ἔμετον μικρὸν θηρίον κατὰ πάντα ὅμοιον τῷ ἐκείνης φαντάσματι, καὶ τῷ ὑπογραφομένῳ ὑπὸ τῆς κενῆς φαντασίας θηρίῳ. ἔλυσεν οὖν καὶ ταύτης τὸ πάθος ἡ ἀθρόα δηλονότι προσγινομένη χαρά· δῆλον ὅτι διὰ τὴν ἐκ τοῦ δόξαντος λύπην. καὶ ἄλλην δέ τινα μελαγχολίᾳ περιπεσοῦσαν ἐπὶ μακρᾷ τοῦ ἀνδρὸς ἀποδημίᾳ, καὶ ὀργίλως πρὸς ἅπαντας ἀποκρινομένην. ἀλλὰ καὶ αὐτὴ τὸν αὐτὸν ἰάθη τρόπον. ὁ γὰρ ἀνὴρ ἐκείνης ἐπανελθὼν ἀπὸ τῆς ἀποδημίας, μηδενὶ προειπών, μηδὲ τινα χρόνον ἀναβαλλόμενος, ἀλλ' αἰφνίδιον εἰσελθών, ἔδειξεν ἑαυτὸν ἐκείνῃ. παρ' ἐλπίδα οὖν αὐτὸν τὸ γύναιον θεασά-

μενον, καὶ οὕτω * περιπλακὲν, πολλῆς τε εὐθυμίας ἔμπλεων γενόμενον, ταχέως ἀπηλλάγη τῶν φόβων ἁπάντων· ἐπανῆλθέ τε πάλιν εἰς τὸ κατὰ φύσιν, ὡς μηδεμιᾶς ἄλλης δεηθῆναι θεραπείας. οὕτως οὖν εἰ μὴ πολύν τινα χρόνον εἴη λυμαινόμενον τὸ πάθος, ἰᾶσθαι δεῖ τὰς τοιαύτας φαντασίας, παντὶ τρόπῳ καὶ πάσῃ ἐπινοίᾳ χρώμενον, καὶ μάλιστα εἰ ἀπό τινος φανερᾶς, καὶ οἷον προκαταρκτικῆς αἰτίας εἴη τὴν ἀφορμὴν ἡ διάθεσις ἐσχηκυῖα.

Περὶ τῶν ἤδη χρονισάντων μελαγχολικῶν.

Εἰ δὲ φθάσει χρονίσαι τὸ νόσημα, καὶ ἐν ἕξει γενέσθαι τὰ τῆς φαντασίας, οὐδὲν ἐπὶ μέγα δυνήσεται ὁ λόγος, ἢ ἄλλη τις ἐπίνοια δρᾶσαι καὶ ὠφελῆσαι τὸν κάμνοντα. χρεία δὲ τηνικαῦτα καὶ τῇ τέχνῃ διδόναι τὸν νοῦν, καὶ σκοπεῖν πότερον ἀρκτέον ἀπὸ φλεβοτομίας, ἢ ἀπὸ καθάρσεως, ἢ καὶ τοῦ συναμφοτέρου. καὶ εἰ μὲν ἑκατέρων δέοιτο, τῇ φλεβοτομίᾳ χρηστέον πρότερον· εἶτα οὕτως ἐλθεῖν ἐπὶ τὴν τῶν λυπούντων χυμῶν κένωσιν, ἀναλαβόντας τὴν τοῦ κάμνοντος δύναμιν, μετὰ τὴν τοῦ αἵματος κένωσιν, εὐχύμῳ τε καὶ εὐκράτῳ τροφῇ, καὶ λουτροῖς τοῖς ἀπὸ τῶν γλυκέων ὑδάτων. γινέσθω δὲ τούτοις ἡ κάθαρσις δι' ἐπιθύμου, καὶ ὀλίγου ὀῤῥοῦ γάλακτος. καὶ ἔστω τοῦ μὲν ἐπιθύμου ʒ ιϐ', τοῦ δὲ ὀῤῥοῦ κοχλιάριον α'. εἰ δὲ μὴ ἔχει τὸν ὀῤῥὸν τοῦ γάλακτος ὁ καιρὸς, διὰ μελικράτου διδόσθω· καὶ διαλιπὼν ὀλίγας ἡμέρας, ἐπιδίδου πάλιν τὸ ἐπίθυμον, προσπλέκων αὐτῷ τὴν πικράν. ἔστω δὲ τοῦ μὲν ἐπιθύμου ʒ ϛ', καὶ τῆς πικρᾶς ὡσαύτως. εἰ δὲ φαίνοιτό σοι καὶ μετὰ τὸ καθάρσιον τοῦτο ἔτι παραμένοντα, καὶ οὐδὲν ἧττον διοχλοῦντα τῷ κάμνοντι τὰ ἰώδη καὶ μελαγχολικὰ συμπτώματα, διαλιπὼν θ' ἢ ι', τὸ μήκιστον, ἡμέρας, ἐπὶ τὰ καθαίρειν ἰσχυρότερον δυνάμενα εὐθὺς μέτελθε καθάρσια, καὶ μάλιστα τὴν ἱερὰν γαληνοῦ. αὕτη γὰρ ἀμφότερα κέκτηται. * μετὰ γὰρ τὸ τοὺς ποικίλους ἐκκαθαίρειν χυμοὺς, καὶ τὸ ἄλυπον ἔχει καὶ τὸ ἀτάραχον. γενομένης δὲ τῆς καθάρσεως, ἐπισκοπεῖν χρὴ πάλιν τὴν τοῦ κάμνοντος διάνοιαν. καὶ εἰ μὲν ἐπὶ τὸ κάλλιον ὀφθείη τραπεῖσα· γνωρίσεις δὲ τοῦτο δηλονότι ἐκ τοῦ καὶ τοὺς φόβους καὶ τὰς λύπας τὰς ἀκαίρους ἤδη λωφῆσαι, καὶ μετεωτέρους γίνεσθαι, καὶ μᾶλλον ἐπὶ τὸ ἡμερώτερον τραπῆναι, κεχρῆσθαι πάλιν θαῤῥούντως τῇ αὐτῇ καθάρσει. τοῖς γὰρ αὐτοῖς ἐπιμένοντες, καὶ τὴν θεραπείαν οὕτω κατορθώσομεν. εἰ δὲ τῆς ἱερᾶς δοθείσης οὐδὲν ἧττον ἐνοχλοῦντα φαίνοιτο τὰ τῆς μελαγχολίας φαντάσματα, τηνικαῦτα μηδὲν ὑπερθέμενος, ἐπὶ τὴν διὰ τοῦ ἀρμενιακοῦ λίθου δόσιν ἐλθέ. οἶδα γὰρ ὅτι τῶν ἀρχαίων οἱ παλαιότεροι ἐπὶ τὸν λευκὸν ἐλλέβορον ἔτρεχον, ἡνίκα μηδὲν ἀξιόλογον ὑπὸ τῶν ἄλλων καθαρσίων ἐθεώρουν τὸ πάθος μειούμενον. ἀλλ' ἔγωγε τοῦ ἐλλεβόρου λευκοῦ προτιμῶ τὴν τοῦ ἀρμενιακοῦ λίθου δόσιν. καὶ πάρεστι τῇ πείρᾳ γνῶναι τὸν χρώμενον αὐτῷ, πῶς μετὰ τοῦ δραστικοῦ, καὶ τὸ ἄλυπον καὶ ἀκίνδυνον ἔχει, ὧν οὐδὲν ἴσμεν τὸν λευκὸν ἐλλέβορον ἔχειν. Περὶ τῆς δόσεως τοῦ ἀρμενιακοῦ λίθου. Εἰ μὲν οὖν ἐστι χρεία μὴ μόνον κάτω διὰ γαστρὸς, ἀλλὰ καὶ δι' ἐμέτων γίνεσθαι τὴν κάθαρσιν, ἄπλυτον διδόναι χρὴ τὸν λίθον. ἔστω δὲ αὐτοῦ τὸ πλῆθος γ' ἢ δ' ʒ, ἢ μικρῷ πλέον, ἢ ἔλαττον, πρὸς τὴν δύναμιν ἀποβλέποντι ἅμα καὶ πρὸς τὸ ποσὸν τοῦ λυποῦντος χυμοῦ. εἰ δὲ μὴ πάνυ χρήζων ὁ κάμνων φαίνοιτο τῆς διὰ τῶν ἐμέτων καθάρσεως, ἀλλὰ διὰ τῆς κάτω γαστρὸς ὅλην * εἴη τὴν κακοχυμίαν συμφέρει, τηνικαῦτα τὸν λίθον ἀποπλύνειν χρὴ, καὶ ἄχρι δύο καθόδων.

ὁδῶν. οὕτω γὰρ ἡμῶν πραξάντων, οὐδὲ ταραχὴν ἢ θλῖψιν ἐμποιεῖν ὁ λίθος δύναται, ἀλλὰ καὶ μᾶλλον ἀλύπως τὸν μέλανα καὶ γεώδη χυμὸν κενώσει, ὥστε παρελθουσῶν ὀλίγων ἡμερῶν, αἰσθητὴν ἡμῖν γενέσθαι τὴν ἐξ αὐτοῦ ὠφέλειαν. δίδου δὲ καὶ τούτου * ε´ ἢ ς´ τὸ μήκιστον εἰς εὔκρατον ὕδωρ, πανταχοῦ μᾶλλον καὶ ἧττον ἐκ τῶν εἰρημένων συστοίχων στοχαζόμενος. εἰ δὲ καὶ δὶς ἔτι χρήζειν ὑπολάβῃς τὸν κάμνοντα, θαρρῶν ἐπιδίδου πάλιν. οὐδὲ γὰρ ἔχει τὸ θερμὸν ἢ ξηραντικὸν πολύ, ἀλλ᾽ ἄλλην τινὰ προσοῦσαν αὐτῷ πικρὰν ἢ ἰώδη ποιότητα, ὡς διὰ τοῦτο φεύγειν πίνειν τὸ φάρμακον τὸν κάμνοντα. εἰ δέ τινες ἀποστρέφοιντο λαβεῖν ὑγρόν τι βοήθημα· πολλοὶ γὰρ οὐδὲ ὅλως ἀνέχονται λελυμένον προσφέρεσθαι βοήθημα· ὑποτεχνᾶσθαι δεῖ, καὶ καταπότια ποιεῖν τὸν λίθον. εἰ δὲ βούλοιο, καὶ τῆς πικρᾶς ἐπίμιξόν τι φανερὸν μέρος, ἢ καὶ ἄλλων τινῶν ὅσα συνεργεῖ μᾶλλον τῇ καθάρσει, καὶ οὐκ ἀντιπράττειν πέφυκεν. ὥστε δὲ μὴ κάμνειν τὸν θέλοντα κατασκευάζειν ζητοῦντα τὴν τούτων σκευασίαν, ἔδοξέ μοι διὰ τοῦτο καὶ τῆς τούτων μνημονεῦσαι συνθέσεως. ἔχει δὲ οὕτως. Γραφὴ τῶν διὰ τοῦ ἀρμενιακοῦ λίθου καταποτίων. Τῆς πικρᾶς γο ς´´, ἐπιθύμου γο ς´´, ἀγαρικοῦ ʒ η´, ἀρμενιακοῦ λίθου ʒ δ´, σκαμμωνίας γο α´, καρυοφύλλων κόκκους κ´. κόψας ἀναλαμβανέτω ὀξυμήλῳ, ἢ χυλῷ κιτρίου, ἢ ὀξυμέλιτι. ἡ δόσις γινέσθω ʒ β´. τὸ δὲ μήκιστον ʒ η´. εἰδέναι δὲ δεῖ εἰς ταῦτα, μετὰ τοῦ ῥωννύειν τὸν στόμαχον, ἅμα καὶ ποικίλους οἶδε καθαίρειν χυμούς, μάλιστα τὸν γεώδη καὶ μελαγχολικὸν χυμόν, ἀλύπως, ὡς εἰρήκαμεν, οἶδε καθαίρειν αὐτὸς ὁ λίθος, καὶ πινόμενος, καὶ καταπότια γινόμενος. καὶ οὐκέτι δεῖ ζητεῖν μὴ πνιγμός τις, ἢ συγκοπὴ παρακολουθήσει, ὥσπερ διὰ τοῦ λευκοῦ ἐλλεβόρου τοῦτο γίνεσθαι συμβέβηκεν· οὐδὲ ἀνάγκη προπαρασκευάζειν ἡμᾶς, ἅπερ ἐπὶ τοῖς προσδοκωμένοις πνιγμοῖς εἰώθασι παραλαμβάνειν· ὧν οὐκέτι ἀνάγκη μεμνῆσθαι νῦν. ἐκεῖνα δὲ γράφομεν ὑπομνήσεως χάριν, ἅτινα καὶ νῦν ποιεῖν εἰώθαμεν, ἐπὶ τῶν συνήθων ὡς ἐπὶ πολὺ καθάρσεων, ἐπειδὰν ἐπὶ πλέον ἢ ἔλαττον φαίνοιντο κινούμεναι αἱ καθάρσεις. εἰ τοίνυν ἔλαττον τοῦ συμμέτρου καθαιρόμεναι τύχοιεν, μελίκρατον αὖθις διδόναι χρή, καὶ διαστήσαντας οὕτω τρέφειν, ἢ χυλὸν ἐπιδιδόναι πτισάνης, ἢ ἄρτον, ἢ περιστερᾶς, ἢ ὄρνιθος ζωμόν, οὐκ ἔχοντα ἔλαιον πολύ. εἰ δέ γε συμβῇ πλείονα γενέσθαι τὴν κάθαρσιν, ὥστε καὶ σπασμοὺς ἐπιγενέσθαι· πολλοὶ γὰρ τοῦτο πάσχουσι· καὶ εἰ μὴ ἀξιόλογόν τι κενωθῶσι, διὰ τὸ φύσει ἔχειν ξηρότερα καὶ ἀσθενέστερα τὰ νεῦρα, ὕδατι πολλῷ προσαντλήσας, πολλῷ χρῶ τῷ ὑδρελαίῳ, καὶ ἄρτον ἐπιδίδου εἰς οἶνον κεκραμένον, ἢ ὀμφακόμελι εἰς ὕδωρ ψυχρόν. εἰ δὲ πίνειν θέλοιεν τὸ ψυχρὸν ὕδωρ, ἔτι καὶ μᾶλλον αὐτοὺς ὠφελήσεις. καλὸν δὲ παρέχειν αὐτοῖς ἔτι καὶ ῥοιῶν, καὶ μήλων, καὶ ἀπίων πρὸ τῆς τροφῆς, καὶ ὀρνέων τὰς κοιλίας. ἐπειδὰν οὖν θρέψῃς, ἡσυχάζειν καὶ ὕπνον ἐμποιεῖν ἐπίτρεπε τῷ κάμνοντι. καὶ μετὰ τὸ δύναμιν ἀναλαβεῖν, ἐπὶ λουτρὸν αὐτὸν ποιεῖν ἔρχεσθαι ἀναγκαῖον ἔχον τὸν εὔκρατον ἀέρα, καὶ συγχωρεῖν ἐγχρονίζειν μὴ μόνον τῇ τοῦ θερμοῦ ἐμβάσει, ἀλλὰ καὶ τῇ τοῦ ψυχροῦ δεξαμενῇ. μετὰ τὸ λαβεῖν δὲ τὰ σάβανα, πάλιν αὐτοὺς τρέφειν εὐθὺς καλὸν ἄρτον εἰς οἶνον ἢ ὀμφακόμελι, ἀνελθόντα δὲ εἰς τὸν οἶκον ἐπιτρέπειν ἡσυχάζειν, ὑπνώσει τε πάντως. εἴωθε γὰρ ἀεὶ τοῦτο συμβαίνειν πᾶσι τοῖς καθαρθεῖσι. μάλιστα δὲ τοῖς ἐπὶ πλέον κενωθεῖσι, τό, τε ἡδύτερον καὶ βαθύτερον ἐθέλειν καθεύδειν. μετὰ δὲ τοὺς ὕπνους ἀναλαβεῖν τε τὴν δύναμιν αὐτῶν, ἐπιτρέπειν τε τοὺς συνήθεις τῶν φίλων προσδιαλέγεσθαι. καὶ ἐπειδὰν εὕρῃς

αὐτὸν ἀποκρινόμενον ἀκολούθως, καὶ τοὺς λογισμοὺς ἐῤῥωμένους ἔχοντα, καὶ τὸ βαρβαρικὸν ἦθος ἀποθέμενον, ἔτι τε καὶ μᾶλλον ἐπιδίδου πλείονα τῷ κάμνοντι τροφὴν, περδίκων τε καὶ ὀρνίθων καὶ φασιανῶν τὰ μὴ λιπαρὰ, καὶ στρουθίων ὁμοίως. παραιτούμενος δὲ τὰ ἐν τοῖς ἕλεσι τρόφιμα πάντα, καὶ τῶν ἰχθύων τοὺς κητώδεις, πλὴν τῶν πετραίων. μετὰ δὲ τοῦτο χρήσασθαι τῇ εὐχύμῳ τροφῇ, καὶ οἷον θεμέλιον ἀποθέσθαι χρηστὸν, οὕτω πάλιν μετὰ τρεῖς ἢ τέσσαρας ἡμέρας, λαχάνων λοιπὸν προσφερέσθωσαν, ἰντύβων τε καὶ θριδακίνων, καὶ μαλάχης, καὶ τῶν ἀγρίων ἀσπαράγων συμμέτρως. ἀπεχέσθωσαν δὲ κράμβης, καὶ πάντων τῶν μελαγχολικὸν χυμὸν τίκτειν δυναμένων, οἷον, εὐζώμου τε καὶ σινήπεως, καὶ σκορόδων, καὶ κρεῶν τὰ βόεια μάλιστα καὶ τὰ ἐλάφεια, καὶ πάντα καθόλου τὰ ἄγρια, καὶ ἄρτων τοὺς ῥυπαροὺς, καὶ τὸν γάρον, καὶ τοὺς παλαιοὺς καὶ αὐστηροὺς οἴνους, οὕτω δὴ ἀναλαβόντας αὐτοὺς διατελεῖν διαίτῃ καὶ τῆς τῶν λουτρῶν χρήσεως, καὶ μεταβαίνειν ἐπὶ ξένους τόπους, καὶ τοῖς γνησίοις ὁμιλεῖν τῶν φίλων, ποιεῖν τε ὅσα καὶ τὸ πρὶν ἦν αὐτοῖς ἡδέα, καὶ ταῖς θέαις συγχωρεῖν μεταβάλλειν. οὕτω γὰρ ἐκ τῆς καθάρσεως, καὶ τῆς εὐχύμου τε καὶ χρηστῆς διαίτης, καὶ τῆς ἄλλης εὐθυμίας, ὅλης τῆς ἕξεως ἰσχυροποιηθείσης, καὶ μεταποιηθείσης, ἀποθέσθαι δυνήσεται τὴν μανιώδη καὶ πικρὰν νόσον. εἰ δέ τι καὶ λείψανον αὐτοῖς εἴη, καὶ μὴ πάνυ καθαρεύειν τὴν διάνοιαν ὁ κάμνων φαίνοιτο, πάλιν ἀναμείνας εὐκρασίαν ἀέρων, ἀνακυκλεῖν τὰ βοηθήματα, τὴν ἀρχὴν ἀπὸ τῶν πρώτων ποιούμενος, ἀφ' ὧν καὶ ἔμπροσθεν εἴρηται· καὶ ἐπὶ ταῦτα κατ' ὀλίγον, θαῤῥῶν ὅτι κἂν δυσχερές ἐστι τὸ πάθος, καὶ ἐγγὺς ἀνιάτου, τοῖς αὐτοῖς ἐπιμένων ἐμπείρως καὶ ἀκολούθως, ἁπάσης ἐλευθερώσεις πικρᾶς καὶ ἀνιαρᾶς νόσου τὸν κάμνοντα.

Κεφάλαια τοῦ δευτέρου βιβλίου.

Ἄλλο

Ἄλλο ξηροκολλούριον τὸ διὰ κρόκου πρὸς ἀρχομένας ὀφθαλμίας.

Περὶ τῶν καθ' ἕτερον τρόπον καλουμένων μονοημέρων.

Τὸ δι' οἴνου καλούμενον, περίβλεπτον μονοήμερον. Ἄλλο κιῤῥὸν, ᾧ χρώμεθα.

Ἄλλο πρὸς τὰ αὐτά. Ἄλλο τὸ ξηροκολλούριον καλούμενον.

Ἄλλο κολλούριον ἀποκρουστικὸν, πάνυ καλὸν, μονοήμερον.

Ἄλλο κολλούριον, ὁ μέγας ἑρμόλαος. Ἄλλο κολλούριον, ἑρμόλαος, δι' ὑγαίου.

Ἄλλο κολλούριον τὸ νικάειον καλούμενον. Ἄλλο τὸ πιλάειον καλούμενον.

Περὶ τῆς διὰ χολώδη καὶ δριμὺν χυμὸν γινομένης ὀδύνης. β'

Θεραπεία. Κολλούριον ποιοῦν πρὸς τὰ δριμέα ῥεύματα.

Περὶ ἐμφράξεως μόνης γινομένης ἐν τοῖς ὀφθαλμοῖς. γ'

Περὶ πυκνώσεως. δ'

Περὶ ἑλκῶν καὶ φλεγμονῆς. Κολλούριον ὁ κύκνος. ε'

Κολλούριον τὸ λιβιανόν. Κολλούριον τὸ διὰ λιβάνου, ποιοῦν πρὸς χυμώσεις.

Κολλούριον τὸ οὐράνιον. Σμηκτικὰ οὐλῶν. Ἡ διαθήκη πρὸς ἕλκη.

Κολλούριον τὸ χιόνιον. Κολλούριον τὸ νάρδινον, τοῦ ζωΐλου.

Κολλούριον τὸ ὑδαρὲς καλόν. Κολλούριον τὸ ἡράκλειον, πρὸς τὰ κοῖλα ἕλκη.

Δακνηρὸν πρὸς ὀξυδορκίαν.

Ὑγροκολλούριον ποιοῦν πρὸς ἀμβλυωπίας καὶ ἄλλα πολλά.

Ἄλλο, ὡς δύνασθαι καὶ τὸν ἥλιον ἀβλαβῶς ὁρᾶν.

Ξηρίον τὸ σεβήρειον καλούμενον, πρὸς ὀξυδορκίαν.

Ξηρίον τὸ φῶς λεγόμενον, πρὸς ἀμβλυωπίας, καὶ πρὸς ὀδόντων πόνους καὶ ῥεύματα.

Πρὸς ψωρώδεις διαθέσεις, καὶ κνησμοὺς ὀφθαλμῶν, ἀμβλυωπίας τε καὶ τραχέα βλέφαρα, καὶ ῥεύματα παλαιὰ, καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ πτερύγια, ᾧ χρώμεθα.

Πρὸς ἀμβλυωπίαν καὶ ἀρχομένας ὑποχύσεις.

Περὶ νυκτάλωπος. ϛ'

Πρὸς τραχέα βλέφαρα. Ξηρίον πρὸς ἀρχομένας ὑποχύσεις.

Πρὸς τὸ βάψαι λευκώματα καλὸν λίαν.

Κολλούριον τὸ μέγα θεοδότιον πρὸς περιωδυνίας καὶ παλαιὰς διαθέσεις.

Κολλούριον ἡ ἑκατόμβη, ποιεῖ πρὸς οὐλὰς παχείας, καὶ πρὸς ἀρχομένας ὑποχύσεις, πλατυκορίας, ἐπινεφελίδας, πτερύγια, καὶ πρὸς λεπτὸν δάκρυον φερόμενον. λεπτύνει, σμήχει, καθαίρει τε καὶ ἀποκρούεται.

Ξηροκολλούριον, ποιεῖ πρὸς συκώσεις, καὶ σηπεδόνας, καὶ ὑπερσαρκώματα.

Ὑγροκολλούριον πρὸς ὑποπύους, θαυμασίως ποιεῖ πρὸς ῥυπαρὰ ἕλκη καὶ μυοκέφαλα. Περὶ μελικηράτου. Πρὸς τὰ σταφυλώματα.

Κολλούριον, κατὰ μαξιμιανόν.

Περὶ τῶν ἐν ὀφθαλμοῖς συνισταμένων ἀνθράκων. ζ'

Κολλούριον τὸ μέγα διάῤῥοδον καλούμενον.

Πρὸς ῥεύματα παλαιὰ καὶ χρόνια, καὶ δυσαπαλλάκτους διαθέσεις.

Κολλούριον τὸ δι' ᾠῶν.

Κολλούριον τὸ διὰ ῥόδων, ποιοῦν πρὸς ὑποπύους ὀφθαλμοὺς καὶ σταφυλώματα, καὶ μυοκέφαλα, καὶ σφακελιζούσας ὀφθαλμίας.

Πρὸς πτερύγια, καὶ συκώσεις.

η' Πρὸς τὰς ἐν βλεφάροις τραχύτητας.

θ' Πρὸς ῥυάδας.

Ἄλλο πρὸς αἰγίλωπας. Ἄλλο καλῶς ποιοῦν πρὸς αἰγίλωπας.

Πρὸς ἀρχομένους αἰγίλωπας. Ἄλλο διὰ πείρας.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

α' Περὶ θεραπείας ὀφθαλμῶν.

Ἤδη μὲν οὖν ἐν ἄλλοις * τισὶ βιβλίοις ἀναγέγραπταί μοι περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν, καὶ πῶς διαγινώσκειν χρὴ τὰ ἐν αὐτοῖς συνιστάμενα πάθη, καὶ τὰς αἰτίας τούτων, καὶ τὰς θεραπείας, καὶ περὶ διαφόρων κολλουρίων, καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν, καὶ τῆς σκευασίας. ἀλλ' οὖν ὁμοίως καὶ ἐν τούτῳ καλὸν ἔδοξέ μοι κεφαλαιωδῶς καὶ συντόμως εἰπεῖν περὶ τῶν αὐτῶν, ὥστε τὸν ἐντυγχάνοντα τῷδε τῷ βιβλίῳ θεραπευτικῷ ὄντι, μὴ ζητεῖν ἐξ ἑτέρων ἀναλέγεσθαι περὶ τῶν ἐν ὀφθαλμοῖς χρησίμων * ἀλλ' εἰ δύναιτό τις. ὡς γὰρ καὶ πολλῶν παθῶν, οὕτω καὶ περὶ τούτου πῶς δεῖ καὶ τὰ ἐν τοῖς ὀφθαλμοῖς ἅπαντα διαγινώσκειν πάθη. ἀρξώμεθα οὖν ἤδη τοῦ λόγου ἀπὸ τῆς ἐν ὀφθαλμοῖς συμβαινούσης ὀδύνης. οὐδὲν γὰρ οὕτως ἀνιαρὸν καὶ κατεπεῖγον τὴν τέχνην εἰς θεραπείαν, ὡς ὀδύνης σφοδρᾶς συμβαινούσης τοῖς ὀφθαλμοῖς. εἰ οὖν ὀδύναι σφοδραὶ καὶ ἀκαρτέρητοι περιέχουσι τοὺς ὀφθαλμούς, ὡς μὴ δύνασθαι καρτερεῖν τὸν πάσχοντα, μὴ ὡς πολλοί, τοῖς ναρκωτικοῖς σκευαζομένοις θαρρήσῃς κολλουρίων. πολλοὶ γὰρ καὶ αὐτὸ τολμήσαντες ἐγχέειν τὸ ὄπιον, πρὸς τῷ μηδὲν ὅλως παρηγορῆσαι τὴν ὀδύνην, ἔτι καὶ μεγάλως ἔβλαψαν. ἐπισκέπτεσθαι οὖν δεῖ τὴν ποιοῦσαν αἰτίαν, καὶ πρὸς αὐτὴν ἀποβλέποντα, οὕτω καὶ τὸ τῆς θεραπείας ὁρίζειν εἶδος. οὐ γάρ ἐστιν ἓν τὸ ποιοῦν αἴτιον, ἀλλὰ πολλὰ καὶ ποικίλα. καὶ πλῆθος ὕλης ἐπιρρέον μόνον οἶδε ποιεῖν ὀδύνην, καὶ ποιότης, πολλάκις δὲ καὶ τὸ συναμφότερον καὶ ποιότης ἅμα καὶ ποσότης. θεωρεῖται δὲ πόθεν ὁρμᾶται τὸ ἐπιρρεῦσαν, ἆρά γε ἐξ ὅλου τοῦ σώματος, ἢ ἐκ μόνης τῆς κεφαλῆς, καὶ πότερον διὰ τῶν ἀρτηριῶν * ἐρχόμενον, ἢ ἀπὸ τῶν φλεβῶν, καὶ οἷον ἄρα τὸ ἐπιρρέον ἐστίν. ἤτοι γὰρ αἷμα μᾶλλον, ἢ χολή, ἢ φλέγμα, ἢ μελαγχολικὸς χυμός ἐστι τὸ ἐπιρρεῦσαν, ἢ πνεῦμα φυσῶδες· καὶ πότερον εἷς ἐστιν ὁ λυπῶν χυμός, ἢ δύο συμπεπλεγμένοι. ἐνδέχεται γὰρ καὶ ἕνα μόνον ἐπιρρεύσαντα ποιῆσαι φλεγμονήν, καὶ ὀδύνην σφοδράν, καὶ δύο ἅμα, καὶ σύνθετον ἐργάσασθαι τὸν ὄγκον. ἐπεὶ οὖν διάφορά ἐστι τὰ αἴτια, πρὸς ἕκαστον αὐτῶν ἀνάγκη τὸν τεχνίτην ἐφαρμόζεσθαι. ἡγείσθω δὲ ἡ διάγνωσις ὁδηγοῦσα εἰς τὴν ὀρθὴν θεραπείαν. Περὶ διαγνώσεως τοῦ [illegible]

τὴν ποιη-

τὸν ποιήσαντα τὴν φλεγμονὴν αἱματικὸν χυμόν. Εἰ μὲν οὖν αἱματικὸς εἴη χυμὸς ἐπιρρεύσας καὶ τὴν φλεγμονὴν ἐργασάμενος, ἔσται δῆλόν σοι ἐκ τοῦ εἴδους αὐτῆς τῆς φλεγμονῆς. ἐρυθρὰ γὰρ ἅπαντα καὶ αἱματώδη, καὶ τὸ πρόσωπον ἐρυθρὸν, καὶ ἐν ὄγκῳ μείζονι, καὶ αἱ φλέβες εὐρύτεραι, καὶ βάρους συναίσθησις, καὶ ὄκνος περὶ τὰς συνήθεις ἐνεργείας. εἰ δὲ πρὸς τούτοις μηδὲ τὸ δάκρυον δακνῶδες καὶ δριμὺ φαίνοιτο, ἔτι καὶ μᾶλλον αἱματικὸν εἶναι νόμιζε τὸ ἐπιρρεῦσαν αἴτιον, καὶ ποιῆσαν τὴν φλεγμονήν. Περὶ θεραπείας. Εἰ μὲν οὖν αἱματικόν σοι φανείη τὸ τὴν φλεγμονὴν ἐργασάμενον αἴτιον, τέμνειν χρὴ τὴν φλέβα τὴν ὠμιαίαν. εἰ δὲ καὶ χολώδεις καὶ δριμεῖς χυμοὶ σὺν τῷ αἵματι φαίνοιντο, καὶ κάθαρσιν μετ' ὀλίγον τῆς φλεβοτομίας παραλάμβανε, καὶ βοηθήμασι χρῶ, ἔνδοθεν μὲν, τοῖς ἀδήκτοις καὶ πραϋτάτοις, ἔξωθεν δὲ, τοῖς συμπέττειν δυναμένοις τὰς φλεγμονάς, ὧν καὶ τὰς σκευασίας ὑμῖν ἐκθησόμεθα. Περὶ τῶν ἔξωθεν ἐπιτιθεμένων βοηθημάτων. Γάλα γυναικὸς μετὰ κρόκων ᾠῶν καὶ ῥοδίνου διατεθέμενον θαυμαστῶς πραΰνει καὶ συμπέττει τὰς πάνυ ζεούσας τῶν ὀφθαλμῶν φλεγμονάς, ὁμοίως δὲ καὶ τοῦ ἴου τὰ φύλλα. πρὸς δὲ τὰς μεγίστας φλεγμονὰς καὶ ἐν ὄγκῳ μείζονι ποιεῖ καὶ ὁ κέρκος μετὰ ψυχρῶν, καὶ τῶν κροκῶν τῶν ᾠῶν, καὶ ῥοδίνου. τὸ αὐτὸ δὲ ποιοῦσι καὶ οἱ φοίνικες, μετὰ τοῦ ἐπέχειν τὸν ἐπιφερόμενον ῥευματισμὸν μετὰ τῶν * καὶ κρόκου, καὶ γλαυκιῶν, καὶ πυῤῥῶν ᾠῶν ἑπτὰ ἐκζεστῶν καὶ ῥοδίνου. Πρὸς περιωδυνίας καὶ μεγίστας ἐπιφοράς. Ῥόδων νεαρῶν < δ', κρόκου < α', ἀναλάμβανε μηλιλώτων ἀφεψήματι ἐν γλυκεῖ ἀφεψηθέντων. Περὶ κολλουρίων. Ἐπιπλάσμασι μὲν οὖν ἔξωθεν ἐπὶ φλεγμονηθέντων, κεχρῆσθαι, ἐπιχρίσμασι δὲ καὶ ἐγχυματισμοῖς τοῖσδε. εἰδέναι γὰρ δεῖ πρότερον, ὡς τὰ φλεγμαίνοντα διὰ τῶν παρηγορικῶν, καὶ πραϋτέρων, καὶ ἀστύφων κολλουρίων δεῖ κολακεύειν, εἶτα οὕτω καὶ τοῖς ἀποκρούειν δυναμένοις κεχρῆσθαι. τὸ μὲν πρῶτον προσπλέκοντες αὐτὰ τοῖς ἁπαλοῖς, ὕστερον δὲ καὶ πέψεως γινομένης, καὶ ἀμίκτοις. τοῦτο γὰρ ἐν τῇ φλεγμονῇ ζέοντος παυσαμένου, καὶ τῆς πολλῆς τραχύτητος, ἀλύπως * οἱ παραλαβόντες, καὶ τῶν στυφόντων ἀνέχεσθαι δύναται). Κολλούριον παρηγορικὸν τρυφερὸν πρὸς τοὺς μὴ δυναμένους φέρειν τὴν δῆξιν τῶν κολλουρίων, καὶ μάλιστα πρὸς τὰς προσφάτους διαθέσεις. Καδμίας κεκαυμένης καὶ ἐσβεσμένης γάλακτι γυναικός· ἔμοιγε δὲ κάλλιον ἐφάνη προαποπλυμένην καῦσαι, καὶ οὕτω σβέσαι τῷ γάλακτι, ψιμμυθίου πεπλυμένου, ἀνὰ < ιϛ', κρόκου < δ', ἐν οἴνῳ < α', ὀπίου < δ', τραγακάνθης Γο β', ὕδατι ὀμβρίῳ ἀναλάμβανε. ἡ χρῆσις δι' ᾠοῦ. ποιεῖ καὶ πρὸς φλύκταιναν. Ἄλλο, καὶ αὐτὸ πάνυ ἁπαλώτατον. Καδμίας Γο ε', ψιμμυθίου < δ', πομφόλυγος Γο β', ὀπίου Γο α', ἐν οἴνῳ Γο γ, τραγακάνθης Γο γ', ὕδωρ ὄμβριον. τούτου πεῖραν πλείστην ἔχον, ἀδήκτως παρηγοροῦντος τὰς πάνυ διακαεῖς καὶ ἐπωδύνους φλεγμονάς. Ἄλλο καλὸν καὶ συντόμως σκευαζόμενον. Καδμίας κεκαυμένης καὶ ὀνείῳ γάλακτι ἐσβεσμένης Γο δ', ἐν οἴνῳ Γο α', ψιμμυθίου Γο ιβ', γῆς ἀστέρος, τραγακάνθης, μανδραγόρου, ἀμύλου κριθίνου, θριδακίνης καυλῶν, χυλοῦ κόμμεως ἀνὰ < β', ὀπίου < γ', ᾠῶν δώδεκα τὰ λευκά. Κολλούριον τὸ ἀσταγάειον καλούμενον πρὸς μεγίστας περιωδυνίας· παρηγορεῖ γὰρ ταχέως. ἔχει δὲ οὕτως· Ἀμύλου, ψιμμυθίου ἀνὰ < δ', ὀπίου ὀβολὸν α', κόμμεως < β', ὕδωρ ὄμβριον. ἡ χρῆσις μετὰ γάλακτός ἐστι. Περὶ κολλουρίων ἀποκρουστι-

κῶν καὶ μονοημέρων καλουμένων. Τῶν ἀποκρουστικῶν κολλουρίων, καὶ μονοημέρων καλουμένων διττή τις ἐστὶν ἡ διαφορά. τὰ μὲν γὰρ αὐτῶν ἔχει τὸ διαφορεῖν καὶ ἀποκρούειν μετρίως, ὥστε δύνασθαι αὐτὰ, καὶ πρὸς τὰς ἀρχομένας ὀφθαλμίας ἄνευ δήξεως ἁρμόζειν, καὶ ἐγχυματιζόμενα, καὶ ἐγχριόμενα, διὸ καὶ ἐπὶ τῶν ἀσθενεστέρων, καὶ γλαυκοφθάλμων μᾶλλον, καὶ ἁπαλοσάρκων, καὶ ἐπὶ γυναικείων προσώπων, καὶ γράφεσθαι, οἷά ἐστι τὰ διὰ λυκίου, καὶ κρόκου, καὶ γλαυκίου. πρὸς ταύτας οὖν τὰς γραφὰς ὑμῖν ἐκθήσομαι τάδε ἰσχυρότερον ἔχοντα τὸ στύφον, ὥστε καὶ ἐπὶ τῶν χρονιωτέρων ὄντων δυνατὸν εἶναι κεχρῆσθαι, καὶ ἐπὶ τῶν ἰσχυροτέρων ὀφθαλμιῶν καὶ σφοδροτέρων. τοιαῦτά ἐστι τὰ δι' οἴνου σκευαζόμενα, καὶ θαλοὺς ἐλαιῶν ἔβαλον, μετὰ λοιπῶν ἀρωμάτων θερμαίνειν τε καὶ ξηραίνειν δυναμένων. τοιαύτης οὖν οὔσης τῆς διαφορᾶς, περὶ τῶν προτέρων εἴπωμεν τῶν μετρίως ἀποκρουόντων, καὶ πρὸς τὰς ἀρχομένας ὀφθαλμίας ἁρμοζόντων, εἶτα οὕτω περὶ τῶν πλεῖον στυφόντων, καὶ δραστικώτερον ἀποκρούειν δυναμένων ἐροῦμεν. Κολλούριον ἀποκροῦον μετρίως μονοήμερον, ὅτι καὶ μηδικὸν καὶ ἀκεσώδυνον καλοῦσιν. Αποκρούει ῥεῦμα ἐν ἀρχαῖς, * ἐγχριόντων καὶ ἐνσταζόντων ὡσεὶ παχεῖ, πολλάκις δὲ καὶ λουόντων. ἁρμόζει δὲ καὶ πρὸς τὰς ἐπιφορὰς, καὶ τὰ δριμέα ῥεύματα, καὶ οὐλὰς ἀναῤῥαγείσας παλαιάς. ἀνακαθαίρει γὰρ καὶ ἀπουλοῖ, καὶ λεπτὰς ὠτειλὰς, ὡς θαυμάσαι· τούτῳ ἐγὼ καὶ ξηρίῳ χρῶμαι, καὶ κολλουρίῳ σὺν ᾠῷ, σαρκοκόλλης, γλαυκίου, κρόκου ἀνὰ < α', τραγακάνθης < α', ὕδωρ ὄμβριον. Αλλο. Γλαυκίου, σαρκοκόλλης ἀνὰ < η' * κρόκου ιθ', τραγακάνθης < α', ὀπίου < ς', ὕδατι ὀμβρίῳ ἀναλάμβανε. Αλλο πρὸς τὰ αὐτὰ κάλλιστον, καὶ διὰ πείρας. Ρόδων ἁπαλῶν < ιε', κρόκου < η', ὀπίου ἀδόλου < β', ναρδοστάχυος < β', κόμμεως < η', ὕδατι ὀμβρίῳ ἀναλάμβανε, ἐξ αὐτῶν χριόμενον τὸ τοῦ νείλου διάρροδον ποιεῖ πρὸς ἔγκαυσιν.

Αλλο τὸ μουσάριον καλούμενον, ἐκ τοῦ ἱερατικοῦ τόμου. Κάλλιστόν ἐστι καὶ τοῦτο τὸ κολλούριον τὴν αὐτὴν ἔχον δύναμιν τοῖς προειρημένοις, πλὴν ὅτι δραστικώτερον ἐκείνων εἰς τὸ μᾶλλον ἀποκρούειν τὰ ἐπιφερόμενα ῥεύματα. ἔχει δὲ οὕτως, ἀμύλου < ιε', γλαυκίου < η', σαρκοκόλλης < δ', κρόκου < β', ζιγγιβέρεως < α', κόμμεως < β'. ὕδατι χρῶ. Αλλο πολυδεύκους καλούμενον, πεπειραμένον ἡμῖν πολλάκις. Ρόδων χλωρῶν χυλοῦ τὸ αὔταρκες, κρόκου Γο α', σαρκοκόλλης Γο β', γλαυκόμμεως Γο α', ἐν ἀγγείῳ δ'. κόμμι κατάκοπτε, πρῶτον βρέχων τραγακάνθης Γο α', γλαύκιον, σαρκοκόλλαν, ὄπιον, λειώσας τῷ χυλῷ τῶν ῥόδων ἀναλάμβανε. Αλλο κολλούριον τὸ μηδικὸν καλούμενον, ἀποκροῦον πάνυ καλῶς εὐθὺς ἐν ἀρχῇ. Γλαυκίου < η', σαρκοκόλλης < δ'· ἐγὼ δὲ τούτου πεῖραν ἔχω πολλήν, ὡς καὶ μετά τινος τῶν ἄλλων παρηγορικῶν ἐγχυματιζόμενον· κρόκου < β', τραγακάνθης < α', ὀπίου < ε', ὕδωρ ὄμβριον. Αλλο ξηροκολλούριον τὸ διὰ κρόκου πρὸς ἀρχομένας ὀφθαλμίας. Γλαυκίου, σαρκοκόλλης, κρόκου, ἀλόης ἀνὰ < α', τούτῳ καὶ ὡς προφυλακτικῷ χρῆσθαι δεῖ. ἀποκρούει γὰρ πᾶσαν τὴν ἀρχὴν ὑπαλειφόμενον. τούτοις μὲν οὖν τοῖς προειρημένοις οὕτω δεῖ χρῆσθαι. ἀποκρούουσι γὰρ πᾶσαν τὴν ἀρχὴν τῷ ὑπαλείφεσθαι κατ' ἀρχὰς, καὶ μὴ μένειν ἐπὶ πολὺν χρόνον. ἡ γὰρ ἐπὶ πλέον χρῆσις αὐτῶν δασύνει τὰ βλέφαρα, καὶ εἰς διάθεσιν περιέλκει. Περὶ τῶν καθ' ἕτερον τρόπον καλουμένων μονοημέρων. Εξῆς δὲ εἴπωμεν καὶ περὶ τῶν καθ' ἕτερον τρόπον λεγομένων

μονοη-

μονοημέρων, ὧν ἡ δύναμίς ἐστιν ἰσχυροτέρα καὶ μᾶλλον ἔχουσα τὸ ἀποκρούειν καὶ στύφειν, διὸ καὶ ἐπὶ τῶν διὰ ἐγκαύσεων ῥευμάτων, καὶ φλεγμονῶν, κεχρῆσθαι δεῖ. ἔχει δὲ τούτων ἡ γραφὴ οὕτως. Τὸ δι' οἴνου περιφερόμενον ἐν τοῖς μονοημέροις καλουμένοις. Χαλκοῦ κεκαυμένου < κδ', καδμίας < ιϛ', ὀποῦ μήκωνος < η, κρόκου < η', ζιγγιβέρεως < η', κόμμεως < η', ἐν ἄλλῳ μ', οἴνῳ μενδησίῳ ἀναλάμβανε. Ἄλλο κιῤῥόν, ᾧ χρῶμαι, κηρύκιον λεγόμενον. Καδμίας < κ', χαλκοῦ κεκαυμένου < ιϛ', ὀπίου < η', ἀκακίας < κδ', κόμμεως < κδ'. Ἄλλο, καὶ τοῦτο πρὸς τὰ αὐτὰ καλούμενον θεοφίλιον· ἔχει δὲ οὕτω. Καδμίας < ιϛ', κρόκου < ιϛ', ζιγγιβέρεως, σμύρνης ἀνὰ < δ', νάρδου ἰνδικῆς < δ', ἀκακίας < κδ', κόμμεως κδ', χαλκοῦ κεκαυμένου < ιϛ', ὀπίου < γ'. Ἄλλο τὸ ξηροκολλούριον καλούμενον σαλτικόν· ἔχει δὲ οὕτω. Καδμίας < ιϛ', ἀκακίας κόμμεως ἀνὰ < ιϛ', χαλκοῦ κεκαυμένου < δ', ὀποῦ μήκωνος < δ', ὕδωρ ὄμβρειον, ἐν ἄλλῳ ζιγγιβέρεως < δ'. Ἄλλο κολλούριον ἀποκρουστικὸν πάνυ καλῶς μονοήμερον. Στίμμεως πεφρυγμένης < η', καδμίας < η', χαλκοῦ κεκαυμένου καὶ πεφρυγμένου < δ', ἀλόης < β', ζιγγιβέρεως < ε', ἐν ἄλλῳ < ιβ', ἀκακίας κιῤῥᾶς < ιβ', ὀπίου < α'. χρῶ θαῤῥῶν πρὸς τὰς ἐπιφορὰς τῶν ῥευμάτων μετὰ τὴν τοῦ ὅλου σώματος πρόνοιαν. Κολλούριον, ὁ μέγας ἑρμόλαος. Χαλκοῦ κεκαυμένου Γο η', καδμίας Γο η', ναρδοστάχυος Γο α' S'', κρόκου, Γο δ', ἐν ἄλλῳ α', ζιγγιβέρεως Γο δ', ἀλόης Γο η', λυκίου ἰνδικοῦ Γο η', ἀκακίας Γο κ', ὀπίου Γο δ', ὕδωρ ὄμβρειον. θαυμαστῶς ἀποκρούει καὶ λεπτύνει φλεγμονάς. Ἄλλο κολλούριον, ἑρμόλαος, δι' ἐλαίου. Καδμίας Γο ϛ', χαλκοῦ κεκαυμένου Γο ϛ', ζιγγιβέρεως Γο α' S'', κρόκου Γο α', ἐν ἄλλῳ Γο α' S'', κόμμεως Γο ϛ', ἐν ἄλλῳ Γο κ', ἀκακίας κόμμεως * ℔ α', ἐλαίου παλαιοῦ εἰς τὴν ἀνάληψιν < δ', ἐν ἄλλῳ Γο δ', ὕδωρ ὄμβρειον. Κολλούριον τὸ νικάειον καλούμενον, πάνυ ποιοῦν πρὸς πᾶν ῥεῦμα καὶ χημώσεις, καὶ νύγματα, καὶ ὑμένων ἐπαναστάσεις, καὶ πρὸς λήμας, καὶ σταφυλώματα, καὶ μυοκέφαλα, καὶ ἐσχάρας, καὶ πρὸς πᾶσαν διάθεσιν. ἐπειράθη. τῆς γὰρ εὐτελείας τῶν εἰδῶν μὴ καταφρονήσῃς. χαλκοῦ κεκαυμένου < ιϛ', καδμίας < κ', κόμμεως < λβ', τοῦ φαρμάκου < λϛ', ὕδωρ ὄμβρειον. ἔστι δὲ ἡ σκευασία τοῦ φαρμάκου ἥδε, τοῦ χυλοῦ τοῦ κενταυρείου < β', ἑψήματος κρητικοῦ μα', ἕψει ἐν ἀμπελίνοις ξύλοις, καὶ ἐν καινῇ χύτρᾳ, ἕως γλοιοῦ πάχος σχῇ, καὶ ἐσχημάτιζε ᾠῷ, πρὸς τοὺς μὴ φέροντας τὸ στύφον, ἄλλοτε μετὰ ὕδατος ποίει. κατ' ἀρχὰς δὲ αὐτῷ ὑδαρεῖ κεχρῆσθαι δεῖ. Ἄλλο τὸ πιλάειον καλούμενον. Καδμίας κεκαυμένης, χαλκοῦ κεκαυμένου καὶ πεφρυγμένου ἀνὰ Γο β', ὀπίου, ἀκακίας κιῤῥᾶς ἀνὰ Γο γ', ἐν ἄλλῳ Γο ε', ψιμμιθίου < ϛ', ἐν ἄλλῳ Γο ϛ', ζιγγιβέρεως Γο γ', ἀμύλου, τραγακάνθης, κόμμεως ἀνὰ Γο ιβ', ὕδωρ ὄμβρειον. πάνυ καλῶς ἀποκρούει καὶ παρηγορεῖ * ἑτέρα ἡ χρῆσις. εἰρηκότες ἤδη τίνες δέονται φλεβοτομίας, καὶ περὶ τῶν ἁρμοζόντων αὐτοῖς, εἰ χρεία γένοιτο κολλουρίων, γράψωμεν, καὶ τίνες αὐτῶν χρήζουσι καθάρσεως.

Περὶ τῆς διὰ χολώδη καὶ δριμὺν χυμὸν γινομένης ὀδύνης. β'

Εἰ μὲν οὖν ὀδύνη τις γένοιτο διὰ χολώδη καὶ δριμὺν χυμόν, ἔστω σοι δῆλον διὰ πολλῶν, πρῶτον μὲν ἐκ τοῦ μὴ πληθωρικὸν φαίνεσθαι τὸ σῶμα ὅλον, ἀλλὰ μᾶλλον καὶ κακόχυμον. λοιπὸν δὲ καὶ τὸ δάκνεσθαι μὴ μόνον τοὺς κανθούς, ἀλλὰ καὶ τὰ

μῆλα σφοδρῶς, ἐκ τοῦ ἐπιῤῥέοντος, καὶ κνήθεσθαι δοκεῖν καὶ ἀναπηδᾶν, μὴ φέροντας τὴν δῆξιν. ἐπειδὴ μὲν οὖν ἐκ τούτων διαγνῶς, προσέτι δὲ καὶ ἐκ τῶν προηγησαμένων· λῦπαι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον καὶ φροντίδες, καὶ ἐγκαύσεις, καὶ θυμοὶ προηγοῦνται, καὶ δριμέων προσφορά· θαῤῥῶν προσέρχου τῇ θεραπείᾳ. δυνήσῃ γὰρ τάχιστα καὶ δίχα τῶν κολλουρίων ἰᾶσθαι. Θεραπεία. Εἰ μὲν οὖν καθ' ὅλου τοῦ σώματος φαίνοιτο χολώδης πλεονάζουσα κακοχυμία, τοῖς καθαίρειν τὸ ὅλον δυναμένοις καὶ ἀπέριττον ἐργάσασθαι βοηθήμασιν· εἰ δὲ μὴ καθ' ὅλου περιττεύοι τοῦ σώματος τὰ δριμέα περιττώματα, ἀλλὰ ποιότητι μᾶλλον ἢ ποσότητι λυποῦντα φαίνοιτο, καὶ λουτροῖς μόνοις χρησάμενος ἀπὸ γλυκέων ὑδάτων καὶ εὐκράτοις, ἀνωδύνως ἀπαλλάξεις τὸν κάμνοντα. εἰ δὲ καὶ εὐπειθὴς εἴη ὁ κάμνων, καὶ τροφῇ πραϋτάτῃ, καὶ ἀδήκτῳ, καὶ παχυνούσῃ θελήσοι χρήσασθαι, οἷον ὀρφῷ καὶ τοῖς ἄλλοις τοῖς σκληροτέροις ἰχθύσι, γλαύκῳ, κηρυκίοις, * ἢ τοῖς ἐξ αὐτῶν, ἢ σικῷ, ἢ βυλβίῳ, ἢ στερνίῳ· καὶ λαχάνων, ἰντύβοις, ἢ μαλάχῃ· καὶ ὀπωρῶν, μήλοις καὶ πέποσι, καὶ σταφυλῇ γλυκείᾳ. τῶν δὲ σύκων οὐδὲ ὅλως συμβουλεύω τοὺς ὀφθαλμιῶντας λαμβάνειν· ἔχουσι γὰρ καὶ ὀπῶδές τι τῶν παροξυντικῶν. τῶν δὲ κιτρίων τὴν σάρκα ἐκτὸς τοῦ λέπους προσφερέσθωσαν, πρὸ τροφῆς μᾶλλον καὶ ταχύτερον· καὶ πινέτωσαν εὐκράτου * ἢ ὑδαροῦς οἴνου. οἴνου δὲ εἰ βούλοιντο πίνειν, τὸν χρυσατικὸν αὐτοῖς ἐπιδίδου, ἢ τὸν γλυκὺν βίθυνον, καὶ τῶν ἄλλων ὅσοι παχύνειν καὶ ἀμβλύνειν δύνανται. εἰ δὲ ἀπειθεῖς τύχοιεν) τοὺς κάμνοντας μὴ δύνασθαι ἀνέχεσθαι διαίτης, ὥσπερ εἰσὶ πολλοί, καὶ μάλιστα τῶν βαρβάρων, ἀνάγκη τότε κολλουρίοις χρήσασθαι, καὶ τούτων τοῖς ἀδήκτοις καὶ ἀπαμβλύνειν δυναμένοις τὸ δριμύ, ἐξ ὧν πρόχειρόν ἐστι, τὸ διὰ πομφόλυγος σκευαζόμενον. ἔχει δὲ αὐτοῦ ἡ γραφὴ οὕτως. Κολλούριον ποιοῦν πρὸς τὰ δριμέα ῥεύματα. Πομφόλυγος, πεπέρεως ἀνὰ < κ', ψιμμυθίου πεπλυμένου < κε', μολύβδου κεκαυμένου καὶ πεπλυμένου < κε', κόμμεως λευκοῦ < η', ὕδατι ἀποίῳ ἀναλάμβανε. τούτων ἕκαστον μετὰ τὴν καῦσιν δεῖ πλύνειν ἄχριπερ ἐπιμιγνύμενον τῷ ὕδατι νεφελῶδες μηκέτι ἀναπέμπῃ). καὶ ἔπειτα ξηρανθέντα, καὶ σταθμηθέντα οὕτω μιγνύναι, καὶ λειώσαντα ὁμοῦ πλείοσιν ἡμέραις, οὕτω προσεμβάλλειν τὸ ἄμυλον, καὶ τὸ κόμμι πρὸς τὴν ἀνάληψιν. ἐὰν γὰρ σὺν τοῖς ἄλλοις καὶ τὸ ἄμυλον ἐπιβληθῇ, ῥαδίως ὀξύνεται. τοῦτο τὸ κολλούριον κάλλιστόν ἐστι, καὶ δι' ἄλλα μὲν πολλά, μάλιστα δὲ ὅτι τῶν ναρκωτικῶν οὐδὲν ἔχει προσαναπεπλεγμένον, ὥσπερ εἰσὶν ἄλλα πολλά, τὰ δι' ὀπίου καὶ μανδραγόρου χυλοῦ, καὶ τῶν οὕτω ναρκωτικῶν μετέχοντα, ὧν ἡ πλείων χρῆσίς ἐστι βλαβερά. δυνατὸν δέ ἐστιν, εἴ γε χρεία φαίνοιτο, προσπλέκειν τῶν ἀποκρουστικῶν τι πολλάκις ἢ παρηγορικῶν τοσοῦτον, ὅσον ἄν τις ὑπονοήσειεν ἁρμόζειν τῇ ἐνοχλούσῃ διαθέσει. ἄλλοτε γὰρ ἄλλως πρόσφορον εὑρίσκεται μέτρον.

γ' Περὶ ἐμφράξεως μόνης γινομένης ἐν τοῖς ὀφθαλμοῖς.

Εἰ δὲ χωρὶς τοῦ πεπληρῶσθαι τὸ σῶμα, φλεγμονὴ φαίνοιτό σοι γεγενῆσθαι δι' ἔμφραξιν παχυτέρου καὶ φλεγματικωτέρου αἵματος, οὐ δεῖ φλεβοτομίαν ἢ κάθαρσιν παραλαμβάνειν, ἀλλὰ μᾶλλον ἐπιδιδόναι πίνειν αὐτοῖς οἶνόν τινα τῶν εὐαναδότων. καὶ γάρ ἐστι δυνατὸς ἅμα τε διαφορῆσαι, καὶ ἐκφράξαι τὸν ἐσφηνωμένον χυμόν, καὶ ἀναῤῥῶ-

ἀναρρῶσαί τε τὸ ἀσθενὲς τοῦ μορίου, ὡς μηκέτι ἐπιδέχεσθαι. κάλλιον δὲ ἐπὶ τούτων διαθέσεων, ἐφ' ὧν μὴ ἔστι πλῆθος, ὡς εἰρήκαμεν, ἐν ὅλῳ τῷ σώματι, καὶ λοῦσαι τὸν κάμνοντα πρότερον εὐκράτῳ λουτρῷ, διαθερμαίναι τὲ καὶ χαλάσαι τοὺς πόρους, καὶ τότε δοῦναι τὸν οἶνον. οὕτω γὰρ εὐκόλως εἰσπεσὼν τὸ σῶμα καὶ περὶ τοὺς ἀνωτέρους τόπους ἀναδοθήσεται τὸ πόμα, ὥστε μὴ μόνον τῇ θερμότητι αὐτοῦ, ἀλλὰ τῷ τάχει τῆς κινήσεως ἀπολεπτῦναί τε καὶ ἐξωθῆσαι ποιήσει τι τῶν ἐμποιησάντων τὴν ἔμφραξιν, ἅμα τὲ καὶ τὸ ἀσθενὲς, ὡς εἰρήκαμεν, ῥῶσαι τῶν μορίων, ὡς καὶ αὐτὰ δύνασθαι ἀπωθεῖν, μέρος τι τῶν ἐγκειμένων. οὗτος μὲν οὖν ὁ τρόπος διαγνωστικός ἐστι, καὶ χρήζων ἀρίστου ἰατροῦ πρὸς τὴν διάγνωσιν. εἰ δὲ φοβῇ τῇ οἰνοποσίᾳ χρήσασθαι, τῇ πυρείᾳ μᾶλλον τοῦ θερμοῦ ἀσφαλεστάτῃ οὔσῃ, καὶ προσέτι καὶ εἰς διάγνωσιν συντελούσῃ. ὅταν μὲν γὰρ πυριῶντός σου μηδὲν ἐπιρρέῃ, δῆλον ὡς ἀπέριττόν ἐστι τὸ ὅλον, καὶ δεῖ ἐπιμεῖναι τῇ πυρείᾳ χρώμενον. πάντως γὰρ διαφορήσεις. εἰ δὲ ἐπιρρέει, καὶ τὰ τῆς ὀδύνης ὀλίγον ἐνδεδωκότα πάλιν ἐπιτείνοιτο, κενώσεως δεῖται, οἷον, φλεβοτομίας, ἢ καθάρσεως· πληθωρικοῦ μὲν ὄντος μᾶλλον τοῦ σώματος, φλεβοτομίας· κακοχύμου δὲ καὶ περιττωματικοῦ, καθάρσεως. τούτοις καὶ τὸ ὑδαρὲς ἁρμόζει μελίκρατον ἐγχυματιζόμενον, καὶ τότε πολὺ μᾶλλον, ἡνίκα λῆμαι θλίβουσι τὸ ὄμμα τικτόμεναι. οὐδὲν γὰρ οὕτως ἀπολεπτύνει καὶ κωλύει τὸ τίκτεσθαι λήμας, ὡς τὸ μελίκρατον, καὶ τῶν κολλουρίων ὅσα τὸ διαφορητικὸν, καὶ πέττειν τὰς φλεγμονὰς κέκτηνται.

Περὶ πυκνώσεως. δ'

Εἰ δὲ καὶ πύκνωσις εἴη τις ἐν τοῖς πόροις, καὶ ταύτην ἀναρρῶσαι δύναται τὸ μελίκρατον, καὶ τοὺς πόρους ἐκφράξαι, ὥστε θαυμαστῶς καὶ ὀξέως ἀνώδυνον γενέσθαι τὸν κάμνοντα, διαφορηθέντος τοῦ ἐγκειμένου, εἴτε ὑγροῦ, εἴτε πνεύματος ὄντος. ἔσται δέ σοι δῆλον τοῦ εἶναι πνεῦμα διατεῖνον καὶ ποιοῦν τὴν ὀδύνην ἐκ τοῦ μήτε φλεγμονῆς, μήτε δήξεως, ἀφορήτως ὀδυνᾶσθαι καὶ διατείνεσθαι, καὶ ῥήγνυσθαι δοκεῖν τὰ ὄμματα. ἐγὼ γοῦν τινα τῶν οὕτω παθόντων ἰασάμην τῷ μελικράτῳ, μηδενὸς τῶν πραϋντικῶν καὶ ἀνωδύνων πραῦναι δυναμένων τὴν ὀδύνην, ἀλλὰ καὶ μείζονα τῆς πρὶν παρασκευασάντων γενέσθαι. εἰρηκότες οὖν τίνες μὲν τῆς φλεβοτομίας δέονται, τίνες δὲ τῆς καθάρσεως, καὶ ποῖαι ἀμφοτέρων, καὶ περὶ λουτρῶν, καὶ πυρείας, καὶ οἴνου πόσεως, ἐφεξῆς καὶ περὶ ἑλκῶν εἴπωμεν, τῶν τε σὺν φλεγμοναῖς, καὶ περὶ τῶν χρονίας τὴν ῥῆξιν καὶ ἀνάβρωσιν ἐχόντων, μυοκέφαλά τε καὶ σταφυλώματα, καὶ περὶ τῶν ἁπλῶς ἐχόντων διαθέσεις ἁπάντων, οὐλῶν τε καὶ λευκωμάτων, καὶ πτερυγίων, καὶ συκώσεων, καὶ ἀρχομένων ὑποχύσεων.

Περὶ ἑλκώσεως καὶ φλεγμονῆς. ε'

Εἰ μὲν οὖν τύχῃ ἕλκος ἅμα καὶ φλεγμονὴν συστῆναι, δῆλον ὅτι καὶ τὴν θεραπείαν ἐπίμικτον εἶναι δεῖ, διά τε τῶν τὴν φλεγμονὴν πραΰνειν δυναμένων, καὶ συμπέττειν. τοιαῦτα δέ ἐστι, τό, τε διὰ λιβάνου καλούμενον, καὶ ὁ κύκνος, καὶ τὸ δι' ἀμύλου, καὶ τὸ διὰ ψιμμυθίου, καὶ γῆς ἀστέρος συγκείμενον. πάντα ταῦτα θεραπεύει τάς τε ἀναβρώσεις καὶ ἑλκώσεις, ἀπὸ δριμέος χυμοῦ γινομένου ῥεύματος· ἔχει δὲ καὶ τούτων ἡ γραφὴ

οὕτως. Κολλούριον ὁ κύκνος, ἁπαλώτατον πρὸς περιωδυνίας καὶ ῥεύματα φερόμενα δριμέα. ἁρμόζει δὲ ἐν τοῖς μὴ φέρουσι τὰς δήξεις τῶν κολλουρίων, διὰ τὸ ἁπαλὸν καὶ ἀσθενὲς τοῦ σώματος. Καδμίας < ιϛ', ψιμμυθίου πεπλυμένου ℥ μ', ἀμύλου ℥ β', ἀκακίας, τραγακάνθης, ὀπίου ἀνὰ ℥ β', ὕδωρ ὄμβριον, καὶ πρὸς τὴν ἀνάληψιν ὠῶν λβ' τὰ λευκά. Κολλούριον τὸ λιβιανόν. Καδμίας κεκαυμένης καὶ πεπλυμένης < β', ἀμύλου < β', ἐν ἄλλῳ < ιβ', σποδοῦ πομφόλυγος < η', γῆς ἀστέρος < η', μολύβδου κεκαυμένου καὶ πεπλυμένου, τραγακάνθης ἀνὰ < η', ὕδατι λείου. καὶ πρὸς τὴν ἀνάληψιν ὠῶν κ' τὰ λευκά, ἐν ἄλλῳ, ὀπίου < ιβ'. τοῦτο τὸ κολλούριον, πολὺ χρηστόν ἐστι σφόδρα. ποιεῖ δὲ καὶ πρὸς φλυκταίνας, καὶ ἐπικαύματα, ῥήξεις, ὑποπύους, χημώσεις, περιωδυνίας, καὶ πολλὰς διαθέσεις, καὶ οὐλὰς ἀποσμήχει, καὶ ἁπλῶς εἰπεῖν, πολὺ χρηστόν ἐστι, καὶ εἰς τὰ εἰρημένα πάντα ποιοῦν, μάλιστα πρὸς τὰς μετ' ἑλκώσεως φλεγμονάς. ὁμοίως δὲ καὶ τὸ διὰ λιβάνου πρὸς τὰ αὐτὰ ποιεῖ, καὶ μάλιστα πρὸς τὰς σφοδρὰς χημώσεις. Κολλούριον τὸ διὰ λιβάνου, ποιοῦν πρὸς χημώσεις. Καδμίας, λιβάνου ἀνὰ < κ', ψιμμυθίου < κ', ὀπίου < β', ὕδατι ὀμβρίῳ ἀναλάμβανε. ποιεῖ δὲ καὶ τὸ γλαύκιον μετ' ὕδατος ἔξωθεν τῶν ὀφθαλμῶν ἐπιχριόμενον, ἀλλ' οὐ κατ' ἀρχὰς εὐθὺς τῆς χημώσεως, ἀλλὰ μετὰ ε' ἢ ϛ' ἡμέρας, ὅταν καὶ σύμπεψις γένηται ταύτης. καὶ τοῦτο πεῖραν δέδωκε. Κολλούριον τὸ οὐράνιον. Ἐφ' ὧν μή ἐστι πολὺ θερμὸν ἐπιρρέον, ποιεῖ καλῶς, πρὸς φλυκτίδας, ῥήξεις, προπτώσεις, σταφυλώματα, ὑποπύους, διαβρώσεις, νομάς, ἄνθρακας. γῆς σαμίας ὀπτῆς ℥ γ', πομφόλυγος ℥ α', καδμίας πεπλυμένης ℥ α', στίμμεως ℥ β', λεπίδος πεπλυμένης ℥ δ', ἐν ἄλλῳ ℥ α', ὀπίου ℥ ϛ', κόμμεως ℥ δ', ἐν ἄλλῳ ℥ γ', ὕδωρ ὄμβριον. εἰ δὲ σὺν τῷ ἕλκει φλεγμονὴ καὶ δάκρυον ἐπιρρέον εἴη πολύ, μίγνυε τοῖς ἀδήκτοις, καὶ τῶν ἀποκρούειν δυναμένων ὀλίγον. εἰ δὲ δριμὺ εἴη, τῶν διαρρόδων. εἰ δὲ μή ἐστι πάνυ θερμόν, καὶ τοῦ ἑρμολάου ὀλίγον, ἢ τοῦ καλουμένου ὑδαρείου, ἢ τῶν μονοημέρων, ἢ ἀχαρίστων λεγομένων, ὧν καὶ τὰς γραφὰς ἐξεθέμην ὑμῖν, καὶ εἴ τι δὲ παραλέλειπται, γράφομεν. καὶ ὁ κόκκος δὲ τῆς ῥοιᾶς ἐκπιεζόμενος κατὰ τοῦ ἔχοντος ὀφθαλμοῦ τὸν ἄνθρακα, ὠφελεῖ μεγάλως, ὡς ὁ πειραθεὶς ἔλεγεν ὑπὸ θείας ἐπιφανείας ἐν ὀνείροις διδαχθῆναι. Σμηκτικὰ οὐλῶν. Ὅσα τῶν σμηκτικῶν πέφυκεν οὐλὰς ἀποσμήχειν, ταῦτα καὶ τύλους ἀποσμήχειν οἶδε, καὶ οὐλὰς παχείας. εἰσὶν οὖν πολλὰ τοῦτο ποιεῖν δυνάμενα. ἀνεμώνης ἁπάσης ὁ χυλὸς τὰς οὐλὰς ἀποσμήχει τὰς ἐν ὀφθαλμοῖς, ὁμοίως καὶ τοῦ κενταυρίου τοῦ μικροῦ ὁ χυλός, μετὰ μέλιτος ἀποσμήχει. ἐπὶ δὲ τῶν χρονιωτέρων, καὶ τῇ κεδρίᾳ ἐχρήσαντο. λεπτύνει δὲ ἐπὶ πλέον, καὶ τὰς σκιρρώδεις οὐλάς, ἃς καὶ λευκώματα καλοῦσι. νίτρον μετ' ἐλαίου παλαιοῦ λειωθὲν ἐπιμελῶς καὶ ἐγχριόμενον, καλῶς ποιεῖ, καὶ τὸ σηπίας δὲ ὄστρακον καυθὲν μετὰ μέλιτος καὶ λειωθέν. ἐν δὲ κολλουρίοις, πάνυ καλῶς καὶ ταχέως ἀποσμήχει, καὶ τοῦτο λαμβάνον * καὶ ἀμμωνιακοῦ θυμιάματος, σμύρνης, βωγλίτιδος, κροκοδείλου χερσαίου κόπρου, πάντα ἴσα, ποίει κολλούριον, καὶ χρῶ πάνυ ὄντι διὰ πείρας.

Ἡ διαθήκη πρὸς ἕλκη. Θαυμάσιον ποιεῖ καὶ πρὸς παλαιά. μάλιστα δὲ ἕλκη κακοήθη καὶ οὐλὰς ἀποσμήχει, καὶ ἀπολεπτύνει, ὥστε καὶ πρὸς μυοκέφαλα ποιεῖ. καὶ ἄλλας δὲ πλείστας ἐνεργείας ἔχει ἐπαίνου ἀξίας. ἔχει δὲ ταῦτα, καδμίας κεκαυμένης καὶ πεπλυμένης < κε', στίμμεως < ε', ναρδοστάχυος < γ', κρόκου < γ', κασοείου,

είου, λεπίδος ἀνὰ < β', ἰοῦ < δ', χαλκοῦ κεκαυμένου < γ', πεπέρεως, ψιμμυθίου, λυκίου, ὀπίου, λιβάνου, ὀποβαλσάμου ἀνὰ < η', λίθου σχιστοῦ, κασίας ἐρυθρᾶς ἀνὰ < β', * ἰοῦ σκώληκος < β', χαλκάνθης < β', σμύρνης < β', κόμμεως < κ', μαράθρου χυλοῦ Γο < α', χολῆς αἰγείας < η'· οἴνῳ ἀμιναίῳ λείου, καὶ χρῶ. Κολλούριον τὸ χιόνιον. Ψιμμυθίου < α', ἁλὸς ἀμμωνιακοῦ Γο < α', ἀμμωνιακοῦ θυμιάματος < γ', σηπίας ὄστρακον < α' S'', ἐν ἄλλῳ Γο α' S''. κάλλιστόν ἐστι βοήθημα καὶ πολλάκις πεπειραμένον. Κολλούριον τὸ νάρδινον τοῦ ζωΐλου. Στίμμεως κεκαυμένης καὶ πεπλυμένης < η', ἐν ἄλλῳ, χαλκοῦ κεκαυμένου < η', ψιμμυθίου κεκαυμένου καὶ πεπλυμένου < η', ναρδοστάχυος < γ', ἐν ἄλλῳ Γο γ', φύλλων Γο β', ἐν ἄλλῳ < γ', κρόκου < ς', ὀπίου < η', σμύρνης < β', καδμίας κεκαυμένης, καὶ πεπλυμένης < η', λυκίου ἰνδικοῦ < ις', ζιγγιβέρεως < δ', ἀκακίας κιῤῥᾶς < κ', κασσίας < ς', ἀλόης < ς', κόμμεως < κ', ὕδωρ ὄμβριον. τοῦτο τὸ κολλούριον πρὸς τὰς πάνυ παλαιὰς διαθέσεις καλῶς ποιεῖ. καὶ γὰρ τὰ τραχέα τῶν βλεφάρων καὶ τὰς οὐλὰς ἀπολεπτύνει, καὶ τὸ ἐπιῤῥέον ἀποκρούεται. πρὸς δὲ τοὺς μὴ φέροντας αὐτοῦ τὴν δῆξιν, μιγνύειν αὐτῷ δεῖ καὶ τῶν ἁπαλῶν κολλουρίων. οὕτω γὰρ ἄλυπος καὶ ἀσφαλεστέρα αὐτοῦ ἡ χρῆσις γενήσεται. Κολλούριον τὸ ὑδαρὲς καλὸν, ποιοῦν πρὸς ὑποπύους, καὶ σηκώσεις, καὶ χυμώσεις, καὶ ῥεύματα, ἡ χρῆσις ὑδαρεστέρα. Καδμίας Γο < ις', χαλκοῦ κεκαυμένου Γο < θ', λίθου σχιστοῦ Γο η'. οὐκ οἶδα εἰ τούτου κάλλιόν ἐστι πρὸς ὑποπύους κολλούριον, καὶ πρὸς τὰς χυμώσεις καὶ ἐπιφορὰς τῶν ῥευμάτων. δεῖ δὲ ὑδαρεῖ αὐτῷ κεχρῆσθαι, καὶ μετὰ τὸ παύσασθαι τὴν πολλὴν δυσκρασίαν καὶ δριμύτητα τοῦ ῥεύματος, εἴ τις ἐνοχλεῖ δυσκρασία καὶ δριμύτης ἐν τῷ ὄμματι, μετὰ τῶν ἁπαλῶν κολλουρίων ὀλίγον ἐξ αὐτοῦ κατ' ἀρχὰς ἐπιμίγνυε, εἶτα πλεῖον, καὶ τελευταῖον, θαῤῥῶν κέχρησο πρὸς τὰ εἰρημένα πάθη καθ' ἑαυτόν. Κολλούριον τὸ ἡρακλεῖον, ποιοῦν πρὸς τὰ πάνυ κοῖλα τῶν ἑλκῶν, καὶ μετὰ τὴν σάρκωσιν, λεπτὰς καὶ ἀφανεῖς τὰς οὐλὰς ἐργαζόμενον, μετὰ τοῦ καὶ ἐπιβάπτειν αὐτὰς δύνασθαι. Μολύβδου κεκαυμένου καὶ πεπλυμένου < η', κεράτου < δ', κόμμεως < γ', ἐν ἄλλῳ < δ', σποδίου < η', λεπίδος, στομώματος, πεπέρεως ἀνὰ < α', ὕδωρ ὄμβριον. Δακρυηρὸν πρὸς ὀξυδορκίαν. Ταῦτα μὲν οὖν τὰ προειρημένα πρὸς τὰς οὐλὰς καὶ τὰς χρονίας διαθέσεις ἁρμόζει σμηκτικὰ ὄντα. μνημονευτέον δὲ ἑξῆς ὁμοίως καὶ τῶν ὀξυδορκικῶν λεγομένων, ὅσα πρὸς τοὺς ἀχλυώδεις ὀφθαλμοὺς ἁρμόζει. ὅτι δὲ καὶ ἐπὶ τῶν προβεβηκότων τῇ ἡλικίᾳ τὴν ἀτονίαν τοῦ ὁρατικοῦ πνεύματος ἀποκαθίστησι, καὶ νεωτέρους ποιεῖ τὴν ἐνέργειαν, καὶ τὰς ἀρχομένας ὑποχύσεις διαλύει. ἔστιν αὐτῶν τὸ πρῶτον τῆς κλήσεως κυνοπλικόν. χαλκοῦ κεκαυμένου < λβ', πεπέρεως < ς', καδμίας < η', ἐν ἄλλῳ εὗρον προσθήκην, < θ', ζιγγιβέρεως < η', κρόκου < δ', κόμμεως < κδ', ὕδατι ἀναλαβὼν χρῶ. Ὑγροκολλούριον πρὸς ἀμβλυωπίας καὶ ἄλλα πολλά. Πομφόλυγος ἀπλύτου κοχλιάριον ς', ὀποβαλσάμου κοχλιάριον α', μέλιτος κοχλιάριον β', οἴνου ἀγλύκου παλαιοῦ καὶ λευκοῦ τὸ ἀρκοῦν. δεῖ σε πρῶτον ἐμβαλεῖν τὴν πομφόλυγα λειωθέντα καλῶς πάνυ, εἶτα μίσγειν τὸ ὀποβάλσαμον, εἶτα τὸ μέλι, ὕστερον δὲ πάντων τὸν οἶνον. μετὰ οὖν τὴν μίξιν, λείωσον ἄχρι τριῶν ἡμερῶν ἐπιμελῶς, καὶ οὕτω βάλλε εἰς ὑέλινον ἀγγεῖον, καὶ * ὅτε κέχρησαι, τὸ ἀγγεῖον, καὶ οὕτως ὑπόχριε τῇ μήλῃ, καὶ * ὡς πέπειρα ποίει, θερμῷ ἀποπλύων τὰ ὄμματα.

Ἄλλο ὡς δύνασθαι καὶ τὸν ἥλιον ἀβλαβῶς ὁρᾶν. Ἴασπιν λευκόν, μάγνητα ζῶντα, χρυσοσάπφειρον, ἀχάτην, αἱματίτην, χαμαίμηλον * ἱερακιάδος, ὀπὸν κονίζης λεπτῆς. ἅπαντα ταῦτα ἐξ ἴσου λαβών, ποίει κολλούριον λεπτόν, καὶ ὑπάλειφε.

Ξηρίον τὸ σεβήριον καλούμενον, πρὸς ὀξυδορκίαν. Καδμίας ℥ γ', ἁλὸς ἀμμωνιακοῦ ℥ α', φύλλων ℥ γ', πεπέρεως ℥ ς', ποιήσας ξηρίον ὑπάλειφε, καὶ ποιεῖ πρὸς ξηροφθαλμίας. Ξηρίον τὸ φῶς λεγόμενον πρὸς ἀμβλυωπίαν καὶ πρὸς ὀδόντων πόνους καὶ ῥεύματα. Καδμίας < η', ἁλὸς ἀμμωνιακοῦ < δ', κρόκου < ε', πεπέρεως < γ', φύλλου ἀρσενικοῦ ἀνὰ < α'. καλὸν πάνυ. Ἄλλο πάνυ καλὸν πρὸς ψωρώδεις διαθέσεις καὶ κνησμοὺς ὀφθαλμῶν, ἀμβλυωπίας τε καὶ τραχέα βλέφαρα, καὶ ῥεύματα παλαιά, καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλάς, καὶ πτερύγια, ᾧ χρώμεθα.

Καδμίας, χαλκίτεως κεκαυμένης ἐν ἄρτῳ ἀνὰ < δ', κρόκου < α', πεπέρεως < α', ἀρσενικοῦ < δ', ἁλὸς ἀμμωνιακοῦ < α', λειώσας ὑπάλειφε, τὴν παραγωγὴν ποιούμενος διὰ τοῦ κερατοειδοῦς. Ἄλλο πρὸς ἀμβλυωπίαν καὶ τὰς ἀρχομένας ὑποχύσεις. Δαφνίδων λελεπισμένων < κ', λείωσον μετὰ οὔρου παιδὸς ἀφθόρου σὺν κόμμεως < β', ἔγχριε τοὺς μὲν ὑποκεχυμένους μετὰ οὔρου· τοὺς δὲ ἄλλους μετὰ ὕδατος. Ἄλλο. Χολὴν ὑαίνης μετὰ μέλιτος καὶ κονίζης ἔγχριε. Ἄλλο. Χολὴν πέρδικος μετὰ μέλιτος καὶ χυλοῦ μαράθρου ἔγχριε. πάνυ καλὸν καὶ πρὸς τὰς ἀρχομένας ὑποχύσεις, καὶ ὁ προφιλὰς τὸ κολλούριον, καὶ ὁ θαλασσηρὸς καλούμενος, πρὸς ἀμβλυωπίας καὶ ἀρχομένας ὑποχύσεις, καὶ τύλους σμήχει. Ἄλλο. Χολὴ ἀετοῦ καλῶς ποιεῖ καθ' ἑαυτὴν καὶ μετὰ μέλιτος ἐγχριομένη. χρὴ γραφιῶσαι καὶ τὸ τοῦ προφήτου ὑγροκολλούριον.

ς' Περὶ νυκτάλωπος.

Πρὸς δὲ τοὺς κατοψὲ μὴ βλέποντας, οὓς νυκτάλωπας ὀνομάζουσι, νίτρον τρίψας μεθ' ὕδατος ποταμίου, χρῶ. Ἄλλο. Χολὴν τράγου μετὰ μέλιτος ἔγχριε, αἴρει ἐν ὀλίγαις ἡμέραις. Ἄλλο πρὸς τὸ αὐτό. Ἧπαρ τράγου ὀπτήσας, τὸν ἐκ τῆς ὀπτήσεως ἰχῶρα συνάγαγε, καὶ οὕτως ἔγχριε αὐτούς. αὐτὸ δὲ τὸ ἧπαρ ἐσθίειν δίδου, καὶ τὴν ἀτμὸν τοῖς ὀφθαλμοῖς ὀπτουμένου κέλευε ἀνεῳγόσι δέχεσθαι. Πρὸς τραχέα βλέφαρα. Κολλούριον τραχωματικόν, λεπτῦνον τὰς ὑπερσαρκώσεις τῶν βλεφάρων πάνυ καλῶς. ἔχει δὲ ταῦτα, καδμίας < ις', λίθου αἱματίτου, λίθου σχιστοῦ ἀνὰ < μ', χαλκοῦ κεκαυμένου < κ', ἰοῦ < η', ὀπίου < δ', ἐν ἄλλῳ < η', μήκωνος σπέρματος < ις', κόμμεως < λβ'. τὸ σπέρμα τοῦ μήκωνος λειώσας χύλιζε. πρόσεχε πῶς κέχρησαι τοῖς τραχωματικοῖς κολλουρίοις. ἐὰν γὰρ ἕλκος εἶναι τύχῃ τῇ τραχύτητι τῶν βλεφάρων, βέλτιόν ἐστιν ἐκστρέφοντα μᾶλλον αὐτὰ οὕτως σμήχειν, ἢ τῷ κυάθῳ τῆς μήλης, ἢ φύλλοις συκῆς. ἔνιοι δὲ καὶ σηπίας ὀστράκῳ, ἢ δέρματι τραχυτέρῳ χρῶνται, καὶ ἄλλοι πάλιν τοῖς διὰ κισσήρεως κολλουρίοις ὑπαλείφουσιν. ἐπειδὰν οὖν καθαρθῇ τὰ βλέφαρα καὶ λεπτυνθῶσι, τότε λοιπὸν καὶ τῶν ἑλκῶν προνοοῦ, προσφέρων ἢ τὸ λιβιανόν, ἢ τὸ οὐράνιον, καὶ προσμιγνύων αὐτοῖς, ἐὰν ἐπιρρέῃ τι, καὶ τῶν ἀποκρουστικῶν. εἰ δὲ μηδὲν κατεπείγει, τὸ θεοδότιον. οὕτω γὰρ εὐμεθόδως χρώμενοι, ἀρρευμάτιστα φυλάξομεν τὰ ἕλκη, καὶ εἰς οὐλὰς ταχέως ἀνενεχθήσεται. Ξηρίον πρὸς ἀρχομένας ὑποχύσεις. Ἐλλεβόρου λευκοῦ ℥ α', πεπέρεως λευκοῦ < δ', ἀμμω-

νιακοῦ

κοδ θυμιάματος < α', ἐραφαίου χυλῷ λειώσας, ἔασον ψυχῆναι, καὶ πάλιν λειώσας χρῶ ὡς θαυμαστῷ. Πρὸς τὸ βάψαι λευκώματα, λίαν καλόν. Χαλκάνθου < δ', ἀκάνθης αἰγυπτίας, κηκίδος ἀνὰ < δ', ὕδατι ἀναλαβὼν, χρῶ. Κολλύριον τὸ μέγα θεοδότιον, ποιοῦν πρὸς περιωδυνίας, καὶ παλαιὰς διαθέσεις. Τοῦτο τὸ κολλύριον ἀποσμήχει οὐλὰς, καὶ πρὸς τύλους ποιεῖ, καὶ μυοκέφαλα, καὶ πρὸς ἄλλα πολλὰ θαυμαστῶς ἄξια. καδμίας, ὀπίου ἀνὰ < β', χαλκίτεως Γο β', κρόκου < β', ἀλόης ἡπατίτιδος Γο β', κασσίας, φύλλου ἀνὰ < β', ἐν ἄλλῳ τῶν ἑπτὰ εἰδῶν ἀνὰ < α', στίμμεως Γο ε', ἐν ἄλλῳ α', καὶ τῆς ἀκακίας ὡσαύτως, χαλκοῦ κεκαυμένου Γο δ', σμύρνης τρωγλίτιδος < δ', ναρδοστάχυος < α', ψιμμυθίου < η', κόμμεως < δ', ὕδωρ ὄμβριον. τινὲς δὲ καὶ οἶνον προσβάλλουσι. Κολλύριον ἡ ἑκατόμβη, ποιοῦν πρὸς οὐλὰς παχείας καὶ πρὸς ἀρχομένας ὑποχύσεις, πλατυκορίας, ἐπινεφελίδας, πτερύγια, καὶ πρὸς λεπτὸν δάκρυον φερόμενον. λεπτύνει, σμήχει, καθαίρει τε καὶ προσαποκρούεται. Καδμίας κεκαυμένης καὶ πεπλυμένης, χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ἀνὰ < η', στίμμεως κεκαυμένου < ιε', ἀκακίας κιρρᾶς < ιε', ἐν ἄλλῳ < κη', ἀλόης < δ', κασσίας, λυκίου, ναρδοστάχυος, κρόκου, ὀπίου, ζιγγιβέρεως, ψιμμυθίου, * ἐβεννίνου ῥινίσματος, χαλκίτεως ἀνὰ < α', ῥόδων < ζ', ὕδωρ ὄμβριον. τοῦτο μέγιστόν ἐστι τὸ κολλούριον, καὶ πλείονα ὧν ἐπαγγέλλεται ποιεῖ. Ξηροκολλούριον, ποιεῖ πρὸς συκώσεις, καὶ σηπεδόνας, καὶ ὑπερσαρκώματα. Καδμίας < δ', ἐν ἄλλῳ < γ', χαλκίτεως < η', ἐν ἄλλῳ < ι', πεπέρεως κόκκους ιε', νάρδου κελτικῆς < α'. τρίβε τὴν καδμίαν καὶ τὴν χαλκῖτιν μετ' οἴνου, καὶ ξήρανον, καὶ τὴν νάρδον τότε ποιήσας χνοώδη, μίσγε πάντα, καὶ χρῶ ὡς καλλίστῳ. Ὑγροκολλούριον, ποιοῦν πρὸς ὑποπύους, θαυμαστῶς ποιεῖ καὶ πρὸς ῥυπαρὰ ἕλκη καὶ μυοκέφαλα. Χαλκάνθου, κρόκου, σμύρνης ἀνὰ Γο α', ἐν ἄλλῳ < δ', μέλιτος λίτρ. α', χυλοῦ ἠριγέροντος σκεύαζε. ἐγὼ δὲ μετ' οἴνου ἀσκαλωνίτου οἶδα τοῦτο σκευαζόμενον. Περὶ μελικράτου. Ἀναγκαῖον ἡγησάμην καὶ περὶ μελικράτου μνημονεῦσαι. μεγάλα γὰρ ἐκ τοῦ χρόνου καὶ τῆς μακρᾶς πείρας εὗρον ἐξ αὐτοῦ κατορθώματα. καὶ γὰρ τὰ ἕλκη τὰ ῥυπαρὰ, καὶ μάλιστα τὰ κακοήθη καὶ ἀνθρακώδη οἶδα δι' αὐτοῦ καὶ μόνου ἀποθεραπευθέντα, καὶ τοὺς ἤδη πῦον ἀθροίσαντας ἐν βάθει καὶ ὀδυνωμένους ἀμέτρως, καὶ σφακελισθέντας, καὶ ὅπου στένωσίς ἐστιν, ἢ σφήνωσις γλίσχρων χυμῶν, ἢ παχυτέρων. οὐκ οἶδα δὲ εἰ τούτου κάλλιόν τις εὕρῃ, ἢ δραστικώτερον, ἢ προσηνέστερον βοήθημα. ποιεῖ δὲ μάλιστα καὶ ἐφ' ὧν τίκτονται λῆμαι πολλαί. πρὸς γὰρ τῷ καθαίρειν αὐτὰς καὶ ἀποπλύνειν ἀνωδύνως, οὐ συγχωρεῖ πάλιν τεχθῆναι ταύτας. βέλτιον δὲ * κεχρῆσθαι σπόγγῳ καὶ κινεῖν συνεχῶς τὸ βλέφαρον, καὶ τραχύνειν, καὶ πόνον ἐμποιεῖν, οἶδα ὅτι καὶ λημώδεις ὀφθαλμίαι ἐλύοντο, καὶ μηδὲν παραδεχόμεναι παντοίως κολλούριον. τοῦτο δὲ μόνον αὐταῖς προσφιλὲς ἐγένετο, καὶ ἤρκεσε τὴν τοῦ κολλυρίου ἀναπληρῶσαι τὴν χρείαν. εἰδέναι δὲ δεῖ ὡς ὁ τρόπος τῆς σκευασίας καὶ τῆς χρήσεως μάλιστα τούτου, καὶ πλείονα τούτων παρασκευάζει δρᾶν τὸ μελίκρατον. δεῖ γὰρ αὐτὸ μὴ ἄκρατον καὶ παχὺ παρασκευάζειν, ἀπογευόμενον δὲ, ὀλίγην καὶ ἀφανῆ πάνυ τῇ γλώττῃ παρέχειν αἴσθησιν γλυκύτητος, καὶ μάλιστα ἡνίκα μὴ μόνον ἕλκωσις, ἀλλὰ καὶ φλεγμονὴ μεμιγμένη φαίνοιτο. οὐ δεῖ δὲ τῇ μήλῃ μόνῃ κεχρημένον, ἐγχεῖν τὸ μελίκρατον, ἀλλ' ἔτι πολλῷ κάλλιον, εἰ καὶ διά τινος ὑελίνου καὶ στενοστόμου ἀγγείου οὕτω προσάπτειν ἐθέ-

λοιτε πληρωθέντες ἀπὸ τοῦ μελικράτου. ὅσῳ γὰρ ἄν τις αὐτῷ πλείονι χρήσηται, τοσούτῳ μᾶλλον ὠφελήσει. ὅ,τι γὰρ ἂν εἴη περιεχόμενον ἐν τοῖς χιτῶσιν, εἴτε λῆμαι, εἴτε καὶ περίττωμα δριμὺ, ταῦτα μένειν ἔνδον οὐ δύνανται, ἀλλὰ διεξέρχονται καὶ ἀπορρύπτονται διὰ τοῦ μελικράτου. δεῖ οὖν αὐτῷ θαρροῦντας χρῆσθαι εἰς ὅ,τι δέον. οὔτε γὰρ στύψιν ἔχει, ὥστε πυκνῶσαι καὶ τραχῦναι τὸ ὄμμα, οὔτε ψῦξιν, ὥστε ναρκῶσαι, καὶ πιλῆσαι τὴν ὕλην, ἢ ῥῆξιν, ἢ διάβρωσιν ἐργάσασθαι, οὐδὲ ἄλλην τινὰ σκληρείαν, ἢ δριμεῖαν ποιότητα. διὰ ταῦτα εἰ καὶ κολλουρίῳ τις ἐθέλει χρῆσθαι, καλόν ἐστι τούτῳ πρότερον ἀποπλῦναι τὰ ὄμματα, καὶ οὕτω προσενεγκεῖν τὰ πρὸς ἑκάστην ἴασιν ἁρμόζοντα κολλούρια. οὐδὲν γὰρ ἔτι * τότε βοηθήσεται τοῦ ὄμματος ἀπερίττου διὰ τοῦ μελικράτου γενομένου· κἂν δέῃ, καὶ ἄλλας πείρας πολλὰς, καὶ καλὰς ἀναγεγραμμένας εὕρῃς. ἀλλ' ἵνα μὴ μακρὸς ὁ λόγος γένηται, ἀρκεῖ καὶ ταῦτα, τοῖς γε κατανοοῦσι τὴν δύναμιν, εἰς τὸ ἐξευρίσκειν καὶ τὰς ἄλλας πάσας αὐτῷ προσούσας ἀρετὰς, οὐ μόνον αὐτὰς τῶν τοιούτων διαθέσεις, ἀλλὰ καὶ εἰς τὰς ἄλλας θεραπείας τοῦ βηχός. Πρὸς σταφυλώματα κάλλιστον. Χαλκίτεως, κρόκου ἀνὰ < α', μέλιτος < ε', ὕδατος τὸ ἀρκοῦν. Κολλούριον * τὸ μαξιμιανοῦ. Κύκνου τοῦ κολλουρίου μέρη β', ἑρμολάου τοῦ μεγάλου καὶ τοῦ μικροῦ ἀνὰ μέρος ἓν, λαβὼν τὰ τρία ταῦτα, λειοτρίβησον πάνυ, καὶ λεπτῷ κοσκίνῳ καταπάσας, ἀναλάμβανε ὕδατι, καὶ πλάσας κολλούριον χρῶ, ἐπὶ πάσης περιωδυνίας οὐκ εὐθὺς ὅταν ἀρχὴν ἔχῃ ἡ ὀδύνη, ἀλλ' ὅταν σφοδροτέρα γένηται καὶ ἀκμάζῃ, καὶ ἀγρυπνίαν ἐπιφέρῃ. μετὰ γὰρ τοῦ παύειν τὴν ὀδύνην καὶ ὕπνον ἐπιφέρει. ποιεῖ καὶ πρὸς ὑποπύους, καὶ μυοκέφαλα, καὶ σταφυλώματα· ἡ χρῆσις δι' ᾠοῦ. κάλλιον δὲ ποιεῖ ὑπαλειφόμενον ἢ παρεγχυματιζόμενον. δεῖ δὲ καὶ ὑπὸ βλέφαρον χρῆσθαι, ἐάν τις εἴη τραχύτης. ἐπὶ δὲ τῶν μυοκεφάλων, * ὑποπύῳ μετὰ τὴν χρῆσιν ἐπιδεσμεῖν τὸ ὄμμα, ἢ ῥάκος λινοῦν εἰς ὕδωρ ἐμβρέχοντα ψυχρὸν, ἢ σπόγγον, καὶ αὐτὸν ὕδατι βεβρεγμένον, ἔχοντα πέριξ ῥάκος, ὥστε μὴ σύγκαυσιν ὑπομεῖναι τὸ ὄμμα.

ς' Περὶ τῶν ἐν ὀφθαλμοῖς συνισταμένων ἀνθράκων.

Ἐπειδὴ καὶ ἄνθρακες ἐν ὀφθαλμοῖς καὶ ἐν τῷ ἄλλῳ σώματι συμβαίνουσιν, ἀναγκαῖον ἐκθέσθαι καὶ τὴν ἐμμεθόδως γινομένην περὶ τούτου θεραπείαν. οἷα δὲ ὑπερπλήσεως τοῦ αἵματος ἔχοντες τὴν γένεσιν, εἰκότως ὀδύνας καὶ σφακέλους, καὶ φλεγμονὰς μεγάλας τοῖς ὄμμασιν ἐπιφέρουσιν, ὡς κινδυνεύειν καὶ τὸν ὅλον ἐκπεσεῖν ὀφθαλμόν· ἔσθ' ὅτε δὲ καὶ σπασμοὺς καὶ παραφροσύνας, διὰ τὴν τοῦ ἐγκεφάλου τε καὶ τῶν μηνίγγων γειτνίασιν. διὸ πρὸ πάντων τὴν διὰ φλεβοτομίας παραληπτέον κένωσιν ἐπὶ τῶν τοιούτων, τέμνοντας τὴν ἐπ' ἀγκῶνι φλέβα τὴν καλουμένην ὠμιαίαν μᾶλλον, ἢ, εἰ δυνατὸν, τὴν κατ' εὐθὺ τοῦ ὀφθαλμοῦ, ἐκ διαλειμμάτων δὲ καὶ κατ' ὀλίγον. οὐκ ἄτοπον καὶ διὰ γαστρὸς ποιεῖσθαι κάθαρσιν, δακρυδίου παρέχοντες πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, εὐχύμου πτισάνης λαμβάνοντος. οἶδα γάρ τινας πάσχοντας, οὐδὲ τὴν ὀσμὴν * αὐτῆς φέροντας. εὐθὺς γὰρ εἰς ἔμετον ὁρμῶσιν· ὅπερ ἐπὶ τῶν ὀφθαλμιώντων πάνυ κάκιστον, τῶν χιτώνων ἐκ τῆς διατάσεως κινδυνευόντων ῥαγῆναι. μετὰ δὲ τὰς κενώσεις ταύτας, εἴπερ σοι καὶ τὸ πᾶν σῶμα δριμύτερον εἶναι φαίνοιτο, λούειν αὐτίκα λουτροῖς εὐκράτοις τε καὶ ἀπὸ

γλυκέων

γλυκέων ὑδάτων, οὐκ ἄτοπον ἠρέμα πάνυ τὴν κεφαλὴν σμήχειν εἰ δέῃ, τοῖς λεκύθοις τῶν ὠῶν μετὰ πτισάνης χυλοῦ καὶ ὀλίγου ἑψήματος. τὸ γὰρ κινεῖν σφοδρῶς τοὺς ὀφθαλμοὺς αὐτῶν, ῥευματίζειν ἐπίσταται, μὴ συγχωρεῖν δὲ ἐγχρονίζειν ἐν τῷ θερμῷ ἀέρι, μηδὲ πολλάκις βαπτίζειν τὴν κεφαλὴν εἰς τὴν τοῦ θερμοῦ ἔμβασιν. ἀμφότερα γὰρ τοῖς ὀφθαλμοῖς βλαβερὰ καθέστηκε, τὸ μὲν ψυχρὸν, ὡς ἴστε, πυκνοῦν τὴν ἐπιφάνειαν, καὶ ἐναποκλεῖον τὰ περιττώματα, πλειόνων ὀδυνῶν αἴτιον γίνεται. τὸ δὲ θερμὸν ἀραιωτικὸν ὑπάρχον, πάνυ ῥευματίζειν εἴωθε. τὰ δ' οὖν ἄκρα σφόδρα φεύγειν προσήκει ἐπὶ πάντων τῶν νοσημάτων, μάλιστα δὲ τῶν ὀφθαλμῶν. ὁμοίως δὲ παραιτητέον καὶ τὸ τὴν κεφαλὴν ἀλείφειν ἐλαίῳ. παρεμπλάττον γὰρ τοὺς πόρους, ἀδιαφόρητον αὐτὴν ποιεῖ. καὶ τοῦτο αἴτιον ῥευματισμοῦ γίνεται. πολλάκις δὲ καὶ κατὰ τοὺς ὀφθαλμοὺς εἰσιὸν, ἀνίαν ἐμποιεῖ δριμύσσον αὐτούς. ἐν δὲ τοῖς βαλανείοις ἐξελθόντι εὐκράτῳ κέλευε μεταλαμβάνειν, ἢ πτισάνην καθ' αὑτὴν, ἢ μετά τινος τῶν ἡδύνειν αὐτὴν δυναμένων· λέγω δὴ ῥοδομέλιτος, ἢ ὑδρομήλου, ἢ χρυσαττικοῦ, καὶ μάλιστα κατὰ τὰς πρώτας ἡμέρας, ἐὰν καὶ ὁ κάμνων τὸν στόμαχον ἔχῃ πλαδαρὸν, ἢ καὶ καθ' ἑαυτὴν ἀηδίζοιτο προσφέρεσθαι αὐτήν. εἰς δὲ τὸν οἶκον παραγινόμενος, ἐν μὲν ταῖς ἀρχαῖς τῶν ἡμερῶν, ἀπέριττον ἐσθιέτω τροφὴν, οἷον ὡς καὶ * μαρούλια, καὶ θριδακίνας, καὶ ἴντυβα, ποτὲ μὲν ἄνεφθα, ποτὲ δὲ καὶ ἀποζέματα. ἐπὶ δὲ τούτοις καὶ ὀπώραν προσφέρεσθαι πέπειρον οὖσαν καὶ γλυκεῖαν. ἁρμόζει γὰρ τοῖς οὕτω νεαροῖς, ἁπλῶς εἰπεῖν, ἐμψύχουσαν καὶ ὑγραίνουσαν εἶναι πᾶσαν τὴν δίαιταν. φανέντος δέ σοι καιροῦ, μετάβαλε λοιπὸν τὴν τροφὴν, δὸς καὶ ἰχθὺν ὀπτὸν ἁπαλόσαρκον, καὶ ἑφθόν. ἔστω δὲ κίχλα, ψῆττα, βούγλωσσον, καὶ εἴ τι τοιοῦτον ἐπιτήδειον ἐν ἰχθύσιν εὑρήσομεν. προϊόντος δὲ τοῦ χρόνου, μεταβαίνειν ἐπὶ ὄρνιν κατοικιδίαν, πρότερον τῶν αὐτῆς νεοσσῶν, καὶ στῆθος φασιανοῦ χωρὶς τοῦ λίπους, καὶ χηνῶν ἄκρα, καὶ πάντων τῶν τοιούτων, τῆς ἑψήσεως ἀπερίττου γινομένης, χωρὶς ἀρτύματος δριμέος, ἢ ἁλμυροῦ. ῥεύματος δὲ λεπτοῦ φερομένου, πολλάκις * ἀνατραφῆναι δεομένου, περιπλέκεσθαι. ποιεῖ δὲ ἕνα τῶν σιτωδῶν ταῖς ὄρνισιν, οἷον, ἄλικος, ἢ χόνδρου, ἢ πτισάνης, ἢ ἰτρίου, ἢ σεμιδάλεως, ἢ ψιχῶν, ἢ ὀρύζης, εἰ δέοι καὶ τοῦτο, ὁπηνίκα καὶ τὰ τῆς γαστρὸς παρεμποδὼν γίνοιτο. παυσαμένων δὲ λοιπὸν τῶν ὀδυνῶν, καὶ τῆς ἐπιφορᾶς τοῦ ῥεύματος, εἰ συνείδῃς ὅτι καὶ τροφῆς πλείονος ὁ κάμνων δεῖται, καὶ κρεῶν χοιρείων προσένεγκε, καὶ μάλιστα ποδῶν. καὶ οἶνος δὲ λεπτὸς, καὶ ἄγαν λευκὸς, καὶ εὔοσμος, καὶ ὑδατώδης προσενεκτέος αὐτοῖς, παρακμῆς ἐπὶ τῆς διαθέσεως ἤδη φαινομένης, τῆς συμμετρίας ἐπί τε τροφῆς καὶ πόματος ἤδη φυλαττομένης. ταῦτα μὲν ὡς ἐν διαίτῃ παραληπτέον. βοηθήμασι δὲ χρηστέον τοῖσδε. γίνωσκε τοίνυν πρό γε πάντων, ὅτι τὴν τῶν κολλουρίων χρῆσιν μάλιστα αἱ τοιαῦται διαθέσεις κατ' ἀρχὰς οὐ φέρουσι. καὶ γὰρ ἀδικοῦνται μεγάλως ὑπ' αὐτῶν, ἀλλὰ δεῖ τῷ ὑδαρεστάτῳ μελικράτῳ χρῆσθαι, ἢ τῷ χυλῷ τῆς τήλεως, τρίτον, ἢ τέταρτον, ἢ καὶ πλεονάκις, εἰ δέῃ τοῦ ζέματος ἀποχυθέντος ὀλίγου προσαπλακέντος. ἔξωθεν δὲ διὰ φοινίκων καὶ κρόκου, καὶ ψυχίων καταπλάσμασι χρηστέον. πυρώσεως δὲ ἀμέτρου παρούσης, καὶ ἐσχάρας οὔσης ὥστε καὶ νέμεσθαι τὰ βλέφαρα, καὶ τῷ ἀρνογλώσσῳ τῷ μικρῷ ἢ τῷ μεγάλῳ, μετὰ ψιχῶν κατάπλαττε. καὶ γὰρ ἐμψύχει, καὶ τὸ σκληρὸν μαλάττει τοῦ ἄνθρακος. οὐδενὸς ἧττον καὶ ἡ περδικιὰς οἶδε ποιεῖν, μάλιστα εἰ καὶ προσπλω-

σις ἢ τοῦ ῥαγοειδοῦς, καὶ ὅλου τοῦ ὀφθαλμοῦ διάτασις καὶ σφακελισμός, καὶ ὀδύνη πολλή. δεῖ δὲ ἐπιθέντα τὴν βοτάνην, ἐπιδεσμεῖν. καὶ γὰρ οὕτω δρᾷ, ἐπεὶ καὶ τὸ ὄμμα τὴν ἰδίαν ἀπολήψεται θέσιν. ἐπειδὰν δὲ συμβαίνῃ καὶ μυοκέφαλα, καὶ σταφυλώματα γίνεσθαι· τοῦτο δὲ συνήθως· ἀπολλυμένου γὰρ τοῦ ἄνθρακος, καὶ τὸ πᾶν συναπόλλυται ὄμμα, τῶν χιτώνων ὅλων ἐκραγέντων, καὶ τῶν ὑγρῶν ἐκχυθέντων, ὅπερ ἐπὶ τῶν μεγάλων ἀνθράκων συμβαίνειν εἴωθεν. εἰ δὲ τοῦτο μὴ παρακολουθήσει, γίνονται δὲ σταφυλώματα ἢ μυοκέφαλα, καθάπερ εἴρηται, τηνικαῦτα καὶ κολλυρίοις χρηστέον τοῖς πρὸς τὰ τοιαῦτα ἐγγεγραμμένοις, καὶ μάλιστα τῷ μεγάλῳ διαρρόδῳ, οὗ ὑμῖν τὴν γραφὴν ἐθέμην οὕτως. Κολλούριον διάρροδον τὸ μέγα καλούμενον. Ῥόδων χλωρῶν ἐξωνυχισμένων < β', καδμίας κεκαυμένης, καὶ πεπλυμένης < δ', κρόκου < ϛ', ὀπίου, στίμμεως ἀνὰ < γ', ἰοῦ < δ', λεπίδος χαλκοῦ < β', νάρδου ἰνδικῆς < α', σμύρνης < γ', κόμμεως < κδ', ὕδωρ ὄμβριον. πεπείραται πολλάκις ἡμῖν, ποιοῦν πρὸς περιωδυνίας, φλυκταίνας, ἐπικαύματα, σταφυλώματα, προπτώσεις, καὶ ὑποπύους ὀφθαλμούς, πρός τε ῥεύματα παλαιὰ καὶ χρόνια, καὶ δυσαπαλλάκτους διαθέσεις. Κολλούριον τὸ δι' ᾠῶν, ποιοῦν πρὸς ἄνθρακας καὶ ἕλκη καὶ προπτώσεις, * καὶ ὑποπύους ὀφθαλμούς, πρός τε ῥεύματα. Σποδίου, κρόκου, ἀμύλου, τραγακάνθης ἀνὰ < η', ἀναλάμβανε ᾠῶν ὀκτὼ τοῖς λευκοῖς αὐθημερόν. τοῦτο καὶ πρὸς μίαν ἔγχρισιν τοῦ ὑμένος τῶν ὀφθαλμῶν εὔθετόν ἐστι. Κολλούριον τὸ διάρροδον ἄλλο ποιοῦν πρὸς ὑποπύους ὀφθαλμοὺς καὶ σταφυλώματα, καὶ μυοκέφαλα, καὶ σφακελιζούσας ὀφθαλμίας· ἐπὶ μὲν τῶν σταφυλωμάτων μετὰ γάλακτος, ἐπὶ δὲ τῶν ἄλλων, μετὰ ᾠῶν. Καδμίας κεκαυμένης καὶ πεπλυμένης, < η', χαλκοῦ κεκαυμένου < δ', ῥόδων ξηρῶν < δ', ὀπίου θηβαΐου < β', κρόκου κιλικίου < δ', * ἐν ἄλλῳ < α', σμύρνης < α', λίθου σχιστοῦ < β', κόμμεως < ϛ', οἴνῳ ἀθαλάσσῳ ἢ πασσίτῃ ἀναλάμβανε. ἱκανὰ μὲν καὶ ταῦτα πρὸς τὰς εἰρημένας διαθέσεις. εἰσὶ δὲ καὶ ἄλλων κολλουρίων γραφαὶ τοιαῦτα ποιεῖν δυνάμεναι, καὶ μάλιστα τοῦ καλουμένου διαθήκης τοῦ κολλουρίου, καὶ τοῦ θεοδοτίου, καὶ ὅσα παραπλησίας εἰσὶ συνθέσεως. ἀλλ' ἵνα μὴ καὶ ἡμεῖς ταῦτα γράφοντες, πάντων τῶν κολλουρίων μεμνημένοι τὸν λόγον μηκύνωμεν, περί τε πτερυγίων καὶ αἰγιλώπων ὀλίγα προσθέντες, τὸν περὶ τῶν ὀφθαλμῶν διαλύσομεν λόγον.

ζ' Πρὸς πτερύγια καὶ συκώσεις.

Χαλκάνθου, ἁλὸς ἀμμωνιακοῦ, κόμμεως ἴσα ὄξει λειώσας, ποίει κολλούριον καὶ χρῶ.

Ἄλλο. Ὀπὸν αἰγείρου μετὰ διπλοῦ μέλιτος ἔγχριε. Ἄλλο. Σηπίας ὄστρακον καυθὲν καὶ λειωθὲν ἅμα ἁλσὶν ὀρυκτοῖς, ἀποτήκει τὰς ἐν ὀφθαλμοῖς ὑπερσαρκώσεις καὶ πτερύγια. Ἄλλο πρὸς τὰς ἐν βλεφάροις τραχύτητας. Σηπίας ὄστρακον ἄκαυστον λαβὼν, διάγλυφον παραπλήσιον κολλυρίῳ, καὶ * ἀνάτριβε. οὕτω γὰρ καὶ τὰ καθαρτικὰ τῶν κολλουρίων τὴν οἰκείαν ἄμεινον ἐνδείκνυσιν ἐνέργειαν.

η' Πρὸς ῥυάδας.

Η ῥύσις γίνεται μειωθέντος τοῦ κανθοῦ, ἔστι δὲ ὅτε καὶ τελείως ἀπολλυμένου. ἀλλ' εἰ συμβῇ τοῦτο γενέσθαι, ἀνίατος ἡ τοιαύτη ῥυὰς γίνεται. ἐπισκέπτεσθαι οὖν δεῖ καὶ κατα-

νοσεῖν τῷ ὅλῳ σώματι. καὶ εἰ κακόχυμον ὂν τύχῃ, καθαίρειν αὐτὸ δηλονότι, καὶ οὕτω προσφέρειν τὰ μετρίως στύφοντα, μετὰ τοῦ μιγνύειν μετὰ τὴν αὔξησιν τὴν σῆψιν δυναμένων, οἷά πέρ ἐστι τὰ δι᾽ οἴνου σκευαζόμενα κολλούρια, συμμιγνύμενα τοῖς διὰ γλαυκίου καὶ κρόκου συγκειμένοις. καὶ τὸ ξήριον δὲ καλῶς ποιεῖ, τὸ διὰ κρόκου καλούμενον, καὶ ἡ ἀλόη μόνη μᾶλλον ἐπιπασσομένη. δεῖ δὲ πρότερον ἀποπλύνειν οἴνῳ, καὶ οὕτως ἐπιπάσσειν αὐτὴν χνοώδη, κατὰ μικρὸν ποιοῦντα τὴν προσθήκην. Ἄλλο καλῶς ποιοῦν πρὸς αἰγίλωπας. Τοῦ ὑοσκυάμου τὰ φύλλα χλωρὰ πάνυ καθεψήσας ἐν οἴνῳ, καὶ λεῖα ἐπιτιθεὶς κατὰ τοῦ μετώπου, καλῶς ποιεῖ. καὶ μόνος δὲ ὁ οἶνος ποιεῖ καθ᾽ ἑαυτὸν καλῶς, εἴ τις ἀποβρέχων σπογγιὰν ἐν αὐτῷ συνεχῶς ἅπτοιτο τοῦ μετώπου. εἰ δὲ καὶ στυπτηρίαν ἐμβάλλεις τῷ οἴνῳ καὶ συνεψήσεις, ἔτι δραστικώτερον καὶ ξηραίνειν δυνάμενον καὶ ἀποκρούειν ἐπὶ πλέον ἐργάσῃ τὸν οἶνον. Πρὸς αἰγίλωπας. Τοὺς αἰγίλωπας εὐθὺς κατ᾽ ἀρχὰς συνισταμένους, ἀδήκτοις καὶ ξηραίνειν δυναμένοις ἰᾶσθαι δεῖ βοηθήμασιν. ὑπὸ γὰρ τῶν δακνόντων ἢ δριμυττόντων φαρμάκων κακῶς διατίθεται, καὶ εἰς ὄγκον ἔρχεται πλείονα. Πρὸς ἀρχομένους αἰγίλωπας. Πρὸς τοὺς ἀρχομένους αἰγίλωπας καλῶς ποιεῖ γλαύκιον καὶ κρόκος, ἅμα χυλῷ περδικιάδος ἐπιχριόμενα. ἀλλάσσειν δὲ δεῖ συνεχῶς τὸ βοήθημα. ἐγὼ γοῦν ἀρχομένους ἤδη πως, καὶ μὴ φθάσαντας εἰς πῦον τραπῆναι, τούτοις χρησάμενος, ἐκώλυσα μεταβληθῆναι. Ἄλλο. Ἅλιξ ἑψηθεὶς ἐν ὄξει οὐ μόνον ἀρχομένους αἰγίλωπας, ἀλλὰ καὶ τοὺς ἤδη χρονίσαντας, καὶ εἰς πῦον φθάσαντας μεταβληθῆναι, θαυμαστῶς ἰάσατο. δεῖ δὲ λειωθέντα καλῶς, ἐπιτιθέναι. εἰ δὲ καὶ πῦον εὑρεθῇ περιεχόμενον, ῥήγνυσιν αὐτό, καὶ ἄχρι τοῦ ὀστέου κάτεισιν. οὕτως ἰσχυρόν ἐστι βοήθημα. τούτῳ καὶ μόνῳ χρησάμενος, οὐ μόνον αἰγίλωπας, ἀλλὰ καὶ αἰγίλωπας χρόνῳ οἶδα θεραπεύσας. Ἄλλο. Πήγανον ἥμερον ἅμα τῷ περιφράκτῳ λειούμενον, καλῶς πάνυ διασκεδάζει τοὺς αἰγίλωπας, καὶ θεραπεύει. ὀλίγον δὲ τὸ βοήθημα παρ᾽ αὐτὰ ἐπιτιθέμενον δάκνει. ὕστερον δὲ οὐκέτι, καὶ τὸ θαυμαστόν, καθάπερ ἕν τι τῶν καυστικῶν, οὕτω καὶ τοῦτο φάρμακον κάτεισιν ἄχρι τοῦ ὀστέου, καὶ οὐ ποιεῖ τὴν * Ἄλλο διὰ πείρας.

Τὸν ἔσωθεν ὑμένα τοῦ καλάμου, τὸ στρογγυλοειδὲς εἴωθεν εὑρίσκεσθαι περὶ τοὺς κονδύλους, λαβὼν ἔμβαλε εἰς μέλι καὶ ἐπιτίθει, ἀλλάσσων τετράκις τῆς ἡμέρας. καὶ ὅταν ἀποκαθάρῃς τὸν τόπον καλῶς, μηκέτι τῷ ἀπόπλυνε μετὰ σπόγγου ὀφθαλμικοῦ, καὶ ἐπιτίθει τὸν εἰρημένον ὑμένα τοῦ καλάμου καθ᾽ ἑαυτόν, καὶ θαυμάσεις.

Κεφάλαια τοῦ τρίτου τόμου.

α' Περὶ τῶν ἐν τοῖς ὠσὶ παθῶν.

Περὶ τῆς δι' ἔμφραξιν γινομένης ὀδύνης.

Διάγνωσις πότερον διὰ πνεῦμα, ἢ χυμοὺς γλίσχρους, ἢ φλεγμονὴν ἡ ὀδύνη γίνεται.

Θεραπεία τῆς δι' ἔμφραξιν χυμῶν ἢ πνεύματος γινομένης ὀδύνης.

Πρὸς τὰς λύσεις ὀδύνης ἐμφράξεως.

β' Πρὸς βαρυκοΐαν καὶ πόνον σύνθετον βοήθημα.

γ' Περὶ ὀδύνης διὰ ψυχρὰν αἰτίαν γινομένης.

δ' Περὶ τῆς διὰ θερμὴν δυσκρασίαν γινομένης ὀδύνης.

ε' Περὶ φλεγμονῆς ἔνδον συστάσης περὶ τὸν ἀκουστικὸν πόρον.

Πυρία πρὸς ὠταλγίαν, ἢ διὰ σπόγγων καὶ θερμοῦ ὕδατος.

Περὶ καταπλασμάτων.

Ὠτικὸν ἀνώδυνον, πάνυ καλὸν, συνεχῶς ἐγχυματιζόμενον ἐφ' ὧν ἂν καὶ φλεγμονὴ καὶ τάσις παρῇ, κἂν σφοδραὶ πάνυ ὦσιν αἱ ὀδύναι.

Πρὸς τὰς μὴ πάνυ ζεούσας φλεγμονάς.

Πρὸς τὰς διὰ φλεγμονὴν γινομένας ὀδύνας, καὶ εἰς πῦον κινδυνευούσας μεταβάλλεσθαι.

Πρὸς τὰς ἀπὸ πληγῆς καὶ ῥεύματος φλεγμονάς. Πρὸς ὤτων ἑλκώσεις.

Πρὸς ὤτων χρόνια ἕλκη. Πρὸς τοὺς ἔχοντας πολὺ πῦον.

Πρὸς τὰ πάνυ ῥυπαρὰ καὶ νεμόμενα. Πρὸς τὰ αὐτὰ πάνυ καλόν.

Πρὸς τὰ ῥυπαρὰ τῶν ἑλκῶν καὶ πυορροοῦντα καὶ ὑπερσαρκοῦντα.

Πρὸς τὰς πάνυ χρονίας ἑλκώσεις.

Πρὸς τὰ καταγνύμενα τῶν ὤτων καὶ θλώμενα ἐκ πληγῆς. Πρὸς τὸ αὐτό.

ϛ' Περὶ ἤχων.

Ἄλλο πρὸς ἤχους πεποιημένον. Πρὸς τοὺς ἐκ νόσου ἤχους.

Περὶ τῶν ἐχόντων ῥύπον τοῖς ὠσίν.

Πρὸς ἐμπίπτον ὕδωρ εἰς τὴν ἀκοήν.

Περὶ τῶν ἐμπιπτόντων εἰς τὴν ἀκοὴν λιθαειδίων, ἢ ἄλλων τινῶν.

Περὶ τῶν σκωλήκων τῶν ἐν τοῖς ὠσίν.

ζ' Περὶ τῶν ἀπὸ κατάρρου γινομένων ὀδυνῶν.

η' Περὶ τῆς ἐκ τῶν ὤτων αἱμορραγίας.

Ἐφεκτικὸν αἱμορραγίας. Ἄλλο πρὸς τὸ αὐτό.

Ὥστε μὴ θρομβοῦσθαι τὸ αἷμα ἐν τοῖς ὠσί.

θ' Περὶ κωφώσεως.

Ἀλάτιον. Περὶ ἀποφλεγματισμῶν.

Περὶ φαρμακῶν πρὸς δυσηκοΐαν καὶ κώφωσιν.

ΑΛΕ-

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Περὶ τῶν ἐν τοῖς ὠσὶ παθῶν. α'



Ἡ ἀκοὴ πολλοῖς πάνυ καὶ ποικίλοις ὑπόκειται παθήμασι. ἢ γὰρ διὰ ψυχρὰν πολλάκις καὶ θερμὴν δυσκρασίαν, ἔσθ' ὅτε καὶ δι' ἔμφραξιν γλίσχρων χυμῶν, καὶ διὰ φλέγμα φυσῶδες, καὶ φλεγμονὴν ἔξωθεν ἢ ἔνδοθεν συστᾶσαν τοῦ πόρου, καὶ δι' ἐπιρροὴν θερμοῦ αἵματος χολώδους, καὶ δι' ἄλλας αἰτίας πάνυ πολλάς, περὶ ὧν ἁπάντων λεχθήσεται μετὰ τὸν προσήκοντα διορισμόν. ἀρξώμεθα τοίνυν ἀπὸ τῆς ὀδύνης πρότερον, ἐπειδὴ καὶ μάλιστα τὸ σύμπτωμα τοῦτο πρὸς θεραπείαν ἐγείρει τὸν τεχνίτην.

Περὶ τῆς δι' ἔμφραξιν γινομένης ὀδύνης.

Ἀλλ' ἐπειδὴ γίνεται ἢ δι' ἔμφραξιν παχυτέρου πνεύματος ἡ ὀδύνη, καὶ διὰ γλίσχρους ἢ παχεῖς χυμοὺς οὐκ ἔχοντας διέξοδον, ἀναγκαῖόν ἐστι διακρῖναι τὸ ποιοῦν αἴτιον τὴν ὀδύνην.

Διάγνωσις πότερον διὰ πνεῦμα, ἢ χυμοὺς γλίσχρους, ἢ φλεγμονὴν ἡ ὀδύνη γίνεται ἐν τοῖς ὠσί.

Στοχάσαιτο δ' ἄν τις τεχνικῶς τοῦ μᾶλλον δι' ἔμφραξιν παχυτέρων καὶ γλίσχρων χυμῶν γίνεσθαι τὴν ὀδύνην, ἐκ τοῦ βάρους αἰσθάνεσθαι τὸν κάμνοντα τῆς κεφαλῆς, ἢ τὰ προηγησάμενα σιτία ἢ πόματα ψυχροτέρων καὶ ὑγροτέρων εἶναι γεννητικὰ χυμῶν. εἰ δὲ διάτασις μὲν γένοιτο, βάρους δὲ μηδὲ ὅλως αἰσθάνοιτο περὶ τὴν κεφαλὴν ἢ ἀκοήν, εὔδηλον * ὡς πνεῦμα φυσῶδες ἢ παχὺ μὴ εὑρίσκον διέξοδον, ὑπολαμβάνειν εἶναι μᾶλλον τὸ τῆς ὀδύνης αἴτιον. εἰ δὲ καὶ βάρους ἅμα καὶ διατάσεως, καὶ θέρμης, καὶ σφυγματώδους ὀδύνης συναίσθησις γένοιτο, φλεγμονὴν ἀκόλουθον ὑπονοεῖν εἶναι τὴν ποιοῦσαν αἰτίαν τὴν ὀδύνην, ἐξ ἐπιρροῆς αἵματος ἐκθερμανθέντος ἐσχηκυῖαν τὴν γένεσιν. καὶ χρὴ τὴν ἐν ἀγκῶνι φλέβα πρότερον τέμνειν, εἶθ' οὕτως ἐπὶ τὰ τὰς φλεγμονὰς παύειν ἐπαγγελλόμενα χωρεῖν βοηθήματα. δῆλον δὲ ὅτι καὶ ἐπὶ τῶν ἄλλων χυμῶν τὸ αὐτὸ δεῖ ποιεῖν, καὶ θεωρεῖν πότερον ποσότητι λυποῦσιν οἱ χυμοί, ἢ ποιότητι. καὶ εἰ μὲν τῷ πλήθει τὴν ὀδύνην ἐργάζονται, διαιτητέον μὲν πρότερον, τὰ μὲν εἶναι δοκοῦντα χολώδη κατακιρνᾶν, διά τε θριδακίνης καὶ σικύων, ἢ ἰντύβων, καὶ πεπόνων, καὶ μήλων, καὶ μαλάχης, ἢ ἰχθύων τοῖς σκληροσάρκοις, καὶ τοῖς τὸν χολώδη μεταβάλλουσι ἢ θερμὸν χυμόν, ὁμοίως δὲ ἢ τὰ φλεγματώδη λεπτύνοντα διά τε τροφῆς καὶ φαρμάκων. οὕτω γὰρ προαντλούντων ἡμῶν, οἱ πλεονάζοντες χυμοὶ διὰ τῶν καθαιρόντων φαρμάκων εὐχερῶς ἐκλυθήσονται, καὶ τὰ προσφερόμενα ταχυτέραν ὠφέλειαν ἐπιδείξονται.

Θεραπεία τῆς δι' ἔμφραξιν χυμῶν, ἢ πνεύματος γινομένης ὀδύνης.

Εἰ μὲν οὖν δι' ἔμφραξιν ἐκ τῆς φλεγμονῆς ἡ ὀδύνη γένοιτο, δῆλόν ἐστιν ὡς τούτοις ἁρμόζει προσφέρειν ὅσα ῥύπτειν καὶ τέμνειν τῶν βοηθημάτων εἰσὶν ἐπιτήδεια, οἷόν ἐστι τὸ ἀφρόνιτρον, ὀλίγου μιχθέντος αὐτῷ μέλιτος ἢ ὄξους. καὶ χολὴ δὲ προβατεία τούτοις ἁρμόζει μετὰ ἐλαίου προσφερομένη. καλὸν δὲ καὶ ἀμυγδάλινον εἴη τὸ ἔλαιον. Ἄλλο. Ὁ πράσου χυλὸς ἐνσταζόμενος καθ' ἑαυτὸν καλῶς ποιεῖ, καὶ μετὰ

ὀλίγου μέλιτος. Ἄλλο. Κρομμύων χυλὸν μετὰ μέλιτος μίξας, ἔνσταζε. Ἄλλο. Ὀρίγανον τρίψας μετὰ μέλιτος καὶ γάλακτος γυναικείου, ἐγχυμάτιζε. Ἄλλο. Χολὴν αἰγείαν μετὰ πράσου χυλοῦ πρὸς τὰς σφοδροτέρας ἐμφράξεις πρόσφερε. πολλὰ δέ εἰσι καὶ ἄλλα τοῖς παλαιοῖς εἰρημένα καὶ ἁπλᾶ καὶ σύνθετα βοηθήματα, ταῖς γινομέναις ἐμφράξεσιν ἐκ χυμῶν, ἢ πνεύματος φυσώδους ἁρμόζειν δυνάμενα. ἐξ ὧν εὐχερές ἐστι λοιπὸν ἐκλέγεσθαι πάμπολλα, τῆς λυπούσης αἰτίας γνωρισθείσης ἡμῖν. ἐπιλέγεσθαι δὲ μᾶλλον, ὅσα ῥύπτειν καὶ τέμνειν, καὶ καθαίρειν ἄνευ σφοδρᾶς δήξεως πέφυκεν, ἀλλ' ἐπ' ἐκείνων ἁρμόζει φεύγειν τὰ τοιαῦτα, ἐφ' ὧν ἐστιν ἡ ὀδύνη μεγάλη, καὶ πλήθους ὑπόνοια. πολλάκις γὰρ τὰ τοιαῦτα, καὶ τοῦ ῥευματισθῆναι μᾶλλον αἴτια γίνεται, καὶ παροξυνθῆναι τὴν ὀδύνην ἐπὶ πλέον. ἐφ' ὧν δὲ ὁ πόνος οὐ πολύς, ἀλλὰ καὶ χρονία τις διάθεσις φαίνοιτο, καὶ δυσχερῶς ἀκούει τῶν λεγομένων, ἐπὶ τῶν τοιούτων οὐδέν ἐστιν ἄτοπον καὶ τοῖς ἐπὶ πλέον δάκνειν τε καὶ ῥύπτειν δυναμένοις κεχρῆσθαι. ἐξ ὧν ἐστι καὶ τοῦ δρακοντίου ὁ χυλός, ἀσάρου τε καὶ βρυωνίας, καὶ τὰ τούτοις ὅμοια. Πρὸς τὰς ἄνευ ὀδύνης ἐμφράξεις. Ἐλλεβόρου λευκοῦ < β, νίτρου < ιϛ', κρόκου < γ', ποίει τροχίσκους ἐν ὄξει λειώσας, καὶ χρῶ πρὸς τὰς ἄνευ ὀδύνης ἐμφράξεις, καὶ ἐπὶ τῶν βαρυκοούντων. Ἄλλο. Ἐλλεβόρου μέλανος ῥίζας μετὰ ὄξους καὶ μέλιτος λειώσας, ἔνσταζε. δῆλον δὲ ὅτι οὐδὲν δεῖ ψυχρὸν προσφέρειν τῇ ἀκοῇ, ἀλλὰ προθερμανθέντα· καὶ πολλὰ μᾶλλον πύκνωσιν καὶ ἔμφραξιν ὑπονοούμενα. Ἄλλο. * Πευκεδάνου ὀπὸς σὺν ἰρίνῳ ἐλαίῳ ἢ ἀμυγδαλίνῳ, ἢ σεύτλου χυλὸς σὺν χολῇ ταυρείᾳ λειούμενος, ἐνσταζέσθω. Ἄλλο. Εἰς χολὴν βοὸς κροκίδα βρέξας καὶ λειώσας, ἐντίθει εἰς τὸ οὖς. Ἄλλο. Χολὴν βοείαν ἢ προβατείαν ἔνσταζε, ἢ αἰγὸς οὖρον ἐγχυμάτιζε συνεχῶς.

β' Πρὸς βαρυκοΐαν καὶ πόνον σύνθετον βοήθημα.

Σμύρνης < α', λιβάνου < γ', ἀμυγδάλων πικρῶν κεκαθαρμένων κοκκία κ', ἀφρονίτρου < α', κρόκου < δ', ὀπίου < γ', χαλβάνης < β'. ἡ χαλβάνη μετὰ ἀμυγδάλων λειοῦται κατ' ἰδίαν, καὶ ἀναλαμβάνεται ὄξει σὺν τοῖς λοιποῖς. χρῶ ἐπὶ μὲν παρωδυνίας, σὺν ῥοδίνῳ, ἐπὶ δὲ δυσηκοΐας, σὺν ὄξει. Ἄλλο πρὸς πολλὰ ποιοῦν. Πεπιστευμένον βοήθημα, καὶ μάλιστα ἐπὶ τῶν χρονίων ἤχων καὶ νεμομένων, καὶ τῶν διὰ πνεῦμα, καὶ γλίσχρους χυμοὺς πάνυ δυσηκοούντων, ὡς καὶ εἰς κώφωσιν μέλλειν περιπεσεῖν. ποιεῖ δὲ καλῶς καὶ πρὸς τοὺς χρονίους ἤχους καὶ συριγμοὺς κεδρία ἱερατικὴ λειωθεῖσα μετὰ ὄξους. χρῶ πρὸς τὰ εἰρημένα πάντα ἐγχέων διὰ μηλωτίδος, ἢ ῥάκους λείων, ἢ στυπίον, ἢ ἔριον, ἢ ὡς βούλει ἐπινοῶν. ἔστι γὰρ τῶν πάνυ δραστικῶν βοηθημάτων.

γ' Περὶ ὀδύνης διὰ ψυχρὰν αἰτίαν γινομένης.

Εἰ μὲν οὖν ἡ ὀδύνη γένηται προηγησαμένων ψυχρῶν ἀνέμων καὶ ὑγροτέρων, καὶ λουτρῶν τοιουτοτρόπων, εὔδηλον ὡς καὶ ἡ θεραπεία τούτων εὐχερής, καὶ δεῖ τοῖς δυναμένοις θερμαίνειν βοηθήμασι κεχρῆσθαι. πολλὰ δέ εἰσι καὶ ἐν τοῖς ἁπλοῖς τοῦτο ποιεῖν δυνάμενα, καθάπερ καὶ ἡ καλλίστη νάρδος καθ' ἑαυτὴν θερμαινομένη, καὶ τὸ πήγανον ἑψόμενον ἐλαίῳ. πρὸς δὲ τὰς μεγίστας ψύξεις καὶ τὸ πέπερι μετὰ ἐλαίου καλῶς ποιεῖ, καὶ εὐφόρβιον ὁμοίως, καὶ τὸ σκόροδον, κρόμμυόν τε, καὶ δάφνης φύλλα, καὶ

στύραξ, καὶ κασία, καὶ κάλαμος ἀρωματικὸς, καὶ τὸ ἴρινον, καὶ τὸ ἀμαράκινον ἔλαιον, καὶ τὸ ὀποβάλσαμον. οὕτω μὲν οὖν ἰᾶσθαι δεῖ τὰς διὰ ψυχρὰν δυσκρασίαν γινομένας ὀδύνας.

Περὶ τῆς διὰ θερμὴν δυσκρασίαν γινομένης ὀδύνης. δ'

Τὴν δὲ ὑπὸ θερμασίας γινομένην ὀδύνην ἢ δριμέος χυμοῦ, τοῖς ἐναντίοις καὶ αὐτὴν ἰᾶσθαι δεῖ, πρὸς τὸ μέγεθος τῆς ποιούσης αἰτίας τὸ κατάλληλον ἐφαρμόζοντα. πρὸς μὲν οὖν τὰς μετρίας δυσκρασίας ἄριστα ποιεῖ καὶ τὸ λευκὸν τοῦ ὠοῦ, ὥσπερ ἐπὶ τῶν ὀφθαλμῶν ἐπιχεόμενον ἠρέμα χλιαρὸν μετὰ γάλακτος γυναικείου, ὡσαύτως μετά τινος τῶν ἀνωδύνων κολλουρίων, καὶ ὁ χυλὸς τῆς περδικιάδος καλῶς ποιεῖ, καὶ καθ' ἑαυτὸν, καὶ μετ' ὀλίγου ῥοδίνου μιγνύμενος. καὶ αὐτὸ δὲ τὸ ῥόδον μετὰ βραχέος ὄξους, καὶ μάλιστα ἐπὶ τῶν ζεουσῶν πάνυ καὶ διαπύρων δυσκρασιῶν. ὁμοίως δὲ καὶ ὁ χυλὸς τοῦ στρύχνου, καὶ τοῦ κοριανοῦ, καὶ τοῦ ἀσφοδέλου, μεγάλως ὠφελοῦσιν. Ἄλλο. Κηρύκια ἔχοντα τὴν σάρκα ζῶσαν ἔτι σύνεψον μετ' ἀμυγδαλίνου ἐλαίου, καὶ χρῶ. Φυσικῶς δὲ τοῦτο ποιεῖ καὶ * ὁ οἶνος. τὸ αὐτὸ τοῦτο ποιοῦσιν οἱ παρὰ τὰς ἱδρύας εὑρισκόμενοι, καὶ τὰ τῆς γῆς ἔντερα παραπλησίως.

Περὶ φλεγμονῆς ἔνδον συστάσης περὶ τὸν ἀκουστικὸν πόρον. ε'

Εἴτε ὁ τῆς ἀκοῆς πόρος, εἴτε τι ἄλλο τῶν ἔνδον μερῶν αὐτῆς φλεγμαίνει πολλάκις, ὀξυτάτοις κινδύνοις τῇ γειτνιάσει τῆς χώρας καὶ τῷ γένει τῆς οὐσίας ἐπιφέρει. τὸ γὰρ νεῦρον τὸ ὑπαλεῖφον τὴν ἔνδον τῆς ἀκοῆς ἐπιφάνειαν, αἰσθητικὸν ὑπάρχον, ἰσχυρὰς ὀδύνας καὶ ὀξείας ἐργάζεται, ὥστε καὶ εἰς συμπάθειαν ἄγειν τὸν ἐγκέφαλον, ὡς πυρετοὶ καὶ παραφροσύναι τοῖς οὕτω πάσχουσιν ἐπιγίνονται, ἔσθ' ὅτε δὲ καὶ ὀλέθριοι. καὶ οἱ μὲν νέοι ἀπόλλυνται ἀπὸ τῆς ὀξυτάτης αὐτοῖς συμβαινούσης ὀδύνης, ἢ ὑπὸ παραφροσύνης, ἢ ὑπὸ τῶν γινομένων πυρετῶν· οἱ δὲ πρεσβῦται, πυρετῷ μὲν οὐχ ἁλίσκονται πολλάκις, οὐδὲ σπασμώδει διαθέσει, οὐδὲ παραφροσύναις. ὁ γὰρ χυμὸς ὁ πλεονάζων αὐτοῖς ψυχρότερος ὢν ἅμα καὶ παχύτερος, αὐτὸς ἑαυτοῦ δεσμὸς γενόμενος, ἐν τῷ πεπονθότι τόπῳ μένει. καὶ αὐτὸς χρόνῳ μακρῷ ἄρχεται ἐκπυΐσκεσθαι, καὶ κατὰ βραχὺ ἡ δύναμις ἀσθενοῦσα πρὸ τοῦ πεμφθῆναι ἐπάγει τὸν θάνατον. ἡ γὰρ ὕλη μὴ κρατουμένη λοιπὸν συρρεῖ πρὸς τὰ κυριώτερα μόρια. ἐπὶ δὲ τῶν νέων οὐ ταχέως ἐκπυΐσκεται. τὸ γὰρ ὀξὺ τῆς ὀδύνης τὴν φύσιν τῆς ἐκπυήσεως προλαμβάνει. εἰ δὲ καί ποτε δόξει τὴν φλεγμονὴν εἰς πῦον μεταβαλεῖν, ἀπαλλάττονται τῆς ὀδύνης, καὶ σωτηρίας τυγχάνουσιν. πρὸς μὲν τὰς μετρίας οὔσας φλεγμονὰς ἁρμόζει τό, τε ῥόδινον αὐτὸ καθ' αὑτὸ καταχεόμενον, καὶ μετ' ὀλίγου ὄξους· ὁμοίως δὲ καὶ γλαύκιον * ἐπακονησάμενα, τριβόμενον μετ' ὀλίγου ὄξους, καὶ χλιαρὸν ἐπιχεόμενον, καὶ τὰ διὰ γλαυκίου καὶ κρόκου σκευαζόμενα πάντα τὸν αὐτὸν τρόπον, καὶ αὐτὰ πρὸς μετρίας φλεγμονάς· ὁ δὲ ἐκ τῶν ξεσμάτων τῆς κολοκύνθης, καὶ πρὸς τὰς μεγίστας ἐρυσιπελατώδεις ποιεῖ διαθέσεις, καὶ καθ' ἑαυτὸ, καὶ σὺν ῥοδίνῳ, καὶ γλαύκιον δὲ μικρὸν ἴσον ὀπίῳ μετὰ γάλακτος γυναικείου ἐγχεόμενον, ὁμοίως τὰς ζεούσας φλεγμονὰς καὶ τὰς μεγίστας ὀδύνας οἶδε παρηγορεῖν. ὁμοίως δὲ καὶ τὸ καστόριον ἐπὶ τῶν μεγάλων πόνων ἴσον ὀπίῳ μιγνύμενον, καὶ λειούμενον σὺν ἑψήματι, καὶ ἐμβαλλόμε-

νον κατὰ τοῦ ὠτίου χλιαρόν, παρηγορεῖ γενναίως. δῆλον δὲ ὅτι τὸ ὄπιον ἐκλέγεσθαι δεῖ
τὸ παλαιόν, διὰ τὸ φεύγειν ἡμᾶς τὸ πάνυ ναρκωτικὸν αὐτοῦ. ἐγὼ γὰρ οἶδά τινα μό-
νῳ τῷ ὀπίῳ χρησάμενον, καὶ ἄφωνον, καὶ ἀναίσθητον ποιήσαντα τὸν κάμνοντα, ὡς μη-
κέτι μηδὲ ὀποβαλσάμου, μηδὲ ἄλλων τινῶν ἐμβληθέντων θερμῶν, ἀναστῆσαι δυνη-
θῆναι τὸν ἄνθρωπον. διὰ τοῦτο χρὴ, εἰ καὶ διὰ πολλὴν ὀδύνην ἀναγκασθείη τις
τῷ ὀπίῳ χρήσασθαι, ἢ ἄλλῳ τινὶ τῶν ναρκωτικὴν ἐχόντων δύναμιν, δεῖ ἅπαξ αὐτὸ
προσφέρειν, ἢ δεύτερον· ὕστερον δὲ ἐμβάλλειν καστόρειον, σὺν ἐλαίῳ χλιαρῷ, καὶ ἔξω-
θεν ἔριον βεβρεγμένον θερμῷ ἐλαίῳ, ἢ ναρδίνῳ ἔχοντι στέαρ χήνειον, περιτιθέναι
πανταχόθεν, μηχανώμενον ἰᾶσθαι τὴν ἐκ τῶν ψυχόντων γινομένην νάρκωσιν. με-
τρίας δὲ τῆς φλεγμονῆς οὔσης, καὶ μὴ πάνυ ζεούσης, καὶ ὅπου μὴ ἐστὶ πυρετὸς
πάνυ θερμὸς, ἢ μὴ ἀκμάζων τὴν ἡλικίαν, καὶ βραχὺ τῆς τετραφαρμάκου λαμ-
βάνοντα, ἣν τινες καὶ βασιλικὸν καλοῦσι, μιγνύειν αὐτῷ δεῖ νάρδου μύρου, εἰ χει-
μὼν εἴη· εἰ δὲ θέρος, ῥοδίνου. καλῶς δὲ ποιεῖ καὶ τὸ στέαρ τῶν χηνῶν, ἢ τῶν φασιανῶν
αὐτῇ περιπλεκόμενον. γινέσθω δὲ οὕτως, ὥσπερ καὶ ὁ θειότατος γαληνός φησιν.
» ἔχει δὲ αὐτοῦ ἡ ῥῆσις οὕτως, * Εγὼ δὲ οὐκ ἐγχέω τοῖς περιοδυνωμένοις φάρμακον
» οὐδὲν, οὐδὲ ἐκμάττω δι᾽ ἐρίου, τῇ πείρᾳ διδαχθεὶς, ὡς ἄμεινόν ἐστι μηδὲ ψαύειν τοῦ
» πόρου τοῦ ἀκουστικοῦ, κατὰ τὸν καιρὸν τῆς ὀδύνης. διὰ μηλωτίδος οὖν ἀμφιεσθεί-
» σης ἐρίῳ, πυριῶ τοὺς περιοδυνῶντας, ἐμβάλλων τόδε τὸ φάρμακον, ὧδέ πως κε-
» χλιασμένον, ἐν ὠτεγχύτῃ μετρίως οὕτως, ὡς πυνθανομένων ἡμῶν τοῦ κάμνον-
» τος, εἰ χλιαρὸν αὐτῷ φαίνοιτο, καὶ ἔτι δύναιτο φέρειν αὐτὸ θερμότερον, ἄχρι το-
» σούτου προσφέρειν τὴν θερμασίαν, ὡς μηδέπω λυπεῖν. βάπτων οὖν εἰς τὸ οὕ-
» τω παρεσκευασμένον φάρμακον τὴν μηλωτίδα κατὰ τὴν ἀρχὴν τοῦ πόρου,
» μετρίως ἀποτιθεὶς εἰς τὸ βάθος, ἀπορρεῖν ἐπέτρεπε. καὶ μετὰ τοῦτο, πάλιν αὖθις καὶ
» βάπτων τὸ αὐτὸ, μηδὲ διαλιπὼν χρόνον. εὔδηλον δὲ ὅτι τούτου γινομένου πάντως
» τι καὶ ἀπορρυήσεται εἰς τοὐκτὸς, πληρωθέντος ὅλου τοῦ ἀκουστικοῦ πόρου. τοῦτο τοί-
» νυν δέχου μετρίως καθ᾽ ὅσον οἷόν τε, μὴ ψαύων τοῦ πόρου. ἐπειδὰν δὲ ἱκανῶς πυ-
» ριάσῃς, ἐάσας τὸν πόρον πληρωθέντα τοῦ φαρμάκου, μαλακὸν ἐπιθεὶς ἔξωθεν ἔριον
» τῷ στόματι * καὶ παντὶ τῷ ὠτίῳ. καὶ ἐὰν δεήσῃ πυριῶσαι, πάλιν ἀτρέμα βαστάξας τὸ
» ἐπικείμενον ἔριον, ἔξωθεν αὖθις ὁμοίως φυλαττόμενος, ὡς οἷόν τε μηδὲ ἄλλου τινὸς
» μέρους τοῦ σώματος ἅψασθαι. καὶ τούτῳ γε πρόσεχε τὸν νοῦν ὡς μεγίστῳ παραγ-
» γέλματι, τῆς * τῶν ὤτων ἐπιμελείας. ταῦτα μὲν οὖν ἔγραψε γαληνὸς, παραγ-
γέλλων ἡμῖν ὡς ἐπὶ πάσης ὀδυνηρᾶς φλεγμονῆς δεῖ ταύτῃ κεχρῆσθαι μηδὲν
προσδιορισάμενος. ἐγὼ δὲ μᾶλλον ἡμῖν, ὥσπερ εἶπον, ἐπί τε νέων καὶ θερμῶν τὴν
κρᾶσιν, καὶ ἐφ᾽ ὧν ἐστὶ ζέουσα σφοδρὰ φλεγμονὴ, πολλάκις δὲ καὶ μετὰ πυρετοῦ,
δέδωκα κεχρῆσθαι, καὶ μάλιστα εἰ θέρους ὥρα τυγχάνει, καὶ ἐν χωρίῳ θερμῷ νοσεῖν
τὸν κάμνοντα. βέλτιον δὲ εἰ καὶ ἀναγκασθείη τῇ πυρίᾳ κεχρῆσθαι, διὰ τὸ σφοδρὸν
τῶν ὀδυνῶν, παραλαμβάνειν ἐπὶ τούτων τὴν διὰ σπόγγων ἀποβεβρεγμένων εἰς
θερμὸν ὕδωρ πυρίαν. Πυρία πρὸς ὠταλγίαν ἡ διὰ σπόγγων καὶ θερμοῦ ὕδα-
τος. Πυρίαις δὲ χρηστέον ταῖς διὰ σπόγγων εἰς θερμὸν ὕδωρ ἀποβεβρεγμένων, καὶ ἱκα-
νῶς ἐκτεθλιμμένων, καὶ ταῖς διὰ τῆς σικύας, ἐμβληθέντος ἐν αὐτῇ πρότερον ὕδα-
τος θερμοῦ, εἶτα κενωθέντος, καὶ προστιθεμένης κατὰ τοῦ ἀλγοῦντος ὠτός. ἀτμὸς γὰρ

τις ἐξ

τις ἐξ αὐτῆς πυρετὸς εἰσδυόμενος, παρηγορεῖ τὴν ὀδύνην. ἔτι δὲ καὶ τῆς διὰ τῶν ἀτμῶν τῶν συντετριμμένων καλάμων. χρὴ δὲ τὸ μὲν ἕτερον τοῦ καλάμου μέρος συναρμόσαι τῇ κοιλότητι τοῦ ὠτός, τὸ δ' ἕτερον ἐν χύτρᾳ πῶμα ἐχούσῃ τετρημμένον καὶ πανταχόθεν ἐστεγανωμένον. ἔστω δὲ ἀψίνθιον ἐν ὕδατι ἀπεζεσμένον ἐν αὐτῇ, ὥστε τὸν ἀναφερόμενον ἀτμὸν παραπίπτειν τῷ τῆς ἀκοῆς πόρῳ. δεῖ δὲ τὸν κάμνοντα ὑποκλίνειν τὸν τράχηλον ὑπὲρ τὴν χύτραν. περὶ δὲ τὴν ἀκοὴν ἔξωθεν ἔριον ἐπιτιθέναι πανταχόθεν, καὶ ἐξασφαλίσασθαι καλῶς, ὡς μὴ περικλείεσθαι τοὺς κύκλῳ τόπους. Περὶ καταπλασμάτων. Εἰ δὲ καὶ τὰ ἔξωθεν φαίνοιτο φλεγμαίνοντα, οὐδὲν ἄτοπον καὶ κριθίνῳ ἀλεύρῳ καταπλάττειν, ἢ πυρίνῳ ἑψηθέντι εἰς ἕψημα, ἢ εἰς γλυκὺν οἶνον, καὶ ἄστυφον· μάλιστα δὲ τοῖς καταπλάσμασι καὶ τοῖς προσόγοις χρηστέον, ἐφ' ὧν ἐκπυΐσκεσθαι τὴν ὕλην ὑπονοοῦμεν. εἰ γὰρ τι τοιοῦτον συμβῇ, τότε καὶ τοῖς διὰ γύρεως κεχρῆσθαι δεῖ, καὶ τῇ τετραφαρμάκῳ, καὶ ἄλλων ἔσθ' ὅτε περιπλεκομένων αὐτῇ κηρωτῶν, διὰ στεάτων ἐχουσῶν τὴν σύνθεσιν. δεῖ δὲ μᾶλλον σπουδάζειν ἀνεκπυήτους φυλάττειν τὰς φλεγμονάς. τοῦτο δὲ δυνηθείημεν ποιῆσαι ταῖς ὑπογεγραμμέναις χρησάμενοι γραφαῖς. Ὠτικὸν ἀνώδυνον.

Πάνυ καλὸν συνεχῶς ἐγχυματιζόμενον, ἐφ' ὧν ἂν καὶ φλεγμονὴ, καὶ διάτασις παρῇ, καὶ σφοδραὶ πάνυ ὦσιν αἱ ὀδύναι. Αλλο. Στέατος χηνείου ἢ ὀρνιθίου < ις, ὀπίου, σμύρνης, κρόκου ἀνὰ < ιβ'· θαῤῥῶν χρῶ· πάνυ ἐστὶ καλόν. Αλλο πρὸς τὰς μὴ πάνυ ζεούσας φλεγμονάς. Βούτυρον, μέλι, ὑσσωπον, ἴσα ἐκ πάντων χλιάνας ἔνσταζε. ποιεῖ καὶ πρὸς τὰ ῥυπαρὰ ἕλκη καὶ φλεγμαίνοντα. Αλλο πρὸς τὰς διὰ φλεγμονὴν γινομένας ὀδύνας, καὶ εἰς πῦον κινδυνευούσας μεταβάλλεσθαι.

Λιθαργύρου, ψιμμιθίου ἀνὰ < δ', ἐν ἄλλῳ Γο α', λιβάνου, γύρεως, ῥητίνης ἀνὰ < γ', ἐν ἄλλῳ ἀνὰ < ι', κολοφωνίας, κηροῦ, ἐλαίου ἀνὰ ℥ α', στέατος χηνείου νεαροῦ ℥ β', χυλοῦ λινοσπέρματος. ποιεῖ καὶ ἐπὶ ἀσθηνῶν, καὶ ἐπὶ ποδαγρικῶν διαθέσεων. Πρὸς τὰς ὑπὸ πληγῆς καὶ ῥεύματος φλεγμονάς. Βουτύρου προσφάτου ἀνείς, ἔνσταζε. στέαρ χηνὸς καὶ γάλα γυναικὸς ἀνεὶς ἔνσταζε. Αλλο. Γάλα γυναικεῖον κρόκῳ συλλειώσας, ἔξωθεν περίχριε, καὶ μάλιστα τῆς φλεγμονῆς ἐρυθρᾶς οὔσης. εἰ δὲ καὶ ἐπώδυνος εἴη, συμφέρει καὶ ὄπιον βραχὺ μίξαντα περιχρίειν. Αλλο.

Λιθάργυρον, καὶ γλαύκιον, καὶ κρόκον ὕδατι λειώσας καὶ ἑψήματι, περίχριε. Αλλο. Ψύλλιον τρίψας, μεθ' ὕδατος κατάπλαττε. Αλλο. Ψιμμίθιον, κορίου χυλὸν, ἢ στρύχνον μίξας περίχριε. Αλλο. Φακὴν ἑψήσας μετὰ ψιχῶν κατάπλαττε, ἐφ' ὧν καὶ ἕλκος ἐστὶ μετὰ φλεγμονῆς. Αλλο. Ροιὰς ἑψήσας μετὰ ψιχῶν, κατάπλασσε ἐπὶ τῶν αὐτῶν διαθέσεων. τὰ μὲν προειρημένα πάντα πρὸς τὰς χωρὶς ἕλκους εἰσὶ φλεγμονάς· καὶ δεῖ μᾶλλον διαφορεῖν αὐτὰς σπεύδειν. εἰ δὲ καὶ ἕλκος συμβῇ γενέσθαι, ἢ καὶ προγεγονὸς ὑπάρχον τύχῃ, ταῖς μελλούσαις εἰρῆσθαι δυνάμεσι χρηστέον. ἔχουσι δὲ οὕτω. Πρὸς ὤτων ἑλκώσεις. Γλαύκιον, λύκιον, καὶ μηκώνιον τρίψας μετὰ μέλιτος, ἐπίβαλλε τοῦτο· καὶ τὰς μετὰ φλεγμονῆς ἑλκώσεις παρηγορεῖ. Αλλο πρὸς ὤτων χρόνια ἕλκη. Κεδρία σὺν μέλιτι μιχθεῖσα καὶ ἐγχεομένη, καλῶς ποιεῖ. Αλλο πρὸς τοὺς ἔχοντας πολὺ πῦον. Μίσυ καύσας ἐν χύτρᾳ καὶ λεάνας, ἐμφύσα. Αλλο.

Ψιμμιθίῳ μετὰ μέλιτος χρῶ. καθαίρει πάνυ τὰ ῥυπαρά. Αλλο. Αλόην καὶ κρόκον ἀνεὶς ὕδατι χρῶ. Αλλο. Λιβανωτὸν ἀνεὶς οἴνῳ χρῶ, τοῦτο καὶ τοῖς ἄρκοι. Αλλο.

Σπόδιον λειώσας, ἐμφύσα. μελικράτῳ δὲ προέκλυζε ἢ φακοῦ ἀφεψήματι, ἢ ῥόδα ἐν οἴνῳ ἔκλυζε σὺν μέλιτι, ἢ ἐλαίας φύλλα τρίψας καὶ χυλίσας, σὺν μέλιτι χρῶ.

Πρὸς τὰ πάνυ ῥυπαρὰ καὶ νεμόμενα. Οἶνον καὶ οὖρον ἀφθόρου παιδὸς μίξας, μέλιτι ἔνσταζε. Αλλο πρὸς τὰ αὐτὰ πάνυ καλόν. Σανδαράχην λειώσας, καὶ μέλιτι μίξας, ἔνσταζε, ἢ ἐλλύχνιον ποιήσας, καὶ χρίσας πάνυ καλῶς, ἔμβαλλε εἰς τὸν πόρον. ποιεῖ πάνυ καλῶς, καὶ καθαίρει καὶ ξηραίνει, ἀπουλοῖ τε καὶ ἀνωδυνίαν ποιεῖ· θαῤῥῶν χρῶ. Αλλο. Σκορίαν λειοτριβήσας μετὰ ὄξους καὶ ἑψήσας, ἠρέμα ἔνσταζε εἰς τὸ οὖς. τῆς χλωρᾶς τοῦ φαρμάκου μέρος α', τοῦ δὲ διὰ κασσορείου τροχίσκου μέρη β', καὶ ῥοδίνου ἀρκετοῦ μίξας χρῶ, προκλύσας μελικράτῳ. Αλλο πρὸς τὰ ῥυπαρὰ τῶν ἑλκῶν καὶ πυοῤῥοοῦντα καὶ ὑπερσαρκοῦντα. ἔχει δὲ οὕτως. Ἰοῦ ξυστοῦ < β', ἐν ἄλλῳ < δ', λιβάνου < α', μέλιτος κοτύλας β', ὄξους κοτύλην α', ἕψε ὡς μέλιτος ἔχειν πάχος ὑγροῦ, καὶ χρῶ, ἐνστάζων, ἢ ἐλλυχνίῳ περιχρίων, καὶ προσβάλλων τῷ πόρῳ.

Αλλο πρὸς τὰ αὐτὰ λίαν καλόν. Στυπτηρίαν σχιστὴν σὺν ὄξει λειοτριβήσας ἕως ἂν ἔχῃ πάχος μέλιτος, ἀνάλαβε μετὰ ἐρίου τρυφεροῦ, καὶ ὅταν ψυγῇ, ἐντίθει ἔνδον τοῦ ἀκουστικοῦ πόρου. Αλλο. Κύφεως γρ. γ', ἀφρονίτρου γρ. β', ἐν ἄλλῳ γρ. γ', * διάῤῥοδα κολλούρια ε', λυκίου ἰνδικοῦ γρ. δ', μετὰ οἴνου ἀναλαβών, ἔνσταζε, ἢ μετὰ χυλοῦ περδικιάδος. καλῶς ποιεῖ καὶ ἀποξηραίνει, καὶ ἀφλέγμαντα καὶ ἀνώδυνα τὰ ἕλκη διατίθησι. τὸ δὲ αὐτὸ καὶ ὁ χυλὸς τῆς περδικιάδος μετὰ μέλιτος, χλιανθεὶς καὶ παχυνθεὶς ἠρέμα, καὶ ἐλλυχνίου βραχέντος, καὶ ἐντεθέντος κατὰ τοῦ πόρου. εἰ δὲ καὶ ὑγρότερον ἐγχέεις αὐτό, καλῶς ποιεῖ καὶ ἐπὶ αἵματος ἐκφερομένου ἐκ τοῦ ὠτός. Αλλο πρὸς τὰς πάνυ χρονίας ἑλκώσεις. Σμύρνης < α', λιβάνου < α', πρασίου χυλοῦ < δ', νίτρου ἀλεξανδρινοῦ < ιθ', ἐν ἄλλῳ < ιβ', οὔρου συάγρου < κ', καρύων ποντικῶν < κ', καὶ πεντελαίου, κασσορείου, κρόκου, ὀπίου ἀνὰ < δ', ἀμύγδαλα ιη'. ταῦτα λειώσας μετὰ ῥοδίνου καὶ ἀμυγδαλίνου ἐλαίου καὶ ὄξους ὀλίγου, χρῶ. Πρὸς τὰ καταγνύμενα τῶν ὤτων, καὶ θλώμενα ἐκ πληγῆς. Αρτου θερμοῦ τὸ ἐντὸς μετὰ ὀλίγου μέλιτος τρίψας, ἐπιτίθει. Αλλο. Σμύρναν τρίψας μετὰ οἴνου λεπτομεροῦς, ἐπίχριε. Αλλο. Κοχλίων τοὺς τραχήλους τρίψας, καὶ σμύρναν τὸ ἥμισυ μέρος ἐπιτίθει. Αλλο. Μάνναν λείαν ἐπίπασσε. εἰ δὲ γένοιτο χρεία τοῦ ἐπιδῆσαι, φεύγειν δεῖ ἐπὶ τούτων τοὺς βιαίους δεσμούς, καὶ τὸ σπουδάζειν ἀλλάσσειν τὰ ἐπιθέματα. βλάπτει γὰρ καὶ τοῦτο, καὶ αἴτιον ῥευματισμοῦ γίνεται.

ϛ' Περὶ ἤχων.

Τῶν ἤχων οἱ μὲν ἐπὶ φυσώδει καὶ παχεῖ πνεύματι γίνονται· οἱ δὲ καὶ διὰ χυμοῦ ἔμφραξιν. ἔσθ' ὅτε δὲ καὶ διὰ τῶν τόπων ἀσθενές, ὥσπερ ἐπὶ τῶν ἀνακομιζομένων ἐκ νόσου συμβαίνειν εἴωθε. γίνονται δὲ καὶ διὰ πολλὴν ἀκρίβειαν αἰσθήσεως, προσέτι δὲ καὶ λόγῳ χρήσεως, ἐφ' ὧν οὐδὲν δεῖ προσφέρειν. εἰ μὲν οὖν οἱ ἦχοί ποτε μὲν γίνοιντο, ποτὲ δὲ παύοιντο, καὶ διάλειμμα ποιησάμενοι, πάλιν ἄρχοιντο, γίνωσκε διὰ πνεῦμα μὴ ἔχον ἔξοδον εὐχερῆ, γίνεσθαι τοὺς ἤχους, καὶ μάλιστα εἰ προηγήσαντο πνεύματα τίκτειν δυναμένων ἐδεσμάτων καταχρήσεις, καὶ ἀπεψίαι πολλαί. εἰ δὲ διὰ τινας γλίσχρους καὶ παχεῖς χυμοὺς συμβαίνει τὸ τοιοῦτον, γνωριεῖς ἐκ τοῦ μηδὲ ἀθρόως ἐπιγίνεσθαι τοὺς ἤχους, ἀλλὰ κατὰ βραχὺ τὴν αὔξησιν λαμβάνειν, καὶ προσέ-

τι καὶ βάρους αἰσθάνεσθαι, καὶ προηγήσασθαι ἀπεψίας, καὶ λουτρῶν ἀκαίρων χρήσεις, καὶ τὰ ἄλλα ὅσα χυμοὺς ἀπέπτους εἴωθε γεννᾶν. πρὸς οὖν ἤχους τοὺς ἐπιμόνους καὶ χρονίους, σὺν ὄξει καὶ μέλιτι, καὶ νίτρῳ κλύζε. Ἄλλο. Ἐλλεβόρου λευκοῦ, καστορίου ἀνὰ < β', κρόκου < γ', ποίει τροχίσκον, καὶ σὺν ὄξει λειώσας, χρῶ. Ἄλλο. Καστορίου, κωνείου σπέρματος ἴσα λειώσας σὺν ὄξει ἔνσταζε χλιαρὰς. ποίει δὲ καὶ τοῦτο μάλιστα ἐφ' ὧν διὰ πολλὴν αἴσθησιν τῶν ἀναδιδομένων ἀτμῶν συναισθάνονται.

Ἄλλο. Εὐφόρβιον μετὰ κυπρινελαίου λειώσας καὶ θερμήνας, χρῶ. ποίει μάλιστα πρὸς τοὺς χρονίους ἤχους καὶ συριγμούς. Πρὸς τοὺς ἐκ νόσου ἤχους. Ἐπὶ δὲ τῶν ἐκ νόσου πάλιν, ἀψινθίου ἀφεψήματι πυριάσας, ὄξος καὶ ῥόδινον ἔγχει, καὶ ῥαφάνου χυλὸν μετὰ ῥοδίνου, ἢ ἐλλεβόρου μέλανος, μετὰ ὄξους. Περὶ τῶν ἐχόντων ῥύπον ἐν τοῖς ὠσίν. Καρδάμωμον καὶ νίτρον βραχὺ μετὰ ἰσχάδων ἀναλαβών, χρῶ, χωρὶς τῶν κεγχραμίδων· καὶ κολλούρια ποιήσας, ἔνθες εἰς τὸν πόρον τῆς ἀκοῆς, καὶ κόμιζε διὰ τριῶν ἡμερῶν. ἄγει γὰρ ῥύπον πολὺν καὶ ἱκανῶς κουφίζει. ποίει δὲ τοῦτο πρὸς τὰς ὑποσαρκώσεις. Ἄλλο. Νίτρον ὀπτὸν λειώσας, ἔμπλασον εἰς τὸ οὖς, καὶ οὕτω πάλιν εἰς τὸ ὄξος ἔνσταξον, καὶ τῇ ὑστεραίᾳ κλύσον ὑδρελαίῳ θερμῷ.

Πρὸς ἐμπίπτον ὕδωρ εἰς τὴν ἀκοήν. Εἰ δὲ συμβῇ τὸ ὕδωρ ἐμπεσεῖν εἰς τὴν ἀκοήν, ποίει τῷ ἑνὶ ποδὶ τῷ κατὰ τὸ πάσχον οὖς ἅλλεσθαι παρεγκλίνοντα πρὸς αὐτό. ἐκκείνεται γὰρ οὕτως εὐχερῶς. ἐπισπᾶται δὲ καὶ ὁ ἐκ τοῦ στόματος ἐκμυζηθμὸς πολὺ τὸ ἐγκείμενον. καὶ διὰ καλάμου δὲ τὸ αὐτὸ γίνεται. μετὰ δὲ τὴν ἐκμύζησιν, καὶ ἔλαιον θερμὸν ἴρινον ἢ ἀμυγδάλινον ἔνσταζε. Περὶ τῶν ἐμπιπτόντων εἰς τὴν ἀκοὴν λιθαριδίων, ἢ ἄλλων τινῶν. Λιθαριδίου, ἢ κυάμου, ἢ ἄλλου τινὸς ἐμπίπτοντος εἰς τὴν ἀκοήν, εἰλήσας περὶ τὴν μηλωτίδα ἔριον, βάψον ῥητίνῃ τερεβινθίνῃ, ἢ τινι τῶν ἐγκόλλων, καὶ καθεὶς πράως ἐπισπῶ. καὶ πταρμὸν δὲ κινῶν, ἔμφραττε τὸ στόμα καὶ τὰς ῥῖνας. κατὰ γὰρ τὴν γινομένην τοῦ πνεύματος ἔντασιν, ἐκρίπτεται τὸ ἔνδον σφηνωθέν. ποίει δὲ τοῦτο συνεχῶς, καὶ σπούδαζε ὡς ταχέως ἐκπεμφθῆναι. εἰ δὲ μή γε * ἐκπέσοι φλεγμονῆς ἐπιγινομένης, σπασμοὶ πολλάκις ἐπακολουθοῦσιν, ὡς καὶ κινδυνεύειν αὐτοὺς ἀπόλλεσθαι. δεῖ οὖν καὶ ἔλαιον πολλάκις ἐγχεῖν χλιαρόν. οὕτω γὰρ τῶν τόπων ἀφλεγμάντων γενομένων, τὸ ἐγκείμενον ῥᾳδίως ἐξελεύσεται. καὶ κλύζειν δὲ μελικράτῳ καλόν ἐστιν αὐτούς, ὅταν χαυνωθῶσιν αἱ φλεγμοναί. ἀναπλύεται γὰρ διὰ τοῦ ὑγροῦ πολλάκις τὸ ἐμπεσόν, καὶ διὰ τριχολαβίου εὐχερῶς ἕλκεται. καὶ αὐλίσκον τινες ἐμβαλόντες τῇ ἀκοῇ, εἶτα τῷ στόματι ἐκμυζήσαντες, ἠδυνήθησαν τῷ τρόπῳ τούτῳ ἐπισπασάμενοι ἑλκῦσαι. δεῖ δὲ πρό γε πάντων, ἐλαίῳ χλιαρῷ κεχρῆσθαι, καὶ τοῖς πταρμοῖς, ὡς εἴρηται, καὶ μελικράτῳ. οὕτω γὰρ ἡμῶν πραξάντων, εὐχερῶς καὶ μετὰ μηλωτίδος καὶ μεθ' οἱουδήποτε βουληθείης τῶν εἰρημένων, ἐκ τοῦ βάθους ἀνενεχθήσεται. Περὶ τῶν σκωλήκων τῶν ἐν τοῖς ὠσί. Σκώληκας δὲ τοὺς ἐν τῇ ἀκοῇ φθείρει μὲν καὶ τὸ ὀξέλαιον ἐνσταζόμενον, καὶ τῆς καππάρεως ὁ χυλός. ὁμοίως δὲ καὶ ὁ τῆς καλαμίνθης χυλὸς οἶδε παρηγορεῖν, εἴπερ τι καὶ ἄλλο. καὶ παύσειν δὲ τὴν ὀδύνην ἐπιτήδειος ὁ χυλὸς ἐνσταζόμενος. καὶ ὁ ἐλλέβορος ὁ λευκὸς ἀναιρεῖ τοὺς ἐν τοῖς ὠσὶ σκώληκας, μετὰ οἴνου λειούμενος καὶ ἐνσταζόμενος. Ἄλλο. Ἀψινθίῳ ἀφεψηθέντι εἰς οἶνον κλύζε, καὶ πράσιον, καὶ κενταύρειον ὁμοίως καὶ σκαμμωνίαν διεὶς ὄξει, ἢ ἀψινθίου χυλόν, ἢ θεῖον καὶ νίτρον μετὰ χυλοῦ ῥαφάνου, ἔνσταζε.

ζ' Περὶ τῶν ἀπὸ κατάρρου γινομένων ὀδυνῶν.

Εἰδέναι δὲ δεῖ τοῦτο καθόλου, καὶ σπουδάζειν αὐτὸ φυλάττειν, τὸ μὴ ταχέως τὰ ἐπὶ καταῤῥῷ συμβαινουσῶν ὀδυνῶν τοπικὰ σπεύδειν προσφέρειν βοηθήματα. μετὰ γὰρ τοῦ μηδὲν ὠφελεῖν, ἔτι καὶ μᾶλλον ἐπισπῶνται, καὶ προτρέπονται τὴν ὕλην ἐπὶ πλέον εἰς τὰ πεπονθότα φέρεσθαι μετὰ πέψιν. διὸ καὶ λούειν ἐπὶ τῶν τοιούτων χρὴ, καὶ σικύαις χρῆσθαι κατὰ τοῦ ἰνίου. καὶ μάλιστα εἰ καὶ βάρους αἰσθάνοιντο περὶ τὴν κεφαλὴν, καὶ ἔρευθος περὶ τὸ πρόσωπον, καὶ εἰ οἰνοπότης ὑπάρχει. εἰ δὲ μηδὲν τούτων εἴη, ξηρὸν δὲ καὶ λεπτὸν τὸ σῶμα, καὶ ἐπιῤῥέον δριμὺ, παχυνούσῃ καὶ εὐκράτῳ κεχρῆσθαι διαίτῃ, καὶ ἀναπαύσει, καὶ ἡσυχίᾳ, μᾶλλον δὲ καὶ λουτροῖς, καὶ τοῖς ὕπνον ποιεῖν δυναμένοις, ἐξ ὧν ἐστι καὶ ἡ διὰ κωδειῶν, πέψαι καὶ παχῦναι καὶ ἐπικεράσαι δυναμένη τὰ δριμέα, εἴπερ τι καὶ ἄλλο τῶν φαρμάκων.

η' Περὶ τῆς ἐκ τῶν ὤτων αἱμοῤῥαγίας.

Ἐπειδὴ δὲ συμβαίνει ἐπὶ τῶν ὤτων αἱμοῤῥαγίας γίνεσθαι, καὶ κίνδυνοί τινες ἔσθ' ὅτε ἐπακολουθοῦσιν, ἐπειδὰν μὴ λόγῳ κρίσεως τοῦτο γένηται, καὶ τοῦτό ἐστιν εἰδέναι ἐπὶ τῶν πολλῶν πᾶσι νοσημάτων, καὶ μάλιστα τῆς κεφαλῆς ἐῤῥωμένης καὶ ἀπωθούσης τὴν ὕλην, καθάπερ καὶ διὰ ῥινῶν τοῦτο ποιεῖν εἴωθεν ἡ φύσις, καὶ διά τινων ἄλλων μορίων. εἰ οὖν τοῦτο θεωρηθείη μετὰ πέψιν, οὐ δεῖ σπουδάζειν κωλύειν τὴν ὁρμὴν τῆς φύσεως, ἐπεὶ σωτηρία τοῦ κάμνοντός ἐστιν, ὅτε τοῦτο πράττουσα ᾖ. εἰ δὲ συμβῇ τὴν δύναμιν ἔσθ' ὅτε καταβάλλεσθαι τῆς κενώσεως πολλῆς γινομένης, ἢ ἄλλως πως κίνδυνον ἐπιφερούσης, τότε τηνικαῦτα δέον ἐστὶ βοηθεῖν τῷ νοσοῦντι, καὶ στέλλειν τὴν ἄμετρον φορὰν τοῦ αἵματος. εἰσὶ δὲ οὖν πολλὰ ποιεῖν δυνάμενα, καὶ μάλιστα ταῦτα. Ἐφεκτικὸν αἱμοῤῥαγίας. Βάτου καὶ κηκίδων ὄξει ἑψηθέντων χυλὸν ἐγχυμάτιζε. Ἄλλο. Τὸν χυλὸν τῆς περδικιάδος χλιαίνας, ἔγχει. Ἄλλο, ὥστε μὴ θρομβοῦσθαι τὸ αἷμα ἐν τοῖς ὠσίν. Πράσου χυλὸν καὶ ὄξος σμίξας, ἐγχυμάτιζε πολλάκις.

θ' Περὶ κωφώσεως.

Ἐὰν δὲ καὶ παντελὴς βλάβη τῆς ἀκοῆς γένηται, ἣν κώφωσιν ὀνομάζουσι· καί τινες μὲν αὐτῶν ἄνευ πυρετοῦ. τινὲς δὲ καὶ μετὰ πυρετοῦ. ὅσαι μὲν διὰ χολώδη χυμὸν ἄνω ὁρμήσαντα συμβαίνουσιν, αὗται μᾶλλον εὐίατοι γίνονται, ἢ τῆς γαστρὸς φυσικῶς κινηθείσης, ἢ φαρμάκου δοθέντος αὐτοῖς, ὅπερ τὸν χολώδη χυμὸν κενοῦν πέφυκεν. ὅσαι δὲ γίνονται διὰ γλίσχρους καὶ παχυτέρους χυμοὺς ἀποσκήψαντας, ὡς ἐπὶ ληθάργων καὶ καταφορῶν, καὶ κεφαλαίας χρονίας, καὶ ἄλλων παθῶν, αὗται πᾶσαι δύσλυτοί εἰσι, καὶ ὡς ἐπὶ τὸ πολὺ συναποθνήσκειν φιλοῦσι τοῖς κάμνουσιν. ἰσχυρῶς οὖν ἀνθίστασθαι δεῖ τῷ πάθει, τὴν ἀρχὴν ἀποκαθάρσεως ποιουμένους τῆς κάτω κοιλίας, διά τε τοῦ ὀξυμέλιτος τοῦ καλουμένου ἰουλιανίου, καὶ διὰ τῆς ἱερᾶς· συνεχέστερον δὲ διὰ τῶν ἁλῶν τῶν ἐχόντων εὐφόρβιον, ἢ εἴπερ εἰσὶν οἱ παρ' ἡμῶν συνήθως σκευαζόμενοι, δοκοῦντες μὲν εἶναι λιτοὶ καὶ ἁπλούστεροι, μεγάλην δὲ δύναμιν κεκτημένοι, καὶ πρὸς ἄλλα ποιεῖν δυνάμενοι πολλά. ἔχει δὲ αὐτῶν ἡ σύνθεσις οὕτως.

Ἁλάτιον. Ἀμμωνιακοῦ < β', πεπέρεως < α', εὐφορβίου < δ', ἐν ἄλλῳ < α', δίδου πρὸς δύναμιν ἀπὸ δ', ἢ ϛ' εἰς ᾠὰ, ἢ εἰς μελίκρατον, ἢ εἰς λάχανον, ἢ ὅπου βούλει παρέχειν αὐτά. χρήσιμοι δέ εἰσι καὶ σκοτωματικοῖς, καὶ αἷς ἐπέχονται ἔμμηνα. μετὰ δὲ τὸ παραλαβεῖν τὰς τῆς γαστρὸς κενώσεις, ἤδη λοιπὸν καὶ εἰς τοὺς ἀποφλεγματι-

σμοῖς, καὶ εἰς τὰ ἔῤῥινα, ὅσα περιρέπειν ὑγρά, καὶ ἕλκειν δύναται), καὶ ὅσα πέφυκε πταρμοῖς κινεῖν. Περὶ ἀποφλεγματισμῶν. Ἀποφλεγματισμοὶ δὲ οὗτοί εἰσιν ἄριστοι, οἵ τε διὰ τῆς ἀγρίας σταφίδος συγκείμενοι καὶ σινήπεως, καὶ ἀναγαργαριζόμενοι.

Περὶ πταρμικῶν. Πταρμικὰ δὲ τά τε διὰ πεπέρεως ἔχοντα καὶ στρουθίου, καὶ ἐλλεβόρου λευκοῦ, καὶ βατραχίδος τῆς βοτάνης, ἐξ ἴσου. τὰ δὲ ἐγχεόμενα τῇ ῥινὶ ἔστωσαν διὰ κυκλαμίνου χυλοῦ καὶ μέλιτος συμμεμιγμένων. Ἄλλο. Καλῶς δὲ ποιεῖ καὶ τὸ ξηρίον τοῦτο ἐμφυσώμενον διὰ καλάμου. ἔχει δὲ ταῦτα, κυμίνου ξηροῦ < η', ἴρεως < δ', νίτρου ἐρυθροῦ < α', ἐλατηρίου < α'. τρίψας λεῖα, ἐμφύσα διὰ ῥινῶν. κουφίζει γὰρ καλῶς κεφαλὴν ὑπὸ πλήθους ὀχλουμένην. καὶ τὰ ὦτα δὲ καλῶς καθαίρει τὸ διὰ κενταυρείου, καὶ τῆς κολοκυνθίδος καὶ τοῦ ἐλλεβόρου ἐγχυματιζόμενα. Πρὸς δυσηκοΐαν καὶ κώφωσιν. Ἐλλεβόρου μέλανος, καστορίου ἀνὰ < α' μετὰ ὄξους ἀναλαβών, χρῶ. ἁρμόζει δὲ τούτοις καὶ τὰ πρόσθεν εἰρημένα πρὸς δυσηκοΐαν καὶ τὰς ἐμφράξεις. τοιαῦτα δέ εἰσι καὶ τὰ διὰ τῶν χυλῶν συγκείμενα, καὶ νίτρου, καὶ κεδρίας. προσέτι δὲ καὶ ὁ χυλὸς τῆς χαμαιλαίας ἐστὶ δραστικώτατος, καὶ πρὸς τὰς μεγίστας κωφώσεις μεμαρτυρημένος. ἐπιμένοντος δὲ τοῦ πάθους, καὶ τοῖς ἐμέτοις κεχρήσθωσαν τοῖς ἀπὸ ἐλλεβόρου. μετὰ δὲ τὰς κενώσεις καὶ τοὺς ἐμέτους, καὶ ἔῤῥινα, καὶ τοπικὰ βοηθήματα, καὶ ἱππασίαν παραλαμβανέτωσαν, καὶ μάλιστα τὴν διὰ τῶν ἁρμάτων, καὶ τόπων ἐνδιαγωγήν. ἀέρος δὲ τοὺς παραθαλασσίους μᾶλλον ἤπερ τῶν μεσογαίων. καὶ τὰ αὐτοφυῆ λουτρὰ πρότιμα τῶν γλυκέων. μὴ παρόντων δὲ τούτων, καὶ τὸ ἐν τοῖς θαλαττίοις ὕδασι σμήχεσθαι καλόν. καλὸν δὲ καὶ τὴν κεφαλὴν ξηραίνειν σπουδάζειν, καὶ μάλιστα ἐπὶ τῶν βαρυνομένων καὶ πληρουμένων. προσέτι δὲ καὶ βδέλλαις, καὶ σιναπισμοῖς κεχρήσθωσαν, καὶ ἀνατρίψει τῶν περὶ τὸ δέρμα. τινὲς δὲ οὐ μόνον τούτοις, ἀλλὰ καὶ ἀρτηριοτομίας ὕστερον προσήνεγκαν, καὶ σάλπιγγα προσθέντες, εἰς τὸ ἄκρον τῆς σάλπιγγος τὸν πόρον τῆς ἀκοῆς θέντες, οὕτω κατηύλισαν. ἕτεροι δὲ μετὰ μεγάλων κωδώνων ἐκτύπησαν. καὶ ἄλλοι ἄλλως ἐχρήσαντο προσεπινοοῦντες. ἐπὶ γὰρ τῶν μεγάλων παθῶν εἰ καὶ μηδὲν ἄξιον λόγου δρᾶν φαίνεται τὰ πολλὰ βοηθήματα, ὅμως δεῖ ἐπινοεῖν καὶ μὴ κατοκνεῖν εἰς τὸ βοηθῆσαι, καὶ μηδὲν καταλιμπάνειν. πολλὰ γὰρ ἀσμενίως ἐκβαίνει παρὰ τὰ προσδοκώμενα.

Κεφάλαια τοῦ τετάρτου βιβλίου.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

α' Περὶ συνάγχης.



Τὸ τῆς συνάγχης πάθος, εἴπερ τι καὶ ἄλλο, τῶν ὀξυτάτων ἐστὶ παθῶν. δίκην γὰρ ἀγχόνης καὶ βρόχου ἀποπνίγειν οἶδε τοὺς κάμνοντας, ὅθεν καὶ συνάγχη τὸ πάθος εἰκότως ὠνομάσθη. ἐπεὶ οὖν ὀξύτατόν ἐστι, καὶ εὐθὺς τὸν θάνατον ἐπιφέρει, ἀνάγκη καὶ ὀξέως ἐπὶ τὴν θεραπείαν ὁρμᾶν. ἀλλ' ἐπὶ πάσης ὀρθῆς θεραπείας ἐπειδήπερ ἀνάγκη προηγεῖσθαι τὴν διάγνωσιν, ἀναγκαῖόν ἐστιν ἐπίστασθαι τήν τε οὐσίαν αὐτὴν τοῦ πάθους, καὶ τὰς αἰτίας αὐτοῦ, καὶ διαφορὰς, καὶ τὴν διάγνωσιν ἑκάστης αὐτοῦ. οἱ μὲν οὖν ἀρχαιότεροι τῶν παλαιῶν ἰατρῶν, ὡς ἐπὶ τὸ πολὺ πᾶν εἶδος φλεγμονῆς περὶ τὸν λαιμὸν, εἴτε ἔνδοθεν, εἴτε ἔξωθεν ἀπειλοῦν πνιγμὸν, συνάγχην ὠνόμαζον· οἱ ὕστερον δὲ διεῖλον τὴν φλεγμονὴν εἰς τέσσαρας διαφορὰς, καὶ τὴν μὲν ἔνδον φλεγμονὴν τῶν μυῶν τοῦ λάρυγγος, ἐκάλεσαν κυνάγχην, τὴν δὲ ἐκτὸς, παρακυνάγχην· ὁμοίως δὲ καὶ τὴν ἔνδοθεν φλεγμονὴν τοῦ φάρυγγος, ἐκάλεσαν συνάγχην, τὴν δὲ ἐκτὸς, παρασυνάγχην. τούτων οὕτως ἐχόντων, λέγωμεν ἤδη καὶ τὴν πρὸς ἕκαστον εἶδος ἁρμόζουσαν θεραπείαν. εἰδέναι δεῖ τοίνυν καθόλου ὡς οὔτε ἡ ἀποκρουστικὴ μόνη ἀγωγὴ συμβάλλεται τοῖς πάθεσι τούτοις, οὔτε ἡ διαφορητικὴ, ἀλλὰ μικτῆς ἐστι χρεία, καὶ πρὸς τοὺς καιροὺς ἀποβλέποντας, ποτὲ μὲν τῶν ἀποκρουστικῶν, ἄλλοτε τῶν διαφορητικῶν ἐπιμιγνύειν χρή. καὶ εἰ μὲν ἀρχὴ τοῦ πάθους εἴη, καὶ ἔτι ῥευματιζόμενα φαίνοιτο, τότε τῶν ἀποκρουστικῶν πλέον δεῖ μιγνύειν, καὶ ἐν τῇ ἀκμῇ μᾶλλον τῶν ἀποκρουστικῶν, ἐν δὲ τῇ παρακμῇ, τῶν ἰσχυροτέρως διαφορεῖν δυναμένων. ὅσοι γὰρ ἐχρήσαντο χαλαστικῇ ἀγωγῇ μόνῃ, εἴτε ἔνδοθεν, εἴτε ἔξωθεν, οὗτοι μεγίστων αἴτιοι κακῶν ἐγένοντο. ἢ γὰρ εἰς πνιγμὸν ὀξύτατον ἤνεγκαν, ἢ τὴν φλεγμονὴν ηὔξησαν, ὥστε πολλῶν γενομένων ὕστερον μόλις ἀναπνεῦ-

σαι καὶ

σαι καὶ στενωθῆναι τὸν κάμνοντα. οὐ μόνον δὲ δεῖ προσέχειν τοῖς καιροῖς, ἀλλὰ καὶ τῇ δυνάμει τῶν βοηθημάτων. τὰ μὲν γὰρ ἀσθενέστερα καὶ μαλακώτερα τοῖς ἁπαλωτέραν ἔχουσι τὴν ἕξιν οἰκειότερον ἄν τις προσενέγκοι, οἷον, εὐνούχοις, παισί, γυναιξί, καὶ τοῖς ὁμοίοις τούτων. τὰ δὲ ἰσχυρότερα τοῖς σκληροτέροις, καὶ ἰσχυροτέροις σώμασι. καὶ γὰρ ὥσπερ ἐκ τῶν ἐν τῷ ὑγιαίνειν ψυχόντων πάσχοντα τὰ σκληρότερα σώματα νοσοῦσιν, οὕτω πάλιν ἵνα εἰς τὸ κατὰ φύσιν ἐπανέλθῃ, τῶν ἰσχυροτέρων ἐξ ἀνάγκης δεῖται πάλιν, τὰ δὲ μαλακωτέραν ἕξιν ἔχοντα, τοὐναντίον ὑπομένει. τῶν μὲν γὰρ ἀσθενεστέρων βοηθημάτων, ἀβλαβῶς ἀνέχεται, ὑπὸ δὲ τῶν ἰσχυροτέρων ἀδικεῖται τῷ μὴ φέρειν αὐτῶν τὴν δύναμιν. δεῖ οὖν προσέχειν ἀκριβῶς, ποῦ μὲν ἐκλῦσαι τὴν δύναμιν τῶν βοηθημάτων, ποῦ δὲ ἐπιτεῖναι χρή, ὅπως τὸ προσαγόμενον βοήθημα γένοιτο ἐναντίον μὲν τῇ κρατούσῃ διαθέσει, οἰκεῖον δὲ καὶ φίλον τῇ ἕξει τοῦ πάσχοντος. εἴπομεν οὖν ἤδη ποῖα τῶν βοηθημάτων ἐστὶν ἁπλούστερα καὶ ἀσθενῆ, ποῖα δὲ ἰσχυρότερα. καὶ πότε μὲν αὐτοῖς μικτοῖς δεῖ κεχρῆσθαι, πότε δὲ * συγκράσεις.

Περὶ τοῦ διὰ μόρων. Τὸ μὲν οὖν ἁπλούστερον βοήθημα ὑπὸ τοῦ χυλοῦ τῶν μόρων καὶ τοῦ μέλιτος σκευάζεται, καὶ ποιεῖ πρὸς τὰς ἀρχομένας τῶν παρισθμίων, καὶ τῆς σταφυλῆς, καὶ φάρυγγος, καὶ ἁπλῶς εἰπεῖν, πρὸς πᾶσαν φλεγμονὴν μετρίαν τῶν περὶ τὸν λαιμόν, καὶ μάλιστα τῶν μαλακοσάρκων, καὶ λευκοτέρων συμμέτρως. τὸ δὲ σύνθετον οὐ μόνον ποιεῖ ἐν ταῖς ἀρχαῖς, ἀλλὰ καὶ ἀκμὴν ἐχούσης τῆς φλεγμονῆς. ἰσχυρότερον δὲ καὶ διαφορητικώτερον γίνεται, ἐὰν καὶ σμύρναν προσλάβῃ. καὶ πολλοί γε ἐξ ἀρχῆς οὕτω σκευάζουσι μετὰ τῆς σμύρνης. βέλτιον δὲ περὶ τὴν ἀκμήν, ὅτε καὶ διαφορήσεως καὶ συμπέψεώς ἐστι χρεία, τότε εἰ καὶ διὰ τοῦ βησασᾶ τις προσαπλέξει ὀλίγον, ἢ καὶ ἄλλης τινὸς ἀντιδότου διαφορητικῆς, ἔτι δραστικώτερον ἐργάσεται τὸ φάρμακον. εἰ δὲ παύσοιτο μὲν ἤδη τὸ ζέον τῆς φλεγμονῆς, ἔτι δὲ σκληρεία τις ἐπιμένει, τηνικαῦτα καὶ θείου προσαπλέκειν ὀλίγον δεῖ, καὶ νίτρου τῇ τοιαύτῃ συμμετρίᾳ τοῦ φαρμάκου, πρὸς τὸ διαφορῆσαι, καὶ εἴ τι παχὺ καὶ γλίσχρον ἐστὶ πρὸς τὸ βάθος τύχῃ, ἀρκοῦσι νίτρου < ς', θείου < α'. εἰ δὲ μὴ φέροιεν τὴν δῆξιν οἱ κάμνοντες, ἀλλὰ καὶ τὸν στόμαχον ἀσθενῆ ἔχουσι, καὶ ἀνατρέπεσθαι νομίζουσιν ὑπὸ τοῦ διαχρίσματος, ἐπὶ τούτων φεύγειν δεῖ τὸ νίτρον, καὶ τὸ θεῖον, ἀρκεῖσθαι δὲ μόνῃ τῇ διὰ τοῦ βησασᾶ ἐπιμιξίᾳ, ἢ γλήχωνι καὶ ὀριγάνῳ, ἢ καλαμίνθῃ, ἢ ὑσσώπῳ, ἢ πεπέρεως. πρὸς δὲ τὸ μὴ τραχύνεσθαι ὑπὸ τούτων τὰ περὶ τὴν φάρυγγα, καλόν ἐστι τὸν τῆς γλυκείας ῥίζης χυλὸν ἐπιμιγνύειν. οὕτω γὰρ ἔσται βοήθημα πολύχρηστον καὶ ἀβλαβέστερον κατὰ πάντα. ἐπὶ γὰρ τῶν μὴ φερόντων τὰς φαρμακώδεις ποιότητας, ὠφελεῖ τὰ προσηνέστερα τῶν βοηθημάτων. σκευάζειν δὴ βουλομένοις εἰς τὸ μὴ δεῖσθαι πάλιν ἐν ἄλλῳ βιβλίῳ ζητεῖν τὰς γραφάς, ἀναγκαῖον ἐνόμισα καὶ ταύτας ἐκθέσθαι τὰς σκευασίας αὐτῶν ἐνταῦθα. Σκευασία τοῦ διὰ μόρων. Μόρων χυλοῦ κο ς', κρόκου, σμύρνης, τρωγλίτιδος, στυπτηρίας ἀνὰ γρ ς', ὀμφακίου γρ ς', μέλιτος ξε ε', ἔασον ψυγῆναι τὸν τῶν μόρων χυλὸν, ὥραν α', καὶ μικρὸν παχυνθῆναι. καὶ οὕτω πάλιν ἐπιβαλὼν τὸ μέλι, ἕψε ἕως ἀποτελειωθῇ, καὶ τότε πάλιν μίγνυε τὰ ξηρά. Ἄλλως τὸ διὰ μόρων ὁ θειότατος γαληνὸς ἐσκεύασεν.

Μέλιτος λι α', τοῦ χυλοῦ τῶν μόρων κο ε', κρόκου < α', σμύρνης < α', ὀμφακίου < α', οἴνου αὐστηροῦ κο ε', ἐν ἄλλῳ < ιβ'. εἰ δὲ μὴ ἔχεις τὸ ὀμφάκιον,

ἀλλ' αὐτοῦ ῥοῦ χυλὸν ἔμβαλλε. προεψῆσαι δεῖ τὸν χυλὸν αὐτοῦ καθ' αὑτὸν ἄχρι γλοιοῦ πάχος σχῇ. εἶθ' οὕτως πρόσβαλλε τὸ μέλι· κἀπειδὰν ἑψηθῇ καὶ μηκέτι ἀφ-ρίζειν τὴν κάκκαβον, τότε πάλιν ἐπίβαλλε τὰ ξηρά, καὶ ἕψε ἄχρις ἂν πάντα ἑνωθῇ καλῶς. τοιαύτη καὶ ἡ διὰ τοῦ χυλοῦ τῶν μόρων ἐστὶ σκευασία. καὶ τοῦ καρποῦ δὲ τῶν ἀγρίων μόρων ὁ χυλὸς σκευαζόμενος, ἄριστόν ἐστι φάρμακον, καὶ τῶν μήλων δὲ τῶν κυδωνίων ὁ χυλός. ἐν ἀπορίᾳ δὲ τούτων, καὶ ἀχράδων, καὶ μεσπίλων, καὶ βραβύ-λων, καὶ κρανίων, καὶ * προύνων. εὔδηλον δὲ ὅτι ἐπὶ τῶν στυφουσῶν ὀπωρῶν πλείονος δεῖ μιγνύειν τοῦ μέλιτος, ἐνίοτε μὲν διπλάσιον, ἐνίοτε δὲ καὶ τριπλάσιον. καὶ ταῦτα πάντα εὐστόμαχά εἰσι βοηθήματα καὶ ἀκίνδυνα· καὶ εἰ καταπίοι τις, καὶ μετρίαις ἁρ-μόζει φλεγμοναῖς. καὶ ἔξεστι τοῖς χυλοῖς τούτοις προσμιγνύειν ὅσαπερ καὶ ἐπὶ τοῦ χυλοῦ τῶν μόρων ἐγράψαμεν. καὶ ὁ διὰ τοῦ χυλοῦ δὲ τῶν καρύων ἰσχυρότερόν ἐστιν ὀλίγον, ἀλλὰ καὶ τὰ διὰ τῶν βατίνων, καὶ ῥοιῶν, καὶ μήλων σκευαζόμενα, καὶ τονωτικὴν καὶ εὐστόμαχον κέκτηται δύναμιν. ἔχει δὲ τούτων ἡ σκευασία οὕτως. Τοῦ διὰ καρύων σκευασία. Ἀκμάζοντος τοῦ καρποῦ τῶν καρύων, περιαιρεῖν δεῖ τὰ ἔξω λέ-πη, καὶ αὐτίκα κόπτειν ἐν ὅλμῳ, δι' ὀθονίου τε τὸν χυλὸν διηθεῖν, καὶ προσαφεψή-σαντα, οὕτω μιγνύειν αὐτῷ συμμέτρως μέλιτος, ὡς γέγραπται ἐπὶ τῷ διὰ μόρων, μέχρι συστάσεως μελιτώδους. οὕτω γὰρ ἄν τις αὐτῷ καθ' αὑτὸ * διά τινος ἐπιμιξίας, ἔχοι δεόντως χρῆσθαι, ἐπί τε παιδίων καὶ γυναικῶν, καὶ ἐν ἀρχῇ μᾶλλον. εἰ δὲ καὶ τὴν σμύρναν αὐτῷ ἐπιμίξειεν, ἔξεστι καὶ ἐν τῇ ἀκμῇ χρῆσθαι αὐτῷ, θεῖόν τε καὶ νίτρον προσπλέκοντα, καὶ ἐν παρακμῇ, καὶ ἐφ' ὧν εἰρήκαμεν, εἰς σκληρείαν, καὶ σφή-νωσιν ἐν τοῖς περὶ φάρυγγα καὶ λάρυγγα τόποις. τοιαύτη μὲν καὶ ἡ διὰ τοῦ χυλοῦ τῶν καρύων σκευασία, καθάπερ καὶ τοῦ διὰ μόρων, καὶ τῶν ἄλλων καρπῶν. χρήζουσι δὲ καὶ τῶν ἄλλων βοηθημάτων, ἐν οἷς καὶ τὰς μεγίστας δυνατὸν ἰάσασθαι κυνάγχας, περὶ ὧν ἐφεξῆς ἐρῶ. καὶ πρῶτον μὲν ὑμῖν τὴν ἔκθεσιν ποιήσομαι καλλίστου βοη-θήματος, καὶ ἰσχυροῦ πάνυ, καὶ πολλοὺς ἀπὸ πολλῶν κινδύνων ῥυσαμένου, οὗ κἀγὼ ἔσχον πεῖραν. ἔχει δὲ οὕτως. ἴρεως ℥ α΄, βαλαυστίων ℥ α΄, ἐν ἄλλῳ δὲ ℥ γ΄, πεπέρεως ℥ α΄, κρόκου ℥ γ΄, ἐν ἄλλῳ ℥ ϛ΄, ῥοῦ συριακοῦ ℥ β΄, οἴνου ξε γ΄, ἑψήματος ξε α΄, μέλιτος λί α΄, στυπτηρίας ℥ α΄. τούτῳ τῷ βοηθήματι δυνατόν ἐστιν ἐν παντὶ καιρῷ χρήσασθαι, καὶ μάλιστα, ἐφ' ὧν καὶ διαθερμαίναι τι ἐστὶ χρεία, καὶ λεπτύναι τὰ ἐσφη-νωμένα σφόδρα. καὶ τούτου μὲν τοῦ βοηθήματος πολλὴν ἔσχον πεῖραν, καλλίστου ὄν-τος. καλὸν δὲ καὶ τὸ διὰ βησασᾶ σκευαζόμενον βοήθημα. καλοῦσι δὲ αὐτὸ διὰ χελι-δόνων, καὶ διὰ τοῦ ἁρμαλᾶ. Πρὸς τὰς κακοήθεις καὶ ἀπηλπισμένας ἀντίδοτος ἡ διὰ τοῦ βησασᾶ διαγγελλομένη. Ἀνίσου, σελίνου σπέρματος, ἄμμεως, σχίνου ἄνθους, στυ-πτηρίας, ἴρεως ἰλλυρικῆς, βησασᾶ, ὃ τινὲς ἁρμαλᾶ προσαγορεύουσιν, οἱ δὲ ἄγριον πήγανον, ἀνὰ ℥ α΄, κασίας, κροκομάγματος, ῥόδων ξηρῶν ἀνὰ ℥ β΄, κισσοῦ, νεοσ-σῶν χελιδόνων σποδοῦ προσφάτου ἀνὰ ℥ γ΄, ἐν ἄλλῳ ἀνὰ ℥ α΄, ναρδοστάχυος, κρόκου, ἀμμωνιακοῦ ἀνὰ ℥ ϛ΄, ἐν ἄλλῳ ἀνὰ ℥ α΄, κηκίδων ὀμφακιτίδων < η΄, λειώσας σὺν μέλιτι χρῶ, καὶ τούτῳ μόνῳ δυνατὸν χρῆσθαι ἐπὶ τῶν μέσων δια-θέσεων, καὶ ἐκλύειν αὐτοῦ τὴν δύναμιν ἐπιμιγνύντας αὐτῷ ἢ ἀμύλου, ἢ ῥόδων ξηρῶν, ἢ γῆς κρητικῆς, ἢ λημνίας σφραγῖδος, ἢ ἀλεύρων κριθίνων, ἢ ἄλλων τοιούτων συμμέτρων τινῶν, ὡς ἄν τις ἀρκεῖν πρὸς τὴν ἐνοῦσαν διάθεσιν ὑπονοήσειε, καὶ

ἐπιτεῖναι

ἐπιτεῖναι δὲ δυνατὸν, ἐφ' ὧν ἰσχυροτέρῳ δεῖ χρῆσθαι τῷ φαρμάκῳ, ἐπιμιγνύντας αὐτῷ νίτρου τε καὶ ἐλατηρίου· καλοῦσι δὲ οὕτω τὸν χυλὸν τοῦ ἀγρίου σικύου· κόπρου χελιδόνων ἀκαύστου καὶ κεκαυμένης, ἀλλὰ καὶ κυνείαν κόπρον λευκὴν εἰ μίξειας, ἐπειδὰν οἱ κύνες ὀστοφαγήσωσιν ἀποπατοῦσι, ἰσχυρὸν καὶ οὕτως ἐργάσῃ τὸ φάρμακον. εἰ δὲ καὶ ἀνθρώπου μίξειας ἀκαύστου τε καὶ κεκαυμένης, ἔτι μᾶλλον ἰσχυρότερον ἐργάσῃ τὸ φάρμακον. τὸ γὰρ τῆς κεκαυμένης ἐστὶν ἀσθενέστερον. δεῖ δὲ καὶ πρὸς τοὺς καιροὺς ἀποβλέποντας, ἐπιμιγνύναι τινα τῶν φαρμάκων, ὥσπερ καὶ ἁλῶν ἀμμωνιακῶν, ἡνίκα μὴ μόνον ἀποκρουστικῶν, ἀλλὰ καὶ διαφορητικῶν ἐστι χρεία. εἰ δὲ καὶ βρυωνίας ῥίζαν προσπλέξῃς, ἔτι μᾶλλον διαφορητικώτερον ἐργάσῃ τὸ φάρμακον. δῆλον δὲ ὅτι τοῖς πάνυ διαφοροῦσιν ἐπὶ ἐκείνων χρῆσθαι δεῖ, ἐφ' ὧν μηδὲν ἐπιρρεῖ, ἀλλὰ καὶ σκληραὶ καὶ σκιρρώδεις εἰσὶν αἱ φλεγμοναί. πολλοὶ καὶ σινήπεως τοῦ σκευαστοῦ, ὅπερ καὶ συνεχῶς ἐσθίουσιν, ἀποβάπτοντες τὰ ὄψα, ἔμιξαν ὀξυμέλιτι, εἶθ' οὕτω χλιαρὸν ἀνακογχυλίζεσθαι παρεσκεύασαν τὸν κάμνοντα, καὶ τότε διαχρίσαντες τὸ διὰ βησασᾶ, θαυμαστῶς ὠφέλησαν τὴν σκιρρώδη φλεγμονήν. χρὴ γὰρ ἐπὶ πάντων τῶν ῥευματιζομένων, ἀναστέλλειν μὲν τὸ φερόμενον, διαφορεῖν δὲ τὸ ἐνσκῆψαν· ὅπως μὴ ἐμφραχθείσης τῆς ὁδοῦ τοῦ πνεύματος, ἀποπνιγῆναι συμβῇ τὸν κάμνοντα, ὡς ἐκ δεινῆς ἀγχόνης. ἰσχυρὸν δέ τις ποιεῖ διάχρισμα, ἐπιμιγνύων τῇ ἀντιδότῳ ταύτῃ τρία τινὰ τῇ διὰ τοῦ βησασᾶ. καὶ πολλοὺς ἔσωσεν, ὥστε μὴ φλεβοτομίας ἢ καθάρσεως δεηθῆναι τὸν κάμνοντα. ἦσαν δὲ τὰ τρία ταῦτα, κυνεία κόπρος καὶ ἀνθρωπεία, καὶ ἐλατήριον ἀνὰ < β', εἰς ℥ α', τῆς ἀντιδότου τῆς διὰ τοῦ βησασᾶ. καὶ πλέον δὲ ἐξ αὐτῶν προσπλέκειν δεῖ, πρὸς τὴν τοῦ πάσχοντος δύναμιν καὶ τὴν ἕξιν ἀποβλέποντας. εἰ δέ τινες διὰ τὸ βδελυρὸν παραιτοῦνται χρῆσθαι τῇ ἀνθρωπείᾳ κόπρῳ, ἀρκοῦσι τὰ δύο μόνα, τὸ ἐλατήριον καὶ ἡ κυνεία κόπρος διαχριομένη. καλῶς γὰρ ποιεῖ μετὰ μέλιτος. καὶ ὅπου δὲ μὴ δυνατόν ἐστι διαχρίσαι, διὰ καλάμου ἐμφυσώμενον τὸ αὐτὸ ποιεῖ· ἵνα δὲ μὴ δυσώδης ἡ κόπρος ᾖ, πρὸ τριῶν ἡμερῶν ποίει τὸν κύνα ἐσθίειν ὀστᾶ. οὕτω γάρ ἐστι καὶ λευκὴ, καὶ οὐ δυσώδης. ποιήσεις δὲ καὶ τὴν ἀνθρωπείαν μὴ εἶναι δυσώδη, τὸ παιδίον, οὗ μέλλεις τὴν κόπρον λαμβάνειν, πρὸ τριῶν ἡμερῶν, ὡς μὴ ἄπεπτον ἀλλὰ σύστασιν εὑρίσκεσθαι ἔχον τὸ διαχώρημα, δεῖ ἐσθίειν θέρμους ἑψηθέντας, οὓς καὶ συνήθως ἐσθίομεν, ἅμα καὶ καλῶς ὀπτηθέντι ἄρτῳ κλιβανίτῃ, μὴ πολλούς. δεῖ δὲ καὶ τὸ ἐν τῇ πρώτῃ διαχωρήσει κόπριον ἀπορρίπτειν, καὶ τὸ ἐν τῇ δευτέρᾳ, τὸ δὲ ἐν τῇ τρίτῃ λαμβάνειν, καὶ τούτῳ χρῆσθαι μὴ ὑγρῷ, ἀλλὰ ξηρῷ μετὰ μέλιτος. ταῦτα καὶ ὁ σοφώτατος Γαληνὸς, καὶ Φιλάγριος, καὶ ἄλλοι πολλοὶ μαρτυροῦσι τῶν παλαιῶν. καὶ ἡ πεῖρα δὲ ἡμᾶς οὕτως ἐδίδαξεν. οἱ δὲ νῦν οὐκ ἐχρῶντο τῇ ἀνθρωπίνῃ, διὰ τὸ βδελυρὸν αὐτῆς, τῇ δὲ κυνείᾳ μᾶλλον, ὡς μηδὲν ἐχούσῃ δυσῶδες, καὶ δυναμένῃ τὸ αὐτὸ ἔργον ποιεῖν. εἰ δὲ μὴ ταύτῃ βούλοιντο χρῆσθαι, τοῖς εἰρημένοις ἡμῖν ἔμπροσθεν διαχρίσμασι καρτερήτωσαν. τῷ τε διὰ τῶν χελιδόνων, καὶ τῷ λαμβάνοντι τὸν ῥοῦν θαυμασίῳ ὄντι βοηθήματι. δεῖ * δὲ διὰ τῶν χελιδόνων ἀναμιγνύειν τῇ διὰ τοῦ χυλοῦ τῶν καρύων. τῷ γὰρ δι' αὐτοῦ σκευαζομένῳ, καθ' ἑαυτὸ δεῖ χρῆσθαι. εἰδέναι δὲ δεῖ ὅτι τὸ διὰ τοῦ βησασᾶ οὐ μόνον τὰ πρὸς τὸν λαιμὸν πάθη, ἀλλὰ καὶ πολλὰ ὠφελεῖ. καὶ γὰρ καὶ στομαχικὰς καὶ κοιλιακὰς ἰᾶται διαθέσεις, καὶ μάλιστα τὰς στομαχικὰς, καὶ δυσεντερικὰς, καὶ ἐὰν προσ-

λάβῃ καὶ κυνείας κόπρου, ἥτις καὶ αὐτὴ καθ᾽ ἑαυτὴν ἰᾶται δυσεντερίας, μιγνυμένη ταῖς διὰ τῶν κοχλάκων ἐψηθέντι γάλακτι. οὐδὲν δὲ ἧττον ἰᾶται τὰ παρίσθμια καὶ ἀντιάδας, καὶ γαργαρεῶνα φλεγμαίνοντα, μιγνυμένη τῷ χυλῷ τοῦ ὄμφακος, καὶ καρύων λεμμάτων, καὶ κεράνων, καὶ προίνων, ἢ οὔων, καὶ τῇ αἰγυπτίᾳ, καὶ τῇ ἀνθηρᾷ. δῆλον δὲ ὅτι ἐν μὲν τῇ ἀρχῇ τῶν φλεγμονῶν, καὶ ἔτι ῥευματιζομένης τῆς φλεγμονῆς, μᾶλλον τῶν στυφόντων δεῖ προσπλέκειν. ἡνίκα δὲ ἡ ἀκμὴ, καὶ χρεία τοῦ διαφορεῖσθαι, τὰ διαφορητικὰ. πολλὰς δὲ καὶ ἄλλας ἔχει ἀρετὰς καὶ ἡ κυνεία κόπρος. καὶ γὰρ καὶ ἄφθας, καὶ ἕλκη παλαιὰ καὶ δυσούλωτα ἰᾶται, ὧν ἁπάντων οὐ δεῖ μνημονεύειν. ἀπὸ γὰρ τῶν εἰρημένων εὑρήσει τις καὶ τὰς ἄλλας ἐνεργείας αὐτῆς. εἰ δὲ μὴ εὐποροίη τούτων, τοῖς ὑποτεταγμένοις πάνυ καλοῖς οὖσι καὶ εὐπορίστοις χρηστέον.

Πρὸς συνάγχας.

Ῥαφάνου σπέρμα λεῖον ὀξυμέλιτι ἀναγαργαριζόμενον ὠφελεῖ πάνυ. καταφέρει γὰρ ὑγρασίαν πολλήν. Ἄλλο ἀναγαργάρισμα συναγχικοῖς, ᾧ ἐχρήσατο Στέφανος ὁ πατήρ μου, κἀγὼ, καλόν. Ἀκάνθης αἰγυπτίας < α', ἴρεως < S'', γλυκυρρίζης < S'', πιτύρου σίτου * φουκτὴν α', ῥόδα ξηρὰ ὀλίγα, νικολάου φοίνικας ε' ἢ ζ', ἐψήματι ἢ ὕδατι ἕψε, καὶ τῷ ζέματι μετ᾽ ὀλίγου μέλιτος, ἀναγαργαριζέσθωσαν καθ᾽ ὥραν. Ἄλλο. Σίνηπι διαχριόμενον καλῶς ποιεῖ. τούτου μέμνηται Διοσκορίδης. δῆλον δὲ ὅτι πρὸς τοὺς σκληροτέραν ἔχοντας τὴν ἕξιν, καὶ χρονιωτέρας, καὶ οὐ πάνυ ζεούσας φλεγμονάς. Ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. Πίσσαν ὑγρὰν, νίτρον, μετὰ μέλιτος ἴσα, κέδρου ὀλίγιστον παράμιξον. καὶ πάνυ καλῶς ποιεῖ ἐπὶ τῶν χρονίων καὶ ἤδη σκληρυνομένων φλεγμονῶν. Ἄλλο ἀναγαργάρισμα. Ἰτέας φύλλα ἑψήσας μετὰ ὕδατος, ἕως οὗ μεταβάλῃ τὴν χροιὰν, δίδου ἀναγαργαρίζεσθαι. τοῦτο ἀποσπᾷ παχέα, καὶ ὠφελεῖ. Ἄλλο. Πιτύρων καὶ ἰσχάδων ζέμα δίδου διακλύζεσθαι, καὶ μάλιστα ἐξ ὧν τὰ παρίσθμια ἔχον ἐξ ἀρχῆς φλεγμονήν. Ἄλλο. Φακὴν, ῥόδα, φοίνικας ἀφεψήσας, τὸ ζέμα ἀναγαργαριζέσθω. τοῦτο ἐν τῇ ἀρχῇ δεῖ μᾶλλον ποιεῖν. Ἄλλο. Χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου < α', νίτρου ἐρυθροῦ < β', μέλιτι ἀναλάμβανε, καὶ μετρίως ἐφεψήσας ἐν χαλκῷ ἀγγείῳ, χρῶ. πάνυ καλῶς ποιεῖ ἐν τῇ ἀκμῇ. καὶ ἀψίνθιον δὲ μετὰ μέλιτος πάνυ καλῶς ποιεῖ.

Ἄλλο πρὸς τὰς χωρὶς ἕλκους καὶ χρονίας συνάγχας. Εὐφορβίου < β', μέλιτος ξε. τὸ τέταρτον, προεψήσας καλῶς τὸ μέλι, ἐπίβαλλε τὸ εὐφόρβιον, καὶ διάχριε τῷ ᾠῷ, καὶ καταπινέτω ὁ πάσχων τὸ φάρμακον, καὶ εὔλυτος ἔσται ἡ κοιλία, καὶ τοῦ πνιγμοῦ ἀπαλλαγήσεται. πάνυ δραστικόν ἐστι τὸ βοήθημα, καὶ πρὸς τὰς ὑπὸ γλίσχρων καὶ παχέων χυμῶν συνισταμένας φλεγμονὰς ἄνευ ἑλκώσεως, ἀκριβῶς ποιεῖ. Περὶ φλεβοτομίας. Πρὸ πάντων μὲν τὴν φλεβοτομίαν παραλαμβάνειν ἐπὶ τῶν συναγχικῶν ἀναγκαῖον, ἀλλ᾽ οὐκ ἀθρόαν. αἱ γὰρ κατὰ μέρος κενώσεις ὑποσυλλῶσι μᾶλλον ἐξ αὐτῶν τῶν πεπονθότων τόπων τὸ αἴτιον, διὸ καὶ τρίτον αὖθις καὶ τέταρτον ἀφαιρεῖν δεῖ, τὴν λειποθυμίαν μόνον φεύγοντα. βλάπτει γὰρ ὡς οὐδὲν ἄλλο, τούτοις ἡ λειποθυμία, πολλάκις ἀθρόως συῤῥεῖν τὴν ὕλην ἀναγκάζουσα περὶ τὸ βάθος. καὶ μετὰ τὴν φλεβοτομίαν, ἐὰν μηδεμία τις χαυνώσεως αἴσθησις γένοιτο, ἀλλ᾽ ἔτι κωλύοιτο ἡ κατάποσις, καὶ ἡ τοῦ ἀέρος πρόοδος. καὶ τὰς ὑπὸ τὴν γλῶτταν μὴ κα-

ταϰνήσῃς

ὀκνήσῃς τεμεῖν φλέβας, καὶ μὴ ἀναβάλῃς εἰς τὴν αὔριον, ἀλλὰ κατ' αὐτὴν πρᾶξον
τὴν ἡμέραν. ἐγὼ γοῦν οἶδα κατεπειγούσης πάνυ τῆς χρείας, φλεβοτομήσας ἕω-
θεν, δείλης δέ, τὰς ὑπὸ τὴν γλῶτταν τεμών, καὶ ἑσπέρας δεδωκὼς εἰς τὸν χυλὸν τῆς
πτισάνης δακρύδιον. καὶ οὕτω μόλις ἠδυνήθην λῦσαι τὸν ὑπὸ τῆς φλεγμονῆς γε-
νόμενον βρόγχον. καὶ ἄλλον δέ τινα οἶδα ὑποκαθάρας μετὰ τὸ τμηθῆναι τὰς ἐν ἀγ-
κῶνι τῶν δύο χειρῶν φλέβας, οὐ περιμείνας τὴν ὑστεραίαν. ἦν δὲ τὸ καθάρσιον, ὀπὸς
τιθυμάλου παρ' αὐτὰ ληφθεὶς ἀπὸ τῆς βοτάνης, ὑγρὸς ἔτι, καὶ μηδέ πως ξηρανθείς, εἶχε σταθμὸν, κεράτια γ'. ταῦτα δεῖ ποιεῖν ἐφ' ὧν ἔρρωται ἡ δύναμις, καὶ ὁ κάμνων
ἀκμάζει τὴν ἡλικίαν, καὶ ἰσχυρῶς ἐπικρατεῖ τὸ πάθος, ὡς μηδεμίαν ἀναμονὴν ἐ-
πιδέχεσθαι. οἶδα δὲ καὶ τὰς σφαγίτιδας ποιήσας τμηθῆναι φλέβας, μὴ εὑρηκὼς
τὰς ὑπὸ τὴν γλῶτταν, καὶ τὰ μέγιστα ὠφελήσας. καὶ ἐπὶ γυναικὸς δὲ τὰς ὑπὸ τὸν
ἀστράγαλον, γνοὺς αὐτὴν μὴ καθαίρεσθαι, καὶ μᾶλλον ἐκεῖθεν αὐτῇ συμβαίνειν τὴν
ἀφορμὴν τῆς νόσου, καὶ συνέβη διπλῆν παρακολουθῆσαι τὴν ὠφέλειαν τῇ παραχού-
σῃ κατὰ τὸ αὐτό, καὶ τῶν συνήθων κενώσεων τὴν ὑπόμνησιν, καὶ τοῦ πάθους ἀπαλλα-
γήν. τοῦτο δὲ καὶ ἐπὶ ἀνθρώπου δεῖ ποιεῖν, ἐὰν μάθῃς αὐτὸν δι' αἱμορροΐδων εἰωθό-
τα αἷμα κενοῦν. Περὶ σικύας. Εἰδέναι δὲ δεῖ καὶ τοῦτο ὑμᾶς, ὅτι καὶ ταῖς σικύαις
ἀναγκαῖον ἐπὶ τῶν παθῶν τούτων κεχρῆσθαι, ἀλλ' ὅταν ἤδη παύσηται ἡ ἐπιρρέου-
σα ὕλη, καὶ μήτε πάθος ὑποπτεύσωμεν εἶναι περὶ τὴν κεφαλήν, καὶ τὸ ὅλον σῶμα.
ἐπιρρεούσης γὰρ τῆς ὕλης καὶ τῶν τόπων ῥευματιζομένων, τῶν ἀποκρουστικῶν τι
προσφέρειν δεῖ μᾶλλον καὶ τῶν ἀπωθούντων, ἢ τῶν ἐπισπωμένων. ἐπειδὰν δὲ παύ-
σηται τὸ ἐπιρρέον, καὶ χρεία λοιπὸν τὴν φθάσασαν ὕλην ἐκπεσεῖν εἰς τὰ πεπον-
θότα, διαφορῆσαι, τότε δεῖ καὶ τὰς σικύας προσφέρειν, καὶ πυρίας. εἰ δὲ δεήσει, καὶ κα-
ταπλάσματα. οὐδεὶς γὰρ ἔσται φόβος ἀπερίττου τοῦ ὅλου γινομένου, μὴ ἄλλη τις ἐξ
ἑτέρου ἀπορρυήσεται πρὸς τὰ πεπονθότα. δῆλον δὲ καὶ ὅτι τὸ περιεχόμενον αὐτὸ καὶ
μόνον τὸν κίνδυνον ἐπιφέρον ἑλκοῦσαι περὶ τὰ ἐκτὸς τοῦ πάθους αἱ σικύαι δυνήσονται.

Περὶ τῶν ἔξωθεν ἐπιτιθεμένων. Ἔξωθεν δὲ ἐπιβάλλειν δεῖ τῷ τραχήλῳ ἔριον
ἐλαίῳ βραχέν, ἢ κηρωτὰς ἁπαλὰς ἀπὸ κηροῦ καὶ βουτύρου καὶ στεάτων χηνείων
συγκειμένας. Περὶ καταπλασμάτων. Καταπλάσμασι δὲ κεχρῆσθαι δεῖ τοῖς
δυναμένοις διαφορεῖν καὶ συμπέττειν τὰ φλεγμαίνοντα, τῷ τε διὰ κριθίνου ἀλεύ-
ρου, καὶ λινοσπέρμου, καὶ φοινίκων ἑψηθέντων εἰς ἕψημα, καὶ κρόκου, καὶ ψιχῶν συνη-
ψημένων. φεύγειν δὲ δεῖ τὰ χαλῶντα μόνον καταπλάσματα, καὶ τὰ πάνυ ἀπο-
κρούοντα. εἰ δὲ χρονιωτέρα καὶ σκληροτέρα ἡ φλεγμονὴ φαίνοιτο, καὶ ἰσχάδων ἐστὶ τη-
νικαῦτα προσπλέκειν καλόν, καὶ λαπάθου, καὶ στεάτων, καὶ νίτρου βραχέως. ἕλκειν
γὰρ δεῖ τὴν ὕλην· ὅπερ καὶ ἡ φύσις σπεύδει ποιεῖν. Περὶ πυρίας. Καὶ πυριᾶν δὲ
τὰς χρονίας καὶ σκιρρώδεις οὐδὲν ἄτοπον, χαμαιμήλων ἢ ἀλθαίας ἀποζεσθέντων
θερμῷ ὕδατι, καὶ δάφνης εἰ προσπλέξεις, καὶ μάλιστα ἐπὶ τῶν ἐπὶ ψυχρῶν χυ-
μῶν καὶ δυσκινήτων ἐμπεπλωκότων εἰς τὸ βάθος, ἔτι μᾶλλον ὠφελήσεις. Περὶ διαί-
της. Διαίτῃ δὲ κεχρήσθωσαν, πρῶτον ἁπλούστων, ὑδαρεῖ μελικράτῳ δυναμένῳ
ἅπαντα ποιῆσαι, καὶ λεπτῦναι, καὶ καθᾶραι, τὸ μέν τι δι' οὔρων, τὸ δὲ καὶ διὰ γα-
στρός. διδόναι δὲ αὐτὸ δεῖ καὶ οἷς ὁ θώραξ ἢ ὁ πνεύμων ὑπεδέξατο, καὶ στενοχωρεῖται
τὰ περὶ τὸν θώρακα, καὶ τὸν πνεύμονα, καὶ κινδυνεύει φλεγμονὴν γενέσθαι, καὶ πε-

ειπνευμονίαν, καὶ τρόπον τινὰ κυνάγχην ἄλλην, ἕως ὅτου αἱ φλεγμοναὶ μετεωρότεραι γένωνται, καὶ ἀναπνεύσῃ τὰ περὶ τὸν θώρακα, μὴ παύσῃ παρέχων τὸ μελίκρατον. μετὰ δὲ τρίτην ἡμέραν, καὶ χυλὸν πτισάνης ἐπιδοτέον, ἔχοντα καὶ αὐτὸν πᾶσαν ἀρετήν, καὶ τὸ ῥύπτον, καὶ τέμνον, καὶ τρέφον, καὶ τὸ ῥέον ἐμψύχειν δύνασθαι τῶν φλεγμονῶν. ἤδη δὲ λεπτυνθείσης τῆς φλεγμονῆς καὶ μετεωροτέρας γενομένης, ἀναγκαῖόν ἐστι καὶ τὰς λεκύθους τῶν ὠῶν ἐπιδιδόναι ἁπαλωτάτας, καὶ μὴ πολλάς. ὑπὸ γὰρ τῆς πολλῆς τροφῆς, εὐθὺς στενοχωροῦνται, καὶ πνίγονται πάλιν κινδυνεύουσι. δεῖ οὖν τὴν φλεγμονὴν φεύγειν ὡς μέγα κακὸν ἐπὶ τούτων. οὐ τοσοῦτο γὰρ κινδυνεύουσιν ὑπὸ τῆς ἐλαχίστης τροφῆς, ὅσον ὑπὸ τῆς πλείονος. τοιαῦτα καὶ περὶ συνάγχης εἰρήσθω. οἶμαι δὲ μηδὲν παραλελεῖφθαι, ἄλλης ἕνεκα θεραπείας· εἰ δέ τι καὶ παραλέλειπται, καὶ τοῦτο ἐξευρεῖν δυνήσῃ, ἐκ τῶν καθόλου ποδηγούμενος.

β' Περὶ παρωτίδων.

Διαλαβόντες ἤδη περὶ τῶν κατὰ τὰ ὦτα παθῶν, ἑξῆς ἀκόλουθόν ἐστι καὶ περὶ τῶν καλουμένων παρωτίδων διελθεῖν. δεῖ τοίνυν ἡμᾶς εἰδέναι πρό γε πάντων, ὡς πλεῖσται τῶν παρωτίδων εἰσὶν αἱ διαφοραί. αἱ μὲν γὰρ αὐτῶν εἰσι λόγῳ κρίσεως γινόμεναι, πέψεως ἤδη φανείσης· αἵτινες οὐδὲ φαῦλαι, ἀλλὰ μᾶλλον εὔιατοι τυγχάνουσι, καὶ πολλοὺς ἐκ μεγάλων κινδύνων ῥυσάμεναι· ἕτεραι δὲ πάλιν ὑπάρχουσιν, αἵτινες ὑπὸ πλήθους ἀπέπτου τυγχάνουσι, βαρύνουσαι ἅμα καὶ πρὸς καιρὸν τὴν φύσιν ἐρεθίζουσαι. διὸ καὶ κινδυνεύουσι τῷ χρόνῳ, καὶ πολλὰ ποιούντων τῶν ἰατρῶν, μόλις εἰς διαπύησιν ἢ εἰς πέψιν ἔρχονται. ἀκριβῶς οὖν ἐπισκεπτέον τό, τε ποιὸν, καὶ τὸ ποσὸν τῆς ἐπιρρεούσης ὕλης, καὶ τὰς παρωτίδας ἐργασαμένης. τινὲς μὲν γὰρ αὐτῶν ἐκ πολλοῦ καὶ θερμοτέρου καὶ χολώδους, ὥσπερ ἔνιαι πάλιν ἐκ παχυτέρου καὶ ψυχροῦ χυμοῦ. τούτων δὲ πάλιν αἱ μὲν ἀπὸ πλήθους γινόμεναι θερμοτέρου, μεγάλας τε καὶ σφοδρὰς ὀδύνας ἐπιφέρουσιν· αἱ δὲ ἀπὸ λεπτοῦ, ἐρυσιπέλατα. μήτε βαρύνουσαι, μήτε στενοχωροῦσαι τοὺς πόρους, ὅσαι ὑπὸ τοῦ παχυτέρου αἵματος συνεστήκασι. βαρύνουσι μὲν γὰρ αἱ ὑπὸ μελαγχολικωτέρου τὴν γένεσιν ἐσχηκυῖαι. ἀλλ' οὔτε τὸ ἐρυθρὸν, οὔτε τὸ ἐπώδυνον οὕτως ἔχουσιν αὗται, σκιρρώδη δὲ ὄγκον, καὶ ὥσπερ οἰδηματώδεις εἰσὶν, ὑπὸ φλέγματος γεννηθεῖσαι. ἐπεὶ οὖν αὐτῶν τὸ ποιὸν καὶ τὸ ποσὸν ἐστι διάφορον, ἐπισκεπτομένους ἀκριβῶς, ἐπὶ τὴν ἁρμόζουσαν ἔρχεσθαι δεῖ θεραπείαν.

Θεραπεία τῶν ὑπὸ πλήθους αἵματος συνισταμένων παρωτίδων.

Ἀρξώμεθα τοίνυν ἀπὸ τῶν ἀπὸ πλήθους αἱματικοῦ γινομένων παρωτίδων. ὅταν οὖν ἀπὸ τοῦ τοιούτου συστῶσι χυμοῦ, τοὺς ὄγκους ἀνάγκη μεγάλους καὶ ἐρυθροὺς φαίνεσθαι, καὶ συνεχεῖς ὀδύνας καὶ σφοδρὰς, καὶ κίνδυνον ἐπιφερούσας συμβαίνει. δεῖ οὖν πρὸ πάσης ἄλλης θεραπείας τοπικῆς, ἐπὶ τὴν φλεβοτομίαν ἔρχεσθαι. ὅσοι γὰρ μὴ κενώσαντες εὐθέως, ἐπὶ τὸ καταπλάσσειν ἦλθον, ἢ ἐπ' ἄλλο τι τῶν διαφορεῖν ἢ ἕλκειν τὰς παρωτίδας δυναμένων, οἷά ἐστι τὰ διὰ ζύμης καὶ ἰξοῦ σκευαζόμενα βοηθήματα, οὗτοι φανερῶς αἴτιοι τοῦ πνίγεσθαι τοὺς κάμνοντας ἐγένοντο. διόπερ εἰ μηδὲν ἄλλο κωλύει ἐπὶ τῶν ἐπὶ πλήθους αἵματος παχυτέρου συνισταμένων παρωτίδων, ἐπὶ τὴν φλεβοτομίαν ἔρχεσθαι, καὶ οὕτω θαρρούντως προσφέρειν, οἷς ἄν τις ὑπονοήσειεν ἁρμόζειν τῷ πάθει βοήθημα.

Περὶ καταπλασμάτων. Κα-

τὰ ἐπιπλάσματα μὲν οὖν ἐπὶ τῶν μεγίστων καὶ ἐπωδύνων ἁρμόζει φλεγμονῶν, τά-τε διὰ τοῦ κριθίνου ἀλεύρου, καὶ λινοσπέρμου συγκείμενα. εἰ δὲ καὶ σκληρία τις εἴη, ἰσχάδων τε καὶ στεάτων χοιρείων προσπλέκεσθαι, καὶ λαπάθων. δῆλον δὲ ὅτι εἰς τὸ ζέμα τῆς τήλεως, καὶ τῶν χαμαιμήλων, καὶ τῆς ἀλθαίας, καὶ τῶν ἰσχάδων, ἑψεῖσθαι δεῖ τὸ κατάπλασμα. μετὰ δὲ τρεῖς ἡμέρας τῆς χρήσεως τοῦ καταπλάσματος, κέχρησο καὶ τῇ μνασαίου καλουμένῃ ἐμπλάστρῳ, παρηγορικῇ πάνυ οὔσῃ, καὶ διαφορεῖν τὰ ἐσκιρρωμένα, καὶ μαλάττειν τὰς σκληρίας καλῶς δυναμένῃ. ἔχει δὲ οὕτω, κηροῦ ℔ α', ὀξυγγίου χοιρείου ℔ α', κολοφωνίας ℥ ϛ', λιθαργύρου ℔ β', οἴνου καλοῦ κοτ. ϛ', σκευά-σας χρῶ. οὐκ ἔλαττον δὲ τῶν προειρημένων καὶ τοῦτο ποιεῖ τὸ φάρμακον. ἔχει δὲ οὕτω, τερεβινθίνης ℔ α', μαστίχης κηροῦ ἀνὰ ℥ γ', ἐλαίου, κενταυρείου, μύστρον α', εἰς ὕδωρ θαλάσσιον ἐπίβαλλε τὸ φάρμακον. ἄριστα δὲ ποιεῖ καὶ ἡ διὰ μέλιτος καθ' ἑαυτὴν καὶ μετὰ ψιτλακίου. ὡσαύτως δὲ καὶ ἡ παιωνία, ἐπὶ τῶν ἐπιπολαίων καὶ ἐξ αἵματος ἐχουσῶν τὴν γένεσιν παρωτίδων. ἐπὶ δὲ τῶν ἐν βάθει, καὶ ἐφ' ὧν ἐστι τὸ δέρμα πυκνόν, καὶ ὕλη παχυτέρα, καὶ νίτρου βραχύ, καὶ δρακοντίου ῥίζης τῷ εἰρη-μένῳ καταπλάσματι συμμίξας, ἔτι κάλλιον καὶ διαφορητικώτερον ἐργάσῃ τὸ βοή-θημα, ὥσπερ δὴ τὸ ἀμμωνιακόν. Θεραπεία ἐφ' ὧν σκιρρώδης ἐστὶν ὁ ὄγκος.

Ἐφ' ὧν σκληρία τις εἶναι φαίνοιτο πολλή, χρὴ συνεχῶς ἢ πίσσαν ὑγράν, ἢ στέαρ ταύρειον, ἢ τράγειον, ἢ μόσχειον, ἢ ἐλάφειον, ἢ βδέλλιον, ἢ στύρακα. ταῦτα γὰρ πάντα διαφορεῖν καὶ μαλάττειν οἶδε τοὺς σκληροὺς καὶ σκιρρώδεις ὄγκους. δεῖ οὖν καὶ ἐκ τού-των ἐπιλέγεσθαι τὸ ἑκάστῳ κατάλληλον, ἐπειδὰν διαφορῆσαι καὶ μαλάξαι τὸν ὄγκον ἐλπίζωμεν. ἔστω δὲ τὸ ἐπιβαλλόμενον ἔλαιον ἐπὶ τῶν ἐπὶ ψυχρῷ συνισταμένων παρω-τίδων, καὶ σκληροτέρων, ἢ ἴρινον, ἢ σικυώνιον, ὥσπερ πάλιν ἐπὶ τῶν θερμοτέρων, τὸ ῥό-δινον ἢ χαμαιμήλινον. δῆλον δὲ ὅτι τὰ πάνυ θερμότερα τῶν φαρμάκων, ἐφ' ὧν οὐ πάρεστι πυρετός, ἄμεινον προσφέρειν καὶ ἐπὶ τῶν χρονίων διαθέσεων, οἷά πέρ ἐστιν, ἥτε ἀριοβαρζάνιος, καὶ τὸ διὰ στρουθίου καλούμενον· ὧν καὶ τὰς γραφὰς ὑμῖν ὑπέταξα, πρὸς τὸ μὴ δεῖσθαι ζητεῖν αὐτὰς ἐξ ἑτέρων εὑρίσκειν. Ἔμπλαστρος ἡ ἀριο-βαρζάνιος, ποιοῦσα πρὸς τὰς σκιρρώδεις διαθέσεις. Λιθαργύρου ℔ γ', ℥ α' S'', ἀψινθίου ℔ α', ἐν ἄλλῳ ℥ ιε', ὕδατος ℔ θ', ἐλαίου παλαιοῦ ℔ α' S'', κηρύκων κρεῶν ℔ ζ', ἐν ἄλλῳ ℥ ζ' S'', κηροῦ πυρροῦ ℥ θ', τερεβινθίνης ℥ ϛ', λιβάνου ℥ γ', Ϝ γ' S''.

Τὸ διὰ στρουθίου πρὸς τὰ αὐτά. Στρουθίου βοτάνης ℥ α', ἀμμωνιακοῦ θυ-μιάματος ℥ α', ἐν ἄλλῳ ℥ δ', λιθαργύρου ℥ ε', πιτυΐνης ℔ α', κηροῦ ℔ α', ἀρι-στολοχίας ℥ δ', ἐν ἄλλῳ ℥ α', χαλβάνης ℥ δ', λεπίδος χαλκοῦ ℥ δ', ἐν ἄλλῳ ℥ α', μάν-νης λιβάνου ℥ δ', ὄξους σκιλλητικοῦ κοτ. γ', ἐλαίου παλαιοῦ ξε. δ'. ἕψε τὸ ἔλαιον καὶ τὴν λιθάργυρον, καὶ τὸ ὄξος, ἕως ἀμολύντου· εἶτα θὲς χαμαὶ τὴν κάκαβον, καὶ πρόσβαλλε τὸ στρουθίον, καὶ τὸ ἀμμωνιακόν, καὶ τὴν λεπίδα, καὶ τὴν χαλβάνην. εἶτα κινῶν σπάθῃ, πρόσβαλλε τὴν μάνναν, καὶ τὴν ἀριστολοχίαν, καὶ ἕψε ἕως ἂν συ-στραφῇ. ἄρας δὲ τὴν κάκαβον, κίνει. τινὲς δὲ ὄξος ὕστερον ἐπιβάλλουσι. τοῦτο τὸ φάρμα-κον ποιεῖ καὶ ἐπὶ παρωτίδων, καὶ μάλιστα ἐπὶ χοιράδων. βοηθεῖ δὲ καὶ ἐπὶ σκιρρωδῶν, καὶ πρὸς σκληρὰ κονδυλώματα, νευρώδεις, ἀρχομένας * πανούκλας, σκιρρω-θέντα σπλάγχνα, πρὸς ἀποστήματα τοῦ στομάχου, πόρους διαλύει, καὶ ἁπλῶς ἐπι-τετευγμένον ἐπὶ πολλῶν ἐστι τὸ φάρμακον. Διάγνωσις τῶν μελλόντων μεταβάλλε-

διὰ τὸν ὄγκον εἰς πῦον. Εἰ δὲ πρὸς τὰ διαφορεῖν δυνάμενα τῶν φαρμάκων καὶ τῶν καταπλασμάτων μηδὲν ὁ ὄγκος ἀξιόλογον μειούμενος φαίνοιτο, ἀλλὰ καὶ τὰ τῆς ὀδύνης ἐπιμένοι, μεταβαίνειν λοιπὸν ἀνάγκη ἡμᾶς ἐπὶ τὰ διαπυΐσκειν δυνάμενα, καὶ συμπέττειν τὴν ὕλην. τοῦτο δὲ δύναται τό, τε διὰ γύρεως ἐν ὑδρελαίῳ ἑψόμενον κατάπλασμα, καὶ λαπάθου, καὶ ὀξυγγίου χοιρείου. δῆλον δέ σοι ἔσται τὸ ἤδη μεταβάλλεσθαι τὴν ὕλην εἰς πῦον, ἐκ τοῦ καὶ ῥῖγος ἄλογον, καὶ πυρετὸν ἐπιγίνεσθαι νῦν πρότερον μὴ ὑπάρχοντα, καὶ τὴν ὀδύνην μείζονα. ἐπειδὰν μὲν οὖν εἰς πῦον ἔλθῃ, μεταβαλλομένης τῆς ὕλης, τότε καὶ μᾶλλον τοῖς πυοποιοῦσι δυναμένοις ἄγειν, οὐ μόνον καταπλάσμασιν, ἀλλὰ καὶ φαρμάκοις κεχρῆσθαι δεῖ. τῶν μὲν οὖν ἁπλῶν εἰσιν ἐπιτήδεια πρὸς τὰ τοιαῦτα, τό, τε εὔκρατον ὕδωρ συνεχῶς πυριώμενον, ποτὲ μὲν καθ᾽ ἑαυτό, ποτὲ δὲ καὶ γλυκέως προσλαβὸν ἔτι μᾶλλον ἐνεργήσει. οὐ μὴν ἀλλὰ καὶ τὸ πύρινον σὺν τούτοις ἑψόμενον. ὁμοίως δὲ καὶ τὸ τοῦ ἄλικος, ἀλλ᾽ ἐπὶ τῶν ὑγροτέρων μᾶλλον ὄγκων. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ὁ καθαρὸς ἄρτος μᾶλλον τοῦ ῥυπαροῦ πλέον. καὶ ἡ πίττα δὲ λειουμένη μετὰ ἐλαίου, καὶ τὸ μόσχειον στέαρ, καὶ τὸ ὕειον ἐκτὸς ἁλῶν συγκείμενα. τὰ γὰρ μετέχοντα ἁλῶν, εἰς τὸ διαφορῆσαι μᾶλλον. εἰσὶ δὲ καὶ ἄλλα οὐκ ὀλίγα τῶν ἁπλῶν, συντελοῦντα πρὸς διαπύησιν. ἀλλὰ μεταβαίνειν ἄμεινον ἐπὶ τὰ σύνθετα. πολλὰ μὲν οὖν εἰσι καὶ ἄλλα τῶν καταπλασμάτων, ὅσα διὰ γύρεως σκευάζονται, ἑψήματος τέταρτον γʹ, γύρεως ξέστης αʹ, ἐν ἄλλῳ λίτρα αʹ. ταῦτα λειώσας καλῶς, καὶ εἰς ῥάκος ἐπιπλάσας, ἐπιτίθει συνεχῶς ἀλλάσσων. ἐγὼ δὲ ἑψήσας τὴν γύρειν μετὰ ἑψήματος καὶ ὀξυγγίου, τελευταῖον ἐπιβαλὼν τὰ ὠά, παρηγορικώτερον ἐποίησα τὸ βοήθημα. συνεργεῖ δὲ καλῶς καὶ τὸ φάρμακον τοῦτο πρὸς τὸ γενέσθαι ταχυτέραν τὴν διαπύησιν, καὶ τοὺς ὠμοὺς καὶ ἀπέπτους πέψαι χυμούς· οἶδε καλῶς καὶ τοὺς ἤδη μεταβληθέντας εἰς πῦον, ἐκρήσσειν. οἶδε καὶ διὰ λεπτῶν καὶ ἀοράτων πόρων τὸ ἐγκείμενον ὑγρὸν ἀοράτως ἕλκειν, ὥστε τὰς οὐλὰς ὕστερον λεπτὰς καὶ ἀδήλους τρόπον τινὰ φαίνεσθαι. ἔχει δὲ οὕτω, ζύμης λίτρα αʹ, κηροῦ Γο ηʹ, ἀποχύματος Γο δʹ, ἐν ἄλλῳ Γο αʹ, ἁλῶν κοινῶν Γο ϛʹ, χαλβάνης Γο αʹ, ἐν ἄλλῳ Γο δʹ, ἁλὸς ἄνθους, πεπέρεως ἀνὰ Γο αʹ, στέατος ταυρείου Γο δʹ, σάπωνος Γο γʹ, πιτυΐνης Γο αʹ. ποιήσας τὸ φάρμακον, οὐ μόνον ἐπὶ παρωτίδων, ἀλλὰ καὶ ἄλλων ἀποστημάτων, ὅπου γε νομίσεις ἀμφοτέρων χρήζειν τὴν διάθεσιν, ὥστε τοὺς μὲν ἤδη μεταβληθέντας, ἐκρηγνῦναι, τοὺς δὲ ἀμεταβλήτους ὄντας, πεφθῆναι.

Ἄλλο. Τὰ αὐτὰ δὲ τούτῳ δύναται ποιεῖν καὶ τὸ τοῦ κυμίνου λαμβανόμενον φάρμακον. ἔχει δὲ ἡ γραφὴ τούτου οὕτως, ἀλεύρου κριθίνου λεπτοῦ πάνυ Γο κζʹ, ἁλῶν κοινῶν Γο εʹ, πίσσης Γο αʹ, κηροῦ καὶ νίτρου ἀνὰ Γο εʹ, κυμίνου Γο βʹ, φρυκτῆς Γο εʹ, ἐλαίου Γο ηʹ, ἀλθαίας Γο εʹ, ἐν ἄλλῳ Γο ϛʹ, χυλοῦ πτισάνης λίτρα αʹ, ἐν ἄλλῳ Γο αʹ, χυλοῦ λινοσπέρμου Γο αʹ. λείου τὰ ξηρὰ οἴνῳ, καὶ κατάχει τὰ τηκτὰ καθ᾽ αὐτῶν. τοὺς δὲ χυλοὺς τοὺς ἀπὸ λινοσπέρμου καὶ πτισάνης ἐπιμελῶς ἑψήσας, ὥστε μὴ μετακαῆναι, χρῶ τῷ φαρμάκῳ τούτῳ θαρρῶν καθόλου ἐπὶ παρωτίδων, καὶ ἐπὶ ἄλλων ἀποστημάτων. καὶ γὰρ πεπαίνει, διαφορεῖ, ἀμύσσει, παρὰ πολλὰ ταχέως, καὶ τὰ ὀδυνώμενα παρηγορεῖ.

Τὸ διὰ γύρεως. Ποιεῖ δὲ καλῶς καὶ τὸ διὰ γύρεως, ἔχον οὕτως, χοιρείου στέατος Γο ϛʹ, κηροῦ Γο βʹ, ὠῶν δύο τὰ λευκά, μέλιτος ἴσον τῶν ὠῶν, γύρεως τὸ ἀρκοῦν. τὸν κηρὸν πρῶτον σὺν τῷ στέατι τῆκε, εἶτα ἐπίβαλλε μετρίως αὐτῷ μετὰ τὸ λυθῆναι χλιανθέντα τὰ λευκὰ τῶν ὠῶν, καὶ τὸ μέλι ἐμβαλὼν ἐν τῇ θυείᾳ, τρῖβε

καλῶς

καλῶς, καὶ οὕτω τὸ ψύχειν κατὰ μικρὸν, ἕως μετρίας συστάσεως. καὶ ἐπίβαλλε τὰ λυθέντα, καὶ πάλιν τρίψας καλῶς, οὕτω χρῶ θαρρῶν, ἐπιπλάττων. πάνυ γάρ ἐστι διαφορητικὸν καὶ παρηγορικὸν, ῥήσσει, καθαίρει, ἀποκαθιστᾷ τελείως. ποιεῖ δὲ καὶ πρὸς τοὺς συναγχικούς. Ἄλλο τὸ διὰ σήεικος. Ποιεῖ καὶ τὸ διὰ τοῦ σήεικος σκευαζόμενον, πρὸς τὰς αὐτὰς διαθέσεις. ἔχει δὲ οὕτω, σήεικος ℥ α', ἐλαίου κο δ', ὅ ἐστι ξε̃ ὃ S, ἕψε ἕως ἀμολύντου. πρὸς πολλὰ ποιεῖ τὸ φάρμακον. μὴ καταφρονήσῃς τῆς εὐτελείας τῶν εἰδῶν. ποιεῖ δὲ καὶ τὸ ὑφ' ἡμῶν σκευαζόμενον φάρμακον τῆς διὰ μέλιτος, κατ' ἀρχὰς μὲν πέντε μέρη τοῦ φαρμάκου, δύο τῆς διὰ μέλιτος, ἔσθ' ὅτε δὲ καὶ καθ' ἑαυτὸ τιθέμενον. ἔστι γὰρ ἐπὶ πολλῶν ἐπιτετευγμένον. ἔχει δὲ οὕτω, προφοσάκτου Γο ς', λεπτοκαρύων Γο β', σάπωνος γαλλικοῦ Γο ς', ἐν ἄλλῳ Γο δ', ἀφρονίτρου λευκοῦ Γο ς', μέλιτος Γο γ', ἐλαίου παλαιοῦ ℥ α', κηροῦ Γο γ', τερεβινθίνης Γο ζ', ἐν ἄλλῳ Γο ιε', ἐν ἄλλῳ πάλιν εὗρον, ὠῶν ἑπτὰ τὰ λευκά. τοῦτο διαλύει, καὶ λεπίδας ἀνάγει, καὶ ἐπὶ πολλῶν ὠφέλιμόν ἐστι. ταῦτα μὲν ἐπὶ τῶν μέσων φλεγμονῶν, ἐφ' ὧν οὐκ ὀδύνη σφοδρὰ πολλὴ, καὶ ἐξαλλῶσαι θέλομεν τοὺς ὄγκους, οὔτε θερμασίαν πολλὴν ποιεῖν χρή.

Περὶ τῶν ἐπὶ χολώδει ῥεύματι συνισταμένων παρωτίδων.

Εἰ δὲ συμβῇ γενέσθαι τὴν παρωτίδα ἐκ λεπτοῦ καὶ ζέοντος αἵματος, καὶ ἐπὶ τὸ χολῶδες ἐκτραπέντος, ἔνεστί σοι καὶ τοῦτο γνωρίσαι καὶ ἐκ πολλῶν μὲν ἄλλων, οὐδὲν δὲ ἧττον καὶ ἐκ τοῦ τὸν ὄγκον ἐρυθρότερον εἶναι καὶ πυρώδη, καὶ ἐρυσιπέλατι παραπλήσιον, καὶ οἱονεὶ φλέγεσθαι δοκεῖν τὸν κάμνοντα, καὶ τοὺς ἁπτομένους αἰσθάνεσθαι σαφοῦς θερμασίας. ἐπὶ τούτων οὖν ἁρμόζει προσφέρειν τὰ διὰ τῶν ὠῶν, καὶ χαμαιμήλου, καὶ ἑψήματος, ἅπερ εἴωθα σκευάζειν ἐπὶ τῶν πυρεσσόντων, καὶ ἡ ληξιπύρετος κηρωτὴ σκευαζομένη ἀμβροσία, ἧς ἡ σύνθεσίς ἐστιν αὕτη, κρόκου ℈ δ', λιθαργύρου ℈ α', ἐν ἄλλῳ Γο α', ῥοδίνου, κηροῦ ἀνὰ Γο ε', στέατος χοιρείου Γο β', μέλιτος Γο α', χυλοῦ λινοσπέρμου τὸ ἀρκοῦν. καλῶς δὲ ποιεῖ καὶ τοῦτο τὸ φάρμακον ἐπὶ τῶν θερμῶν διαθέσεων. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτω, κηροῦ Γο ε', χαμαιμήλου Γο β' S'', ῥοδίνου Γο β' S'', ὠῶν πυρρὰ ζ', φαβαΐνου ἀλεύρου Γο α', ἐν ἄλλῳ Γο δ', σκευάσας χρῶ. Ἄλλο κάλλιστον πρὸς τὸ αὐτό. Ὑοσκύαμον καὶ λάπαθον σὺν ὀξυκράτῳ λειώσας, κατάπλαττε, ἀλλάσσων δὶς τῆς ἡμέρας, ἢ τρίς. Ἄλλο. Κηροῦ Γο β', ἐν ἄλλῳ Γο ς', κολοφωνίας Γο ς', ἐλαίας, τῶν φύλλων τῆς περδικιάδος Γο ς', ἐλαίῳ σκευάσας χρῶ. ποιεῖ δὲ καὶ καθ' ἑαυτὸ τὸ ψύλλιον ἑψόμενον καὶ καταπλαττόμενον, ἔσθ' ὅτε δὲ καὶ ὠῶν προσπλεκομένων, οὐ μὴν ἀλλὰ καὶ τὸ διὰ χυλοῦ σκευαζόμενον. ἔχει δὲ αὐτοῦ ἡ γραφὴ οὕτως, λιθαργύρου λειοτάτης Γο δ', ἐν ἄλλῳ ℥ α', ἐλαίου, κηροῦ καθαροῦ ἀνὰ ℥ ζ', κηροῦ τυρρηνικοῦ ℥ α', πιτυΐνης Γο δ', χυλοῦ ψυλλίου ℥ γ'. τὸν χυλὸν τοῦ ψυλλίου ποιήσεις οὕτως, βάλλε ψυλλίου Γο γ', ὕδατος πηγαίου ℥ ς', καὶ πρὸ μιᾶς ἀπόβρεχε τῷ ὕδατι, καὶ τῇ ἐπιούσῃ ἕψε σφοδρῷ πυρὶ, ἕως οὗ ἐρίφου ζωμοῦ τὴν σύστασιν σχῇ ὁ χυλὸς, καὶ διαλαβὼν, δίηθε ὅσον ἂν ὑπέλθῃ. ταχὺ γὰρ πήγνυται. εἶτα πάλιν ἀνάλαβε εἰς τὴν κάκαβον, καὶ πάλιν δίηθησον, καὶ οὕτω ποίει θερμαίνων, ἕως οὗ ἀπολάβῃ τὴν συσταθμίαν τῶν τριῶν λιτρῶν. εἶτα οὕτως ἔχε λελειωμένην τὴν λιθάργυρον καθ' ἑαυτὴν, ἔπειτα μετὰ τοῦ ἐλαίου ἔμβαλλε εἰς τὸ χαλκεῖον καὶ τοὺς χυλοὺς, καὶ κίνει ἕψων μαλακῷ πυρὶ μέχρις ἀμολύντου. εἶτα κάτω χαλάσας, βάλλε τὸν κηρὸν καὶ τὴν πιτυΐνην, καὶ ἐπὰν μηκέτι μολύνῃ, βαστάσας, κατακένωσον εἰς θυείαν, καὶ τῇ σπάθῃ

μαλάξας, ἀνελόμενος, ἀπόθου εἰς δέρμα, καὶ χρῶ ἐφ' ὧν ἂν δόξῃ. ποιεῖ γὰρ ἐπὶ πολλῶν καὶ ἄλλων παραδόξως, ἕως οὗ ἐρείφου ζωμοῦ τὴν σύστασιν λάβῃ ὁ χυλός. κάλλιστα δὲ καὶ τῶν καταπλασμάτων εἰσὶν, ὅσα διὰ φοινίκων, καὶ ψιχῶν, καὶ κρόκων ὠῶν, καὶ γλαυκίου, καὶ κρόκου, καὶ ἀλεύρου κριθίνου σύγκειται. καὶ γὰρ καὶ συμπέττουσιν, εἰ καί τις εὑρεθείη (ζέουσα τῇ πυρώδει φλεγμονῇ σκληρία. κέχρηνται) μὲν οὖν τινες καὶ τοῖς ἔχουσι στρύχνον. ἐγὼ δὲ τὰ τοιαῦτα παραιτοῦμαι, καθάπερ καὶ τὰ στυπτηρίαν ἔχοντα, καὶ ἄλλο τι τῶν στυφόντων. παρακρούει γὰρ τὴν ὕλην ἐν τῷ βάθει οὐκ ἀκινδύνως. Πρὸς τὰς οἰδηματώδεις παρωτίδας. Μεταβαίνειν ἤδη καιρὸς πρὸς τὰς ἀπὸ φλέγματος συνισταμένας παρωτίδας, αἵτινες οὐδὲν ἔχουσιν ὀδυνηρὸν, ἢ ἀντίτυπον. ἐπὶ τούτων τοίνυν ἁρμόζει ἡ κιμωλία γῆ καταπλαττομένη, καὶ τὸ λάπαθον ἐπιβαλλόμενον, ἐπιχριόμενον δηλονότι πρότερον βουτύρῳ, καὶ ἡ ἄσβεστος ἡ πλυτὴ ἐπιχριομένη. καλῶς τοὺς οἰδηματώδεις ὄγκους οἶδε διαφορεῖν. καὶ ὄροβοι μετὰ μέλιτος ἐπιπλαττόμενοι ἢ μελικράτου, πάνυ ξηραντικὴν καὶ διαφορητικὴν δύναμιν ἔχουσι. Περὶ διαίτης. Διαίτῃ δὲ κεχρήσθωσαν πρό γε πάντων ἀκολούθως μάλιστα, καὶ ἁρμοζούσῃ πρὸς τὴν ὑποκειμένην διάθεσιν καὶ τὴν ποιοῦσαν * ἐπὶ γὰρ τῶν ἀπὸ χολώδους χυμοῦ γινομένων παρωτίδων, εὐκράτῳ διαίτῃ καὶ ψυχούσῃ κεχρῆσθαι προσήκει. χυλὸς τοίνυν ἁρμόζει τούτοις, καὶ μάλιστα κατ' ἀρχὰς ἔτι τῆς φλεγμονῆς οὔσης ἐπωδύνου, ὅ, τε τῆς πτισάνης καὶ τοῦ ἄλικος, καὶ σεμιδάλεως εὖ μάλα καθεψηθείσης, ὁπότερον ἐκ τῶν εἰρημένων χυλῶν ὁ κάμνων προσφέροιτο παραπλησίως, καὶ οἱ τῶν ὠῶν λέκυθοι τούτοις ἐπιτήδειοι, καὶ τῆς μαλάχης οἱ καυλοί. τῆς δὲ φλεγμονῆς παρακμαζούσης, καὶ οἱ πετραῖοι τῶν ἰχθύων, καὶ περιστερᾶς οἱ νεοσσοὶ, καὶ τὰ ἄκρα τῶν κατοικιδίων ὀρνίθων. τοῖς αὐτοῖς καὶ ἐπὶ τῶν ἄλλων διαφορῶν τῆς παρωτίδος κεχρῆσθαι δεῖ τοὺς κάμνοντας. οἱ δὲ χωρὶς πυρετῶν ὄντες κατ' ἀρχὰς, εἰ ἰχθύος, * ἢ ἀφρίτου, ἢ περιστερᾶς προσενέγκωνται, οὐδὲν βλαβήσονται.

Κεφάλαια τοῦ πέμπτου βιβλίου.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Περὶ βηχός. α'



Ἡ βήξ, ἐστὶ σύμπτωμα καὶ αὐτή, καθάπερ καὶ ἡ δύσπνοια. διαφορὰς δὲ καὶ αὐτὴ ἔχει τὰς ποιούσας αἰτίας. ποτὲ μὲν γὰρ ἄρχεται ἀπὸ θερμῆς δυσκρασίας, ἔσθ᾽ ὅτε δὲ καὶ ἀπὸ ψυχρᾶς, ἢ ξηρᾶς, ἢ ὑγρᾶς. οὐ μόνον δὲ κατὰ ποιότητα ψιλήν, ἀλλὰ καὶ καθ᾽ ὕλην ἐπίῤῥυτον ὡσαύτως συνίσταται, πάντως τοῦ ἐπιῤῥέοντος χυμοῦ ἢ θερμήν, ἢ ψυχράν, ἢ ἄλλην τινὰ ποιότητα προσειληφότος. εἰδέναι δὲ δεῖ καὶ τοῦτο, ὡς οὐ διαφέρουσιν ἀλλήλων αἱ βῆχες κατὰ τὴν αἰτίαν μόνην, ἀλλὰ καὶ κατὰ τοὺς τόπους· καὶ ὅτι αἱ μὲν αὐτῶν κατὰ πρωτοπάθειαν, αἱ δὲ κατὰ συμπάθειαν συνίστανται. ἐπεὶ οὖν οὐ μίαν αἰτίαν ἡ βήξ, ἀλλὰ ποικίλην κέκτηται, δεῖ καὶ ἡμᾶς ζητεῖν μετὰ πάσης σπουδῆς ἐπὶ τὴν διάγνωσιν καὶ τὴν διάκρισιν τῆς ποιούσης αἰτίας. ὡμολόγηται γὰρ παρὰ πᾶσι τοῦτο, καὶ δηλόν ἐστιν ὡς ἄνευ διαγνώσεως, οὐκ οἴονται θεραπεῦσαι καλῶς. Διάγνωσις τῆς διὰ θερμὴν δυσκρασίαν βηχός. Ψιλῆς τοίνυν οὔσης

τῆς θερμῆς δυσκρασίας, αἰσθάνονται μὲν ἴσως διά τινος ποιότητος τοιαύτης, οἱ δὲ δυσκρασίας θερμῆς βήσσοντες, καὶ ἀναπνεῖν ἐπιθυμοῦσι ψυχρὸν ἀέρα, καὶ ὠφελοῦνται μᾶλλον ὑπὸ τῆς εἰσπνοῆς, ἤπερ ὑπὸ τῆς τοῦ ὕδατος πόσεως, καὶ τὰ περὶ τὸ πρόσωπον ἐρυθρὰ μᾶλλον ὁρᾶται, καὶ τὴν κεφαλήν. εἰ μὲν οὖν οὕτως εἴη μόνη ψιλὴ ποιότης, οὐδὲν ἀναπτύουσιν ἄξιον λόγου, ἢ οὐδὲ ὅλως. εἰ δὲ καὶ ἀναπτύουσιν, ἁλμυρὰν αὖθις ἔχον ποιότητα τὸ πτυόμενον φαίνεται, ἢ καπνῶδες τῇ χροιᾷ, ἢ ὑπόχολον, καὶ τοῦτο σφόδρα ὀλίγον καὶ λεπτόν. οὕτω γάρ ἐστι τὴν διὰ θερμὴν δυσκρασίαν βῆχα ἀπὸ τῶν προόντων σημείων διαγινώσκειν. οὐδὲν δὲ ἧττον καὶ ἀπὸ τῶν προηγησαμένων ἐξ ἐγκαύσεως ὡς ἐπὶ τὸ πολύ, καὶ θερμῶν βαλανείων, καὶ διαίτης θερμῆς, καὶ ἐπιθυμιῶν μᾶλλον ἢ φροντίδος τοῦτο γενέσθαι.

Περὶ βηχὸς διὰ ψυχρὰν δυσκρασίαν γινομένης.

Ὅσοι δὲ βήσσουσι διὰ ψυχρὰν δυσκρασίαν ἐν τῷ θώρακι διὰ ψυχρὰν ποιότητα, μᾶλλον ὠχρότεροί εἰσιν οὗτοι τὰ περὶ τὸ πρόσωπον καὶ τὴν κεφαλήν, καὶ οὔτε διψώδεις εἰσίν, οὔτε ἁλμυρὸν ἀναπτύουσι, καὶ βλάπτονται μὲν ὑπὸ τῶν ψυχόντων, ὀνίνανται δὲ ὑπὸ τῶν θερμαινόντων, καὶ ὀξύτητος μᾶλλον ἢ πικρίας ὡς ἐπὶ τὸ πολὺ αἰσθάνονται· καὶ προηγεῖται μᾶλλον τούτοις ψύξις ἢ ἔγκαυσις, καὶ λουτρῶν ἀκαίρων καὶ πομάτων, καὶ ἐδεσμάτων ψυχρῶν χρῆσις. οὕτω μὲν αἱ διὰ ψυχρὰν αἰτίαν ἢ θερμὴν διαγινώσκονται βῆχες.

Περὶ βηχὸς διὰ ξηρὰν ἢ ὑγρὰν δυσκρασίαν γινομένης.

Αἱ δὲ κατὰ ξηρότητα καὶ ὑγρότητα δυσκρασίαι, ταῖς δραστικαῖς ὡσαύτως διαγινώσκονται ποιότησι. διαφέρουσι δὲ τοῦ μᾶλλον τὰς δραστικὰς ἔχειν ἐναργέστατα σημεῖα, τὰς δὲ ὑλικὰς ἀμυδρότερα. καὶ οὐ χρὴ ταῦτα πάλιν λέγειν. αἱ δὲ κατὰ ἐπίρρυσιν ὕλης ἐπιγινόμεναι βῆχες, αὐταί τε διὰ τῶν ἀναπτύεσθαι πλῆθος εὔδηλαι, ἀλλὰ καὶ φανεραὶ τυγχάνουσιν, ὅτι κατὰ ῥευματισμὸν ἐξ ἑτέρων ἐπιπεμπόντων τὴν γένεσιν ἔχουσιν, ὅθεν δὲ καὶ ἐξ ὁποίων ἐπιπέμπονται μορίων. καὶ τοῦτο διορίζεσθαι δεῖ καὶ προσέχειν, εἴτε ἐκ τῆς κεφαλῆς ἐπιρρεῖ τὸ κινοῦν τὴν βῆχα, εἴτε καὶ ἐξ ἑτέρων, καὶ ποῖα. καὶ γὰρ ὁ πνεύμων ἀδικεῖται πολλάκις· πρῶτος γάρ ἐστιν· εἶτα ὁ θώραξ, ἢ πλευρόν, ἢ τὸ διάφραγμα, ἢ ἄλλο τι μόριον. εἴπωμεν οὖν καὶ τούτων τὰς κατὰ μέρος διαγνώσεις, ἅμα δὲ καὶ τὰς θεραπείας, ὡς πανταχόθεν ἀπαράλειπτον εἶναι τὸν περὶ τῆς βηχὸς λόγον, καὶ μᾶλλον εὑρίσκειν ἁπλῶς εὐχερῶς τὸν εἰς θεραπείαν ἐπειγόμενον ἰατρόν. Διάγνωσις ὅτι ἐκ τῆς κεφαλῆς ἐπιρρεῖ. Εἰ μὲν οὖν ἐκ τῆς κεφαλῆς εἴη τὸ ἐπιρρέον, ἀνάγκη κατὰ τὴν σταφυλὴν ἢ τὴν τραχεῖαν ἀρτηρίαν, ἐρεθισμόν τινα γίνεσθαι.

ϛ' Φλεγμονῆς ἐν τῷ πνεύμονι σημείωσις.

Δύσπνοιαι δὲ καὶ πυρετὸς ὀξὺς ἐπιφερόμενος, ἔσθ' ὅτε δὲ καὶ γλῶσσα τραχεῖα, καὶ μῆλα ἐρυθρά, καὶ βάρους συναίσθησις, καὶ πρὸς τούτοις, εἰ καὶ μηδὲν ἄξιον ἀναπτύεται δυσπνοούντων αὐτῶν, φλεγμονὴν ἐξ ἀνάγκης ἐκ πάντων τούτων ὑποπτεύειν ἡμᾶς περὶ τὸν πνεύμονα γεγενῆσθαι προσήκει. εἰ δὲ καὶ δίψη σφοδρὰ συνέχοιτο, πρὸς τοῖς σημείοις τούτοις, καὶ θέρμης αἴσθησις αὐτοῖς γίνοιτο πολλὴ περὶ τὸν θώρακα, ὥστε ψυχρὸν ἐπιθυμεῖν ἀέρα ἀναπνεῖν, ἔτι καὶ μᾶλλον ὑπονοεῖν δεῖ ζέουσαν εἶναι τὴν φλεγμονὴν περὶ τὸν πνεύμονα. εἰ δὲ χολῶδες ἀναπτύοιτο, μὴ πάνυ δὲ βάρους ἢ στενοχωρίας συναίσθησις γίνοιτο, ἀλλὰ μᾶλλον θέρμης, ἐρυσίπελας εἶναι συ-

φῶς ἐν τῷ πνεύμονι γίνωσκε. δῆλον μὲν ἐστὶ τὸ πῦον καὶ ἐξ αὐτῆς τῆς χροιᾶς μόνης, καὶ ἐξ ἄλλων δὲ σημείων, ἐξ ὧν ἐμάθομεν πῦον διαγινώσκειν, καὶ ἀπὸ τῆς ὀσμῆς τῆς ἀποκαύσεως γινομένης, καὶ τοῦ διαλύεσθαι βαλλόμενον ἐν ὕδατι, καὶ μὴ ὑφιζάνειν, ὥσπερ τὸ φλέγμα καὶ ὁ ὠμὸς χυμός. εἰ μὲν οὖν περὶ τὸν θώρακα, δῆλον ἐκ πολλῶν μὲν καὶ ἄλλων, ἔτι δὲ καὶ ἐκ τοῦ βάρους συναίσθησιν γίνεσθαι περὶ τὸ τῶν στέρνων μέρος, καὶ περιρρέοντος αὐτοῦ ἐν ταῖς ἀθρόαις μεταστροφαῖς, ψοφοῦντος ἀκούειν πολλάκις. ταῦτα μὲν οὖν ἱκανὰ παραστῆσαι, τὸ περιέχεσθαι ἐν τῷ θώρακι πῦον. εἰ δὲ πρὸς τοῖς εἰρημένοις προηγήσατο μὲν πλευρῖτις, μηδὲν δὲ ἀξιόλογον ἀνεπτύσθη, τὸ δὲ πτυόμενον βιαίως γινόμενον, δῆλον ὅτι ὁμολογούμενον πῦον ἐστὶ τὸ περιεχόμενον ἐν τῷ θώρακι.

γ' Περὶ φύματος ἐν τῷ πνεύμονι συστάντος.

Εἰ γὰρ εἴη φῦμα μεταξὺ τεθὲν ἐν τῷ πνεύμονι, ἔσται μὲν πάντως στενοχωρία καὶ δύσπνοια, ποτὲ μὲν ἀθρόως συμβαίνουσα, ποτὲ δὲ κατὰ σύνηθες προστιθέντος αὐτοῦ δυναμένου, κατὰ μικρὸν αὐξανομένη, καὶ οὔτε ἀναπτύουσιν οὐδέν, οὐδὲ ψόφον τινά, οὐδὲ κέρχνον ὑπομένουσιν. οὔτε γὰρ συμβῆναι δυνήσεται, ἔτι ἀπέπτου καὶ μηδέπω ἀποβεβλημένου τοῦ φλέγματος.

δ' Γλίσχρων χυμῶν περιεχομένων ἐν τῷ πνεύμονι σημεῖα.

Ὁπηνίκα δὲ ἀθρόως ὁ κάμνων αἴσθηται στενοχωρίας ἐκτὸς ὀχλήσεως πυρετοῦ, καὶ δίψης πολλῆς, ἔχει δέ τινα κέρχνον μετὰ βηχός, ἔσθ' ὅτε δὲ καὶ ἀναγωγὴν ὑγροῦ, δῆλον ὡς παχὺ καὶ γλίσχρον ἐστὶ τὸ περιεχόμενον ἐν τῷ πνεύμονι, καὶ συρρεῦσαν ἐκ τῆς κεφαλῆς, ἢ ἐξ ἄλλου τινὸς μορίου. ἔσται δέ σοι φανερὸν εἰς διάγνωσιν καὶ ἐκ τοῦ περὶ τὴν σταφυλὴν ἐρεθισμὸν καὶ γαργαλισμὸν προηγήσασθαί τινα, τὴν κεφαλὴν αἰτίαν εἶναι τῆς ἐπιρρεούσης ὕλης τῷ θώρακι. ταῦτα ἀρκεῖ πρὸς τὸ διαγινώσκειν τὰς διαφόρους ἰδέας τῆς βηχός, καὶ ὅσα κατὰ θώρακα ἢ πνεύμονα πάθη συνίστανται. εἰσὶ δὲ καὶ ἄλλα περὶ ὧν ὕστερον λεχθήσεται, ἔνθα καὶ περὶ ἑλκώσεως, καὶ ῥήξεως, καὶ διαβρώσεως ἀναγκαζόμεθα γράφειν. ὃ δὲ ἐγὼ ἐθεασάμην, ἀναγκαῖον ἐνόμισα μὴ σιωπῆσαι, ἀλλὰ καὶ ὑμῖν ἐκθεῖναι. ἔδοξε γὰρ ἐμοὶ ξένον εἶναι καὶ θαυμαστόν. ἔπτυσέ τις ἀνὴρ λίθον τὴν ἰδέαν ἀκριβῶς, οὐχὶ παχὺν χυμὸν καὶ γλίσχρον, ἀλλ' ὄντως λίθον, οὐ τραχύν, ἀλλὰ καὶ πάνυ λεῖον, καὶ σκληρόν, καὶ ἀντίτυπον, ὥστε καὶ κτύπον ποιεῖν ῥιπτόμενον τῇ γῇ. οὗτος ὁ ἀνὴρ πολὺν χρόνον ὀχληθεὶς ὑπὸ τῆς βηχός, οὐκ ἠδυνήθη τοῦ βήσσειν ἰσχυρῶς ἀπαλλαγῆναι, ἕως ὅτου τὸν λίθον ἀνέπτυσεν. ἐχρώμην δὲ καὶ διαίτῃ εὐκράτῳ καὶ ὑγραινούσῃ, καὶ μᾶλλον ψυχούσῃ μετρίως. ἦν γὰρ καὶ φροντιστικός, καὶ λεπτὸς τὴν ἕξιν, ὥστε καὶ ἐοικέναι αὐτὸν τοῖς φθινώδεσι. καὶ εἰ μὴ τούτοις ἐχρησάμην, οἶμαι ὅτι ἂν ἀπώλετο παραπλησίως τοῖς φθόην νοσήσασι. μέμνηται δὲ καὶ ὁ θειότατος Γαληνός, οὐ λίθον ἀναπτύσαντός τινος, ἀλλὰ χαλαζίοις παραπλήσια, καὶ ἄλλων τινῶν ἀναπτυσάντων ἐοικότα χολῇ τὴν χροιάν. καὶ θαυμάζω πῶς αὐτὸς οὐδενὶ τῶν ἐμψυχόντων ἠδυνήθη χρήσασθαι, ἀλλὰ ταῦτα μὲν ἔφυγεν. ἐχρήσατο δὲ μᾶλλον τῇ θερμαινούσῃ ἀγωγῇ. τήν τε γὰρ μιθριδάτειον αὐτοῖς προσφέρων, ὡσαύτως, φησί, καὶ τὴν ἀθανασίαν, καὶ τὴν ἔτι μᾶλλον ξηραίνειν δυναμένην θηριακήν, καὶ πάσας τὰς

ἄλλαις ἀντιδότοις ταῖς πρὸς τοὺς ἀσθματικοὺς ἀναγεγραμμέναις, διὰ δριμέων
τινῶν καὶ λεπτυνόντων συγκειμέναις φαρμάκων. οὐ μόνον ἐπὶ ἑνὸς ἀνδρός, ἀλλὰ καὶ
ἐπὶ πλειόνων ἑωρακέναι αὐτά φησιν. οὐδεὶς γὰρ ἠδυνήθη τῶν τὰ τοιαῦτα παθόντων
ἐκφυγεῖν τὸν θάνατον, ἀλλὰ πάντας ἀπολέσθαι, ὀλίγῳ πλείονα χρόνον ἢ ἐλάττονα
διαρκέσαι δυνηθέντας. ἀλλ' ὄντως ἀληθές ἐστιν ἐκεῖνο τὸ λεχθὲν ὑπ' αὐτοῦ περὶ ἀρ-
χαίους. χαλεπὸν γὰρ ἄνθρωπον ὄντα μὴ καὶ διαμαρτάνειν ἐν πολλοῖς, τὰ μὲν ὅλως
ἀγνοήσαντα, τὰ δὲ καὶ ἀμελεστέρως γράψαντα. καὶ ταῦτα γὰρ λέγειν οὐκ ἂν ἐτόλμη-
σα περὶ τηλικούτου ἀνδρὸς εἰς σοφίαν, εἰ μὴ τό, τε ἀληθὲς αὐτὸ θαρρῆσαί με προετρέ-
ψατο, καὶ τὸ σιωπῆσαι πάλιν ἀσεβὲς νομίσαντα. καταλαμβάνων γὰρ ἰατρὸς τὸ δο-
κοῦν αὐτῷ, καὶ μὴ λέγων, ἀδικεῖ τὰ μεγάλα, καὶ ἀσεβεῖ, καὶ μεγάλῳ πλάσματι περι-
βάλλων ἑαυτὸν ἑκὼν λανθάνει. ἀλλ' ἐκεῖνο δεῖ πράττειν, ὅπερ, φησίν, Ἀριστοτέλης εἴρη-
„ κε, φίλος μὲν ὁ Πλάτων, φίλη δὲ καὶ ἡ ἀλήθεια· δυοῖν δὲ προκειμένων, προκριτέον
„ τὴν ἀλήθειαν. πρὸς γὰρ τὸ εὐχερῶς εὑρίσκειν τὰς κατὰ μέρος ὕλας τῶν βηχικῶν βοηθη-
μάτων, καὶ ἁρμόζειν δύνασθαι πρὸς τὴν ὑπὸ τῆς διαγνώσεως ὑπαγορευομέ-
νην διάθεσιν, ἀκόλουθον ἐνόμισα, μετὰ τὰς διαγνώσεις, καὶ τὴν καθόλου ἀγωγήν,
καὶ τὰς διαφοράς, ὑμῖν ἐκθέσθαι τῶν βοηθημάτων καὶ μετὰ τῆς ἀκριβοῦς αὐτῶν συσταθ-
μίας, ὥστε μὴ παρ' ἑτέρου δεῖσθαι μανθάνειν, ἀλλ' ἐντεῦθεν ἀναλέγεσθαι τὸ ζητού-
μενον. Βηχικὰ οἷς δεῖ κεχρῆσθαι. Ἐφ' ὧν λεπτόν ἐστι καὶ δριμὺ τὸ ἐπιρρέον, καὶ
ὁ θώραξ οὐκ ἔστιν ἔχων περιττωμάτων πλῆθος, στύρακα καὶ σμύρναν, * καὶ ζιγγιβέρεως
μέλιτι ἀπηφρισμένῳ, καὶ οἴνῳ ἀναλαβὼν χρῶ. ποίει καὶ καταπότια ὀροβιαῖα, καὶ χρῶ,
εἰς νύκτα διδοὺς * κόκκους β', ἢ γ', ἢ α', πρὸς τὴν δύναμιν ἀεὶ ἀποβλέπων. πάνυ γὰρ
ἐστὶ συμμέτρως διδόμενα κάλλιστα, καὶ ὠφελιμώτατα, καὶ παλαιὰς βῆχας ὑπὸ λε-
πτοῦ ῥεύματος γινομένας ἰώμενα. Ἄλλο. Ὀποῦ μήκωνος, ζιγγιβέρεως, χαλβά-
νης ἴσα, μέλιτι ἀναλαβὼν, χρῶ. Ἄλλο. Χαλβάνης, καστορείου, ὀπίου, πεπέρεως ἴσα,
κόψας ταῦτα, ἀναλάμβανε, καὶ ποίει καταπότια, καὶ χρῶ ὡσαύτως, ἐφ' ὧν μὴ πά-
νυ λεπτόν ἐστι τὸ ἐπιρρέον, ἀλλὰ καὶ περιττώματα φαίνεται περιέχων ὁ θώραξ, καὶ οὐ
πάνυ χρεία ἐστὶ τοῦ ναρκῶσαι. Ἄλλο. Στύρακος ℥ α', ὀπίου ℥ α', χαλβάνης ℥ S'',
τερεβινθίνης ℥ S'', ποίει καταπότια, καὶ ὡσαύτως χρῶ. Ἄλλο βηχικόν. Ἐφ' ὧν ἐστι
καὶ τὸ ἐπιρρέον δριμύ, καὶ ὁ θώραξ δεῖται συμμέτρου ἀνακαθάρσεως, στροβίλων ℥ α',
φοινίκων τῆς σαρκὸς ℥ β', ἴρεως ℥ α' S'', ἀμυγδάλων γλυκέων ℥ β', τραγακάνθης
℥ α', μέλιτι ἀττικῷ ἀναλάμβανε, καὶ χρῶ, διδοὺς κοχλιάριον. Ἄλλο. Ῥόδων χλω-
ρῶν < η', στροβίλων < α', τερεβινθίνης < α', σταφίδων γλυκέων < δ', μέλιτος τὸ ἀρκοῦν.

Ἄλλο πρὸς τὸ πάνυ λεπτὸν καὶ δριμὺ ῥεῦμα. Ὑοσκυάμου σπέρμα < ϛ', ἐν ἄλλῳ
< ιϛ', στροβίλων < ιϛ', κρόκου < ε', ἑψήματι γλυκεῖ ἀναλάμβανε, καὶ ποίει ὀροβιαῖα, καὶ
δίδου εἰς νύκτα. Ἄλλο ποιοῦν ἐπὶ μικτῆς διαθέσεως, καλεῖται γὰρ ὑγεία. Ἄμμεως
℥ α', ἀνίσου ℥ α' S'', ὀπίου < ε', τραγακάνθης, στροβίλων πεφρυγμένων ἀνὰ < δ', τὰ ξη-
ρὰ λείου, καὶ μίσγε μετὰ τραγακάνθης. προβρέχειν δὲ τὴν τραγάκανθαν εἰς ὕδωρ καὶ τὸ
ὄπιον, εἶτα λειώσαντα, καὶ μίξαντα ἀναπλάττειν τροχίσκους, ἄγοντας ἀνὰ < α', καὶ
ξηράναντα ἐν σκιᾷ, οὕτω διδόναι μετὰ μελικράτου. Βηχικὸν ἄλλο. Στύρακος ℥ α',
κρόκου ℥ α', χαλβάνης, ὀπίου ἀνὰ ℥ α', στροβιλίων ℥ β', ἐν ἄλλῳ ℥ θ'. ποίει καταπό-
τια κυάμου τὸ μέγεθος ἔχοντα αἰγυπτίου, καὶ δίδου κόκκον α', εἰς νύκτα, καὶ μετὰ μίαν

δὲ ἄλλο

δὲ ἄλλο ἕν, εἰ ἄρα χρεία. οὕτω γὰρ ἰσχυρὸν καὶ ὠφελιμώτατον πρὸς τὰ δριμέα καὶ ῥυπαρὰ ῥεύματα, ὥστε πολλοὺς οἶδα ἀπὸ μιᾶς ἰαθέντας, καίτοι πολὺν χρόνον ῥευματισθέντας. καὶ οὐ δεῖ τὸ βοήθημα τοῦτο διδόναι, εἰ μὴ μόνον τοῖς ἀγαθοῖς καὶ τὴν τέχνην ἀσκοῦσιν ἐμφρόνως. Ἄλλο πρὸς πλείονα ποιοῦν. Σμύρνης τρωγλίτιδος < ζ', ἐν ἄλλῳ < ι', ὑοσκυάμου < η', ὀπίου < δ', κυνογλώσσου τῆς βοτάνης τοῦ φλοιοῦ < δ' S''. τὸν φλοιὸν ξήρανον ἐν ἡλίῳ καλῶς, καὶ μίγνυε μετὰ τῶν λοιπῶν. τὸ δὲ ὄπιον ὕδατι ἀπόβρεχε, καὶ ποίει τροχίσκους, καὶ δίδου πρὸς δύναμιν. ποιεῖ δὲ καὶ πρὸς αἱμοπτοϊκούς, καὶ ὀδόντας ῥευματιζομένους, καὶ πρὸς στραγγουρίαν, καὶ κύστιν ἀλγοῦντας, καὶ καθόλου ἐπὶ τῶν ῥευματιζομένων σφόδρα, καὶ κωλικῶν, καὶ σπληνικῶν. Ἄλλο βηχικὸν τὸ μυστήριον καλούμενον. Κρόκου, κασσίας, ὑοσκυάμου σπέρμα, ὀπίου, στύρακος ἀνὰ < η', μέλιτι ἀναλαβὼν χρῶ. κάλλιον δὲ γίνεται, ἀντὶ τῶν τεσσάρων ἐὰν δύο μίξῃς τοῦ ὑοσκυάμου. ποιεῖ δὲ καὶ κοιλιακοῖς. κωλύει γὰρ τοὺς συνεχεῖς ῥευματισμούς. Πρὸς βῆχας ἐφ' ὧν πολὺ καὶ δριμὺ τὸ ἐπιρρέον. ποιεῖ δὲ καὶ πρὸς τὸ μὴ ἐκχολοῦσθαι. Γλυκυρρίζης κεκαθαρμένης καλῶς καὶ πεπλυμένης ℔ γ' S''. τραγακάνθης ℔ γ', χυλοῦ γλυκυρρίζης ℔ α', ἀμύλου ℔ γ', χυλοῦ θρίδακος ℔ β' S''. *βάλλε τε τρεῖς ἥμισυ ℔ α', τῆς γλυκυρρίζης εἰς χύτραν, καὶ ὕδατος καθαροῦ ξε ζ', καὶ ἕψε ἕως ἂν ἀποτριτωθῇ, εἶτα ἐάσας ψυχθῆναι, ἐπίβαλλε ἀπὸ τοῦ ὕδατος εἰς μέγα καθαρὸν πατέλλιον, καὶ οὕτω τὰς ℔ γ' τῆς τραγακάνθης, καὶ ποίει αὐτὰς ἑψηθῆναι, ἕως τακῇ, καὶ βαλὼν εἰς θυΐαν καθαρὰν, καὶ προσθεὶς τὸν χυλὸν τῆς γλυκυρρίζης, καὶ τῆς θρίδακος, κόψας καὶ σινιάσας, ἔσωθεν τὰ ἀμφότερα μίσγε, εἶτα εἰ γένηται παχύτερον, πρόσβαλλε χρυσαττικὸν, καὶ μάλασσε, ἕως οὗ γένηται μέλιτος πάχος, καὶ δίδου νήστει κοχλιάρια γ' θαρρῶν, εἴτε ἀπὸ ξηρότητος, εἴτε ἀπὸ ἄλλου τινός ἐστι τὸ αἴτιον. τοῦτο τὸ φάρμακον Ἰακώβου τοῦ ψυχρηστοῦ ὀνομάζουσι, μεγάλου ἀνδρὸς καὶ θεοφιλεστάτου περὶ τὴν τέχνην γενομένου. ἐκαλεῖτο δὲ ψυχρηστος, ὅτι ὑγραινούσῃ τροφῇ ἐκέχρητο. καὶ τοῦτο ποιεῖν ἐφαίνετο, ἐπειδὴ τοὺς πολλοὺς ἑώρα τῶν ἀνθρώπων φιλοπράγμονας ὄντας καὶ φιλαργύρους, καὶ ἀεὶ ἐν λύπαις καὶ φροντίσιν ὅλον αὐτῶν ζῶντας τὸν βίον, τούτου περὶ τῶν ὑπὸ λεπτοῦ ῥεύματος καὶ δριμέος ὀχλουμένων, καὶ διὰ τοῦτο βησσόντων. εἰσὶ δὲ καὶ ἄλλα πολλὰ καὶ παρὰ θειοτάτῳ γαληνῷ, καὶ τοῖς ἄλλοις ἀναγεγραμμένα. ἀλλ' ἀρκεῖν ἐνομίσαμεν, μὴ πλῆθος ἐκτιθέναι, ἀλλ' ὅσα δόκιμα διὰ πολλῆς πείρας εἰσὶν ἡμῖν εὑρημένα. ἡ τοίνυν διὰ κωδειῶν ἀντίδοτος καλουμένη οὐδενὸς ἧττον ὠφελεῖν οἶδε τοὺς ὑπὸ δριμέων καὶ λεπτῶν ὀχλουμένους ῥευμάτων. ἀναγκαῖον οὖν ἐνόμισα καὶ ταύτης ἐκθέσθαι τὴν γραφήν.

Ἡ διὰ κωδειῶν, ὡς ὁ θειότατος γαληνὸς ἐσκεύασεν αὐτήν. Ἐμβαλὼν εἰς τὸν ἕνα ξε τοῦ ὕδατος κωδείας ι', ἐν ἄλλῳ ιε', πρόβρεχε αὐτὰς, ἐὰν μὴ ὦσι μαλακώτεραι, ἄχρι πρώτης ἡμέρας καὶ νυκτός. εἰ δὲ σκληρότεραι καὶ ξηραὶ τυγχάνουσιν οὖσαι, πλείονα χρόνον τῆς πρώτης ἡμέρας. ἄμεινον δὲ ἐστι, τὰς μήπω σκληρὰς λαμβάνειν. εὔδηλον δὲ ὅτι καὶ τὰς μὴ πάνυ ὑγρὰς ἀποβάλλειν δεῖ. αἱ μὲν γὰρ ξηρότεραι τὸν χυλὸν ὀλίγον ἔχουσιν. αἱ δὲ ὑγρότεραι, πολὺν μὲν, ἀλλὰ ἄπεπτον, καὶ ὑδατώδη, καὶ ἄτονον, διὸ καὶ τὰς ἐξ ὑγρῶν λίαν χωρίων παραιτεῖσθαι δεῖ. τῆς δὲ ἑψήσεως ὅρος ἔστω σοι, τὸ τρίτον, ἢ τὸ τέταρτον, ἢ ὅλως τοιοῦτόν τι μόριον ἀπολειφθῆναι τοῦ ὕδατος. ἀλλ' ὅταν ὅλαι πρῶτον τακεραὶ γένωνται, δεῖ τὸν χυλὸν ἐκθλίβειν, καὶ μὴ ἐπὶ πλέον ἕψειν, καὶ οὕτω

μιγνύωσι αὐτῷ μέλιτος μέρος ἥμισυ, καὶ ἑψῶσι ἐπὶ ἀκάπνου πυρὸς ἄχρι συστάσεως ἀττικοῦ μέλιτος. ποιοῦσι δὲ τὴν ἕψησιν ἐν ὀμβρίῳ ὕδατι, ἢ πηγαίῳ. ἡ χρῆσις δὲ αὐτοῦ τοῖς ὕπνου δεομένοις ἐστὶν ἐπιτήδειος· οἷς καὶ τὰ διὰ ὀπίου σκευαζόμενα πολλάκις ἀναγκαζόμεθα διδόναι. χρήζουσι δὲ τοιούτων μάλιστα φαρμάκων, οἷς ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὴν τραχεῖαν καταρρεῖ ῥεῦμα λεπτόν, οὐκ ἐπιτρέπον κοιμᾶσθαι, διὰ τὰς ἑπομένας βῆχας. ἐπὶ τούτων ἐγὼ τὴν σκευασίαν τοῦ φαρμάκου δι' ἑψήματος εἴωθα ποιεῖν. αὐτάρκης δὲ ἕψησις εἰς τὰ τοιαῦτά ἐστιν, ὅταν εἰς τὸ ἥμισυ τοῦ ὕδατος ἑψηθῶσιν αἱ κωδύαι. καὶ διὰ τοῦ γλυκέος θηβαίου τε καὶ κρητικοῦ κάλλιον, ἤπερ διὰ μέλιτος ἑψεῖν, ὅταν ᾖ ῥεῦμα. λεπτυντικῆς γὰρ δυνάμεως τὸ μέλι ἐστί. καί ἐστι φυγεῖν αὐτὸ τηνικαῦτα τοῖς λεπτοῖς ἐπιτεῖνον καταρρόοις. μιγνύωσι δὲ ἑψομένῳ τῷ φαρμάκῳ καὶ γλυκυρρίζης ῥίζαν, ὥστε συνέψεσθαι· μὴ παρούσης δὲ ἐκείνης τὸν ἀπὸ τῆς κρήτης κομιζόμενον χυλόν. ἐὰν δὲ περιέχηται πλῆθος ἐν τῷ θώρακι ἐκ τῆς κεφαλῆς συρρυὲν, ἡ διὰ τοῦ μέλιτος σκευασία βελτίων. ὡς γὰρ ὕπνου χρήζουσιν, οὕτω καὶ τοῦ ἀναπτύειν, ὅπερ διὰ τοῦ μέλιτος γίνεται. πρὸς τὸ κατεπεῖγον οὖν ἐνιστάμενος, εἰς ὕπνον τρεπομένου τοῦ κάμνοντος, ἤτοι τοῦ διὰ μέλιτος χωρὶς σκευασθέντος δώσεις τοῦ φαρμάκου, ὥστε μιγνύειν ἄμφω, σκοπὸν ἔχων κατὰ τὴν μίξιν ἐμβαλεῖν πλέον θατέρου, πρὸς τὸ κατεπεῖγον. ἡ δὲ σύμμετρος δόσις ἔστω σοι δυοῖν κοχλιαρίοιν ἀξιόλογον τὸ μέτρον. αὐξήσεις τε αὐτὴν ὡς πρὸς τὸ τοῦ νοσήματος μέγεθος, ᾧ προσφέρεις, καὶ τὴν ἡλικίαν, καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὸ χωρίον ἀφορῶν. εἰ μὲν γὰρ ἐπὶ τὸ ψυχρότερον ῥέπουσι, δώσεις ἐλάχιστον· εἰ δὲ ἐπὶ τὸ θερμότερον, πρὸς τὸ τοῦ καταρρόου ποσόν τε καὶ ποιὸν ἀποβλέπων, ἢ πλέον, ἢ ἔλαττον δώσεις. εὔδηλον δὲ ὑπάρχει. κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων.

Περὶ βηχὸς καὶ τῆς διὰ κωδυῶν.

Τοσαῦτα καὶ περὶ τῆς διὰ κωδυῶν ἡμῖν εἰρήσθω. ποιεῖ δὲ καὶ εἰς ἄλλα πολλά. ἐπὶ γὰρ καυσουμένοις ἐμπυρετοῖς, καὶ διψῶσιν ἀμέτρως, καὶ ἀγρυπνοῦσι, καὶ ἱδροῦσι ἐπί τε λεπτοῖς καὶ δριμέσι χυμοῖς, ὡς κινδυνεύειν συγκοπῆναι, καὶ ἐρυσίπελας ἔχουσιν ἐν τῷ θώρακι, καὶ σκοτουμένοις δὲ ἐπὶ θερμοῖς ἀτμοῖς ἀναδιδομένοις ἐκ τῆς γαστρός, ἢ ἐκ τῆς καρδίας, ἢ ἐξ ἥπατος, καὶ ῥευματιζομένοις τὰ οὖλα ἐκ δριμέων χυμῶν, καὶ φάρυγγα, καὶ παρίσθμια κάλλιστον βοήθημα, καὶ ὀδοῦσιν ἀλγοῦσι. προσέτι δὲ καὶ ὀφθαλμιῶσι σφοδρῶς, καὶ σφακελιζομένοις, καὶ ὀδυνωμένοις, καὶ ἀγρυπνοῦσι, καὶ ῥευματιζομένοις. καὶ λεπτοῦ καὶ δριμέως φερομένου τοῦ ῥεύματος, ἀγαθόν σοι βοήθημα, παρεχόμενον πρὸς τὴν δύναμιν. ἱκανῶς γὰρ ἀναγκαζόμενον ποιεῖ πρὸς πολλά, ὧν τὸν ἀριθμὸν μεμνῆσθαι δυσχερές· ἀλλ' ἀρκεῖ τό γε τοσοῦτον γινώσκειν, ὅτι ἐπὶ πάσης δυσκρασίας θερμῆς, συμμέτρως καὶ δεόντως διδομένη, ὥσπερ καὶ ἄλλο τι βοηθεῖν ὀξύτατα δύναται, ὥσπερ καὶ ἀναιρεῖν πολλάκις ἀσθενεῖ πάνυ δυνάμει ἐπιδοθεῖσα, καὶ ἐφ' ὧν πλῆθος περιττωμάτων ἐν τῷ θώρακι περιέχεται. διὸ δεῖ μετὰ πολλῆς ἀκριβείας καὶ διαγνώσεως αὐτὴν ἐκδιδόναι. κάλλιον δέ ἐστι ἐφ' ὧν ὑπόνοια τοιαύτη εἴη, οἷον, πλήθους ἕνεκεν, ἢ ἀσθενείας, μήτε πολλὴν ἐπιδιδόναι τὴν δόσιν, μήτε καθ' ἑαυτήν. καὶ γὰρ εἰ παραυτὰ δόξειε τὴν βῆχα παρηγορεῖν, καὶ ὕπνον ἐπιφέρειν, ἀλλ' οὖν ἐπιτείνει τὴν στενοχωρίαν τοῦ θώρακος, ὡς πολλοὺς ἀγχόνης δίκην ἀπολέσθαι. διὸ κάλλιόν ἐστιν ἔλαττον ἀεὶ σπουδάζειν διδόναι, καὶ προσέτι μιγνύειν τῶν λεπτυνόντων ἢ ῥυπτόντων, οἷον, ὀξυμέλιτος, ἢ τοῦ διὰ πρασίου· καὶ τότε μάλιστα,

ἐφ' ὧν

ἐφ' ὧν οὐ λεπτόν ἐστιν, ὡς εἴρηται), καὶ δριμὺ τὸ ἐπιρρέον. εἰ γάρ τι τοιοῦτον εἴη, οὐδὲν βλάψεις κατ' αὐτὴν, εἴπερ δώσεις τὴν ἀντίδοτον, παχ * τὰ γὰρ μετρίως λεπτὰ, καὶ ἐπικιρνᾶ, καὶ παύει τὴν ἐξ αὐτῶν γινομένην ὀδύνην. Πῶς χρὴ διαιτᾶν τοὺς ἐπὶ λεπτῷ καὶ δριμεῖ ῥεύματι βήσσοντας. Δεῖ δὲ τοῖς ἐπὶ λεπτῷ καὶ δριμεῖ ῥευματιζομένοις τὸν θώρακα πτισάνην ἐπιδιδόναι, καὶ τοὺς λεκύθους τῶν ὠῶν, καὶ τῶν ὀρνέων τὰ ἄκρα, καὶ τοὺς διδύμους τῶν ἀλεκτρυόνων, καὶ τῶν ἰχθύων τοὺς σκληροσάρκους, καὶ μάλιστα τὸν ἐξ αὐτῶν ἰσικὸν, ὅσον ὀρφοῦ, γλαύκου τε καὶ σηπίας, καὶ κήρυκος. εἰ δὲ καὶ κτένια παρείη, καὶ ταῦτα. εὑρήσεις γὰρ τὸ εὔχυμον, καὶ ἐπικεραστικὸν καὶ μετρίως παχυνόν, μετὰ καὶ τοῦ ἡδέος, ἔχουσαν τὴν τροφὴν ταύτην. καὶ λαχάνων δὲ τούτοις ἡ μαλάχη καὶ ἑφθὴ καὶ ἀνέφθος ἐστὶν ἐπιτηδειοτάτη, καὶ οἱ καυλοὶ τῶν θριδάκων ὁμοίως, καὶ ἴντυβα. ταῦτα δὲ πλείονα διδόναι δεῖ. ἔχουσι γάρ τι καὶ ὑπόπικρον, ὅθεν μετὰ τοῦ ψύχειν καὶ ἐμφράττειν δύνανται. οὐδὲν δὲ ἄτοπον καὶ κρεῶν αὐτοὺς λαμβάνειν οἷα βούλονται, καὶ στέρνα βοῶν τε, καὶ προβάτων τὰς κοιλίας, καὶ πόδας, καὶ ῥέγχη, καὶ τῶν χοιρῶν τὰ ἄκρα, καὶ τὰς κοιλίας. τῶν δὲ ὀσπρίων προτιμᾶν τὸν ἄληκα μετά τινος τῶν ὀρνέων, ἢ κρεῶν, καὶ τοὺς κυάμους ἑφθούς. εἰ δὲ καὶ ὁ καιρὸς ἔχει, καὶ τῶν χλωρῶν οὐδὲν ἄτοπον. καὶ γὰρ τὸ παχῦναι, καὶ ἐπικεράσαι μετρίως οὗτοι δύνανται. τῶν δὲ ὀπωρῶν τὰ γλυκέα τῶν μήλων ἐπιδιδόναι, καὶ μᾶλλον ἀπὸ λουτροῦ. πλέον γὰρ οὕτως ὠφελοῦσι λαμβανόμενα. τὰ δὲ ὀπτὰ κάλλιόν ἐστιν ἐπάνω τῆς τροφῆς ἐσθίειν. ἐν δὲ τοῖς τραγήμασι τὰ κάστανα τῶν ἄλλων προτιμᾶν. καὶ γὰρ ὡς ἂν βούλοιτό τις ἐσθίειν, τὰς διαθέσεις ταύτας ὠφελοῦσι, καὶ πλέον ἑφθά. φοινίκων δὲ καὶ σταφίδων, εἴπερ ἡδέως ἔχοιεν, μήτε πολλὰς, μήτε πολλάκις ἐπιδιδόναι. τοὺς δὲ βλασοὺς τῆς τήλεως, εἰ καὶ συνεχέστερον αὐτοῖς δοίης, οὐ βλάψεις μᾶλλον. τῆς γὰρ περὶ τὸν θώρακα δυσχερείας ἔχουσί τι ἀνακαθαίρειν δυνάμενον. πόματι δὲ τῷ εὐκράτῳ χρηστέον. εἰ δὲ καὶ θερμὸς εἴη ὁ κάμνων, εἰ καὶ ψυχρὸς τὴν κρᾶσιν, καὶ ψυχρὸν πίνειν αὐτοὺς ἐπιτρέπειν θαρρούντως. πρὸς δὲ τὸν οἶνον εἴπερ ἡδέως ἔχουσιν, ἐπιδίδου καὶ χρυσαττικὸν ὀλίγον, καὶ βιθυνὸν, καὶ μᾶλλόν τινα τῶν γλυκέων οἴνων. λουτροῖς δὲ κεχρήσθωσαν ὡς δέονται χλιαρωτάτοις. καὶ κατὰ τῆς κεφαλῆς δεχέσθωσαν σίτλας ἐκ τοῦ χλιαροῦ πλείονας, καὶ ἀλειφέσθωσαν τὸ μὲν πᾶν σῶμα ὑδρελαίῳ, τὴν δὲ κεφαλὴν ῥοδίνῳ, καὶ εἰς τὴν τοῦ ψυχροῦ ὕδατος δεξαμενὴν χρονιζέσθωσαν. οὕτω γὰρ ἡμῶν πρατλόντων καὶ τὸ φθάσαν ἐμπεσεῖν εἰς τὸν θώρακα, ταχέως ἀναπτύσεται, καὶ οὐδὲν ἄλλο τοῦ λοιποῦ ἐπιρρεύσει, τῆς κεφαλῆς ἀποθεμένης τὸ παρὰ φύσιν θερμὸν, ὥστε μηκέτι τοῦ ἐπιρρέοντος ὑγροῦ καὶ ἐρεθίζοντος τὴν βῆχα ἐπιρρεῖν μετρίως παχυνθέντος. Ὅσα τοῖς ὑπὸ παχυτέρων χυμῶν βήσσουσιν ἁρμόζει βοηθήματα. Εἰρηκότες ἤδη περὶ τῶν ὑπὸ λεπτῶν χυμῶν ῥευματιζομένων τὸν θώρακα καὶ τὸν πνεύμονα, διαλάβωμεν καὶ περὶ τῶν ὑπὸ γλίσχρων, καὶ παχέων χυμῶν ὀχλουμένων, τὰ ἀναπνευστικὰ μέρη. διττὴν δὲ βοηθημάτων ἔκθεσιν ὑμῖν κατὰ τὸ πρότερον ἐποιησάμην σύγγραμμα· μίαν μὲν, ἁπλῶν τε καὶ εὐπορίστων, ἵνα τὴν φύσιν καὶ τὴν δύναμιν αὐτῶν ἀκριβῶς ἐπιστάμενοι καὶ ἡμεῖς αὐτοὶ δυνηθῶμεν συντιθέναι βοηθήματα, πρὸς τὸ μέγεθος καὶ τὸ ποιὸν τῆς ὀχλούσης δυνάμεως ἁρμόζειν δυνάμενα, καὶ ἑτέραν σύνθεσιν τὴν ἐκ πολλῆς ἡμῖν δεδοκιμασμένην πείρας. Ἁπλῶν βοηθημάτων ἔκθεσις. Στρόβιλος χλωρὸς ἑψόμενος ἐν μελικρά-

τῷ πιτυΐδος χρυσοκόλλης ἡ ῥίζα, καὶ ταῦτα ἑψόμενα ὁμοίως. καστορίου ἐπ' ἀνθράκων θυμιωμένου καὶ ἑλκομένου διὰ τῆς εἰσπνοῆς. ὠφελεῖ γὰρ μάλιστα τὰ κατὰ τὸν πνεύμονα καὶ θώρακα πάθη, καὶ ἐγκέφαλον, καὶ ὅσα ὑγρὰ, καὶ ψυχρὰ νοσήματα, καὶ ναρδόσταχυς, τῷ ξηραίνειν δύνασθαι, κατὰ τὴν κεφαλὴν καὶ θώρακα ἀδίαντον, ἢ ἀμύγδαλα πικρὰ, γλήχων, θύμβρα, ἰσχάδες λιπαραί. τούτοις ἅπασι χρηστέον ἐπὶ τῶν ἐχόντων ἔμφραξιν εἰς τὸν θώρακα, καὶ τὰ ἀναπνευστικὰ * μόρια γλίσχρων χυμῶν καὶ παχέων ἐνοχλούντων. παραιτητέον δὲ ὅσα τούτων ἰσχυροτέραν ἔχει τὴν δύναμιν. οὐ γὰρ δεῖται τὰ μόρια ταῦτα τῶν δραστικὴν ἐχόντων τὴν ἐνέργειαν. καὶ μάλιστα πῦον ἐφ' ὧν ἀναπτύεται. τοὐναντίον γὰρ ξηραίνουσι τὰ τοιαῦτα. διὸ καὶ πάντα πολέμια τὰ διουρητικὰ ταῖς ἐκ θώρακος ἀναπτύσεσιν ἐμποδίζοντα. τοῦ γὰρ ὀῤῥώδους ἑλκομένου διὰ τοῦ οὔρου, τὰ ἐγκείμενα περιττώματα τοῖς ἀναπνευστικοῖς μορίοις δυσανάγωγα γίνεται, μᾶλλον ὑπεροπτώμενα καὶ καταξηραινόμενα. διὸ συμβουλεύω ἐφ' ὧν ἐστὶ σφήνωσις, ἢ πῦον περιεχόμενον ἐν τῷ θώρακι, τμητικὸν μὲν ἐπιδιδόναι φάρμακον, ἐκκόψαι δὲ αὐτοῦ τὴν δύναμιν, ὥστε μὴ πάνυ θερμαίνειν καὶ ξηραίνειν, ἐπιμιγνύντας * αὐτῷ τισι χυλοῖς, ἢ ὑγροῖς ἄλλοις συνέψοντας, ἢ κεραννύντας. καὶ μᾶλλον εἰ ὁ κάμνων ξηροτέραν τὴν κρᾶσιν καὶ τὴν ἕξιν λεπτοτέραν ἔχων φαίνοιτο, προσέτι δὲ καὶ πυρετὸς εἴη, τηνικαῦτα ὑγρότερα χρὴ καὶ μετρίως θερμαίνοντα. τοιούτου δὲ γενομένου τοῦ συνδιδομένου βοηθήματος, τὰ ἐν τοῖς ἀναπνευστικοῖς ἐγκείμενα περιττὰ, πρὸς τὴν ἀναγωγὴν εὔκολα καὶ ἀνεμπόδιστα γενήσεται. διαίταις τε δι' ὑσσώπου καὶ γλήχωνος, ἢ θύμου κορύμβοις ξηρίοις ἢ καταποτίοις οὐ δεῖ κεχρῆσθαι, εἰ μὴ μόνον ἐπ' ἐκείνων, ἐφ' ὧν ψυχροὶ χυμοὶ καὶ γλίσχροι, καὶ παχεῖς περιέχονται, καὶ προσέτι τὴν κρᾶσιν ὑγροτέραν καὶ ψυχροτέραν ὁ κάμνων φαίνοιτο ἔχων, καὶ ἀδηφαγίᾳ, καὶ λουτροῖς ἀκαίροις ἔμπροσθεν χρησάμενος εἴη. ἐπὶ γὰρ τῶν τοιούτων, καὶ τοῖς διὰ σινήπεως καὶ ἀφρονίτρου καὶ θείου συγκειμένοις ἐχρήσαντο, καὶ οἱ πρὸ ἡμῶν ἅπαντες ἰατροί, ὧν καὶ τὰς συνθέσεις πρὸς τὴν προκειμένην διάθεσιν ἀποβλέποντας ἀκριβῶς, καὶ μάλιστα τῇ κράσει, καὶ τῷ ἔθει, καὶ τῇ δυνάμει τοῦ κάμνοντος δυνατὸν ἡμᾶς ἐπιτείνειν τε καὶ ἀνιέναι τοῦ βοηθήματος τὴν δύναμιν. Σύνθετα βοηθήματα πρὸς βῆχα λεπτύνειν δυνάμενα. Πρασίου χυλοῦ ξε α', μέλιτος ἀττικοῦ ξε α', ἕψε ἐν διπλώματι ἄχρι γένηται ξε α', καὶ σκευάσας φύλαττε εἰς ὑέλινον ἀγγεῖον, καὶ δίδου κοχλιάρια δύο πρωῒ καὶ ὀψέ. θεραπεύει, κἂν εἴη χρονία ἡ βὴξ, καὶ πῦον εἴη τὸ περιεχόμενον.

Ἄλλο. Ναρδοστάχυος, κρόκου, πεπέρεως, πρασίου ἀνὰ γο α', ζιγγιβέρεως γο α' S'', μέλιτος, οἴνου ἀνὰ ξε α'. ἕψε τὸ πράσιον μετὰ οἴνου, ἕως οὗ τὸ ἥμισυ καταλειφθῇ, εἶτα τὰ λοιπὰ μίξας, ἕψε, ἕως μελιτῶδες γένηται, καὶ χρῶ πρωῒ καὶ ὀψέ. Ἀντίδοτος ἡ διὰ πρασίου, ποιοῦσα βηχικοῖς, φθισικοῖς, ἐμπυϊκοῖς, ἀνορεκτοῦσι. θαῤῥῶν ἐπὶ πάντων χρῶ. ἔστι γὰρ διὰ πολλῆς πείρας. ἔχει δὲ ἡ γραφὴ οὕτως. Ὑσσώπου κρητικοῦ γρ ς', σελίνου γο ς', κίτρου τοῦ ἐντὸς γο ς', καλαμίνθης γο ς', ἴρεως ἰλλυρικῆς γο η', ῥόδων ξηρῶν ʒ α' S'', γλυκυῤῥίζης χυλοῦ ʒ α' S'', γλήχωνος ʒ α', κωδιῶν ἀγρίων γο ι', πρασίου χλωροῦ γο ς', φοίνικας νικολάου ν', ἰσχάδας λιπαρὰς κε', ἐν ἄλλῳ ι', καὶ στροβίλους χλωροὺς ε', ἑψήματος προσφάτου ξε α', μέλιτος προσφάτου ξε γ', ὕδατος πηγαίου ξε ις', ἕψε ἕως ἀποτριτωθῇ τὸ ὕδωρ. εἶθ' οὕτω ῥίψας τὰ βοηθήμα-

τα,

τα, πρόσβαλλε τὸ μέλι καὶ τὸ ἕψημα, καὶ ἕψε ἕως μέλιτος πάχος σχῇ, καὶ ἀνελόμενος χρῶ θαρρῶν ἐπὶ τὰ εἰρημένα. πάνυ γάρ ἐστι δόκιμον, καὶ δέδωκε πολλοῖς πεῖραν τὸ βοήθημα. Βηχικὸν τὸ δι᾽ ὀρόβων. Φοινικοβαλάνων λιπαρῶν < α΄ S΄΄, ἴρεως < α΄, κρόκου < α΄, πεπέρεως < α΄, ὀρόβου < α΄ S΄΄, μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. κόψας, σήσας, ἀναλάμβανε τῷ μέλιτι, καὶ δίδου νήστει κοχλιάριον α΄. εἰ δὲ πλέον ἐνοχλεῖται, δίδου καὶ ἕτερον ἕν. Αλλο. Σινήπεως πεφωγμένου καὶ πεπλυμένου ἴσα μέλιτι ἀπηφρισμένῳ ἀναλάμβανε, καὶ χρῶ πρὸς τὰς χρονίως κατεψυγμένας βῆχας.

Αλλο τῆς αὐτῆς ὑπάρχον δυνάμεως. Σινήπεως, πεπέρεως κοινοῦ ἀνὰ ℥ ζ΄, μέλιτος ξε τὸ δ΄, κόπτε ταῦτα. εἶτα τὸ μέλι * παρελώσας ἕνωσον, καὶ ποιήσας κοκκία, δίδου πρωῒ καὶ ὀψέ. ἰσχυρὸν ἐστὶ τὸ βοήθημα καὶ κάλλιστον, ὡς Θεόδοτον αὐτὸ φημισθῆναι διὰ τοῦτο. Αλλο. Κόστου Γο α΄, καρδαμώμου, κασσείου, ὀποπάνακος ἀνὰ < β΄, κρόκου, χαλβάνης, πεπέρεως λευκοῦ ἀνὰ < α΄, μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις κυάμου αἰγυπτίου τὸ μέγεθος μεθ᾽ ὕδατος. ποίει τοῦτο καὶ τοῖς ἤδη πῦον ἄγειν μελετῶσιν. Αλλο σφόδρα δυνάμενον θερμαίνειν, ἐκ τοῦ μάγνου. Ορόβων ἀλεύρου Γο S΄΄, λινοσπέρμου πεφωγμένου Γο α΄, γλήχωνος Γο β΄, στροβίλων, ἀλθαίας ῥίζης, ὑσσώπου ἀνὰ Γο α΄, σταφίδων ἐκγεγιγαρτισμένων Γο β΄ S΄΄, ἀναλάμβανε γλυκυρρίζης ἀφεψήματι, καὶ χρῶ θαρρῶν καὶ ἐπὶ πυρεσσόντων. Αλλο καὶ αὐτὸ ὁμοίως μέγα. Στροβίλων Γο α΄, τραγακάνθης Γο α΄, φοινίκων τῆς σαρκὸς καὶ ἴρεως ἀνὰ Γο α΄, * Γο β΄, ἀμυγδάλων γλυκέων Γο β΄, μέλιτος ἀττικοῦ ἀναλάμβανε καὶ δίδου Κζ α΄. Υποκάπνισμα βηχικὸν τὸ διὰ τῆς τοῦ λαγωοῦ κόπρου. Ρητίνης τερεβινθίνης, ἀρσενικοῦ, λαγωοῦ κόπρου ἴσα λαβὼν, ποίει κολλύριον, καὶ ὑποκάπνιζε ἐπ᾽ ἄνθραξιν ἐλαΐνοις καὶ τερεβινθίνοις ἐπὶ ἡμέρας γ΄, ἐὰν ἡ δύναμις ἐπιτρέπῃ, καὶ ἡ διάθεσις ἐκ πάντων φανείη σοι ψυχροτάτη, καὶ τὸ ἐπιρρέον ἀκριβῶς ὑπάρχον τοιοῦτον. ἐπισφαλὲς γὰρ ἐφ᾽ ὧν ἐστι θερμὴ διάθεσις κεχρῆσθαι τοιούτοις. Αλλο βηχικὸν, εὔχρηστον, εὐμετάδοτον, ποιοῦν πρὸς αἱμοπτοϊκοὺς καὶ δυσπνοϊκούς. Ιρεως ἰλλυρικῆς < ιδ΄, ζιγγιβέρεως τρωγλίτιδος < β΄, στύρακος καλαμίτου Γο α΄, σταφίδων ἐκγεγιγαρτισμένων < η΄, θαρρῶν χρῶ. δίδου κυάμου αἰγυπτίου τὸ μέγεθος. Αλλο ὑποκάπνισμα. Λιβάνου, σανδαράχης, μυελοῦ ἐλαφείου, ἅπαντα λειώσας, ποίει τροχίσκους, καὶ ὑποκάπνιζε διὰ χώνης, ἡμέρας γ΄. φύλαττε ἐκτὸς οἴνου τὸν πάσχοντα, διαιτῶν τοῖς εὐώδεσι. καλῶς δὲ ποιήσεις εἰ ἐν τῇ πρώτῃ τρίτον ὑποκαπνίσεις, τῇ δευτέρᾳ δὶς, καὶ τῇ τρίτῃ α΄. εἰς ἕκαστον ἐὰν ἐμβαλὼν τὸν τροχίσκον ὑποκαπνίσῃς, ἔτι κάλλιον ἐργάσῃ. τὸ βοήθημα τοῦτο πολλὴν δέδωκε πεῖραν. Αλλο τῆς αὐτῆς δυνάμεως. Λιβάνου ἄρρενος, μαστίχης, μυελοῦ ἐλαφείου, σανδαράχης, στύρακος, πάντα ἴσα βαλὼν, ὑποκάπνιζε, πρότερον ἄκρατον ποιήσας πιεῖν. Τροχίσκος ὑποκαπνιστὸς, ᾧ χρώμεθα πρὸς τὰς παλαιὰς καὶ ψυχρὰς διαθέσεις. Δαύκου, καρδαμώμου, νάπυος, ἀβροτόνου, σανδαράχης, ἴσα πάντα βαλὼν, χρῶ θαρρῶν διὰ χώνης. Βηχικὸν ἀντίδοτον, ποιοῦν πάνυ καλῶς πρὸς τὰς ψυχρὰς διαθέσεις. Πεπέρεως, δαφνίδων, θύμου ἀνὰ Γο α΄, μέλιτος τὸ ἀρκοῦν, δίδου κοχλιάρια δύο ἕωθεν. Βηχικὸν πάνυ καλόν. Γλήχωνος, μαστίχης ἀνὰ > δ΄, πεπέρεως < β΄, μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. Αλλο ποιοῦν καλῶς καὶ μάλιστα πρὸς τὰς χρονίους βῆχας. Πράσου χυλοῦ Ж α, ἐλαίου ὀμφακίνου Ж α΄, μίξας δίδου πρὸς τὴν δύναμιν. ποίει πάνυ καλῶς καὶ ἐπὶ αἱμο-

πλοϊκοῖς. Ἄλλο. Προσμίξας τῷ χυλῷ τῶν πράσων μέλιτος ἀπηφρισμένου λί α', γλυκυῤῥίζης χυλοῦ, ὑσσώπου ἀνὰ Γο β', ἀμυγδάλων κεκαθαρμένων Γο β' S'', πιστακίων καθαρῶν καὶ πεφρυγμένων Γο β', στροβίλων καθαρῶν καὶ πεφρυγμένων Γο β', κνιδοσπέρμου Γο α', λινοσπέρμου πεφρυγμένου Γο S''. ποίει πρὸς βήσσοντας, καὶ μάλιστα πρὸς ἀναφορικούς. Ἄλλο βηχικοῖς καὶ δυσπνοϊκοῖς. Νάρδου κελτικῆς κόψας προσέμβαλλε μέλιτι, καὶ δίδου νήστει καρύου ποντικοῦ τὸ μέγεθος. Ἄλλο πάνυ καλόν.

Σταφίδος ἡμέρου Γο β', σταφίδος ἀγρίας τέ β', πεπέρεως τέ δ'· ποίει καταπότια, καὶ χρῶ πρὸς τὰς τῆς μήτρας ψύξεις. Βηχικὰ κοκκία. Ὀπίου, στύρακος, κασορείου, τερεβινθίνης, θείου ἀπύρου ἀνὰ Γο α'· ἡ δόσις κόκκος α', ἢ β', ἢ γ' πρὸς τὴν δύναμιν. τούτοις ἀεὶ δεῖ κεχρῆσθαι, ἐφ' ὧν χρονία ἐστὶν ἡ βήξ, καὶ ἀγρυπνίαν ἐπάγουσα πολλήν. Πρὸς βῆχα παλαιὰν καὶ φθίσιν. Πρασίου ἁπαλοῦ χυλοῦ ℥ η', ἕψε ἕως ἀναλωθῇ τὸ ἥμισυ. εἶτα ἐπίχεε πίσσης ὑγρᾶς ℥ α'. καὶ ὅταν ἑνωθῇ, λειώσας νάρδου συριακῆς Γο α', προσέμβαλλε καὶ κρόκου ὀβολὸν α', πομφόλυγος κυπρίου ὀβολὸν α', λιβάνου Γο α', πεπέρεως * μακροῦ, λίθου αἱματίτου ἀνὰ < β', καὶ ποιήσας ἔκλιγμα, δίδου πρὸς δύναμιν ἐκλείχειν. ἱκανῶς ὠφελεῖ τοὺς ἐν τῷ πνεύμονι ἕλκος ἔχοντας, καὶ ἐπὶ πάσης βηχὸς πῦον ἀναπτύοντας, καὶ περὶ τὸν στόμαχον καὶ τὰς ἐν βάθει διαθέσεις. οὐκ ἄτοπον δὲ καὶ ἐπιβροχαῖς, καὶ ἐμπλάστροις κεχρῆσθαι πρὸς τὰ τοιαῦτα πάθη, πρότερον ἀπὸ ἁπλουστέρων ἀρχομένους. ἱκανῶς βοηθεῖν οἶδε χαμαιμηλέλαιον ἀλειφόμενον περὶ τὸν θώρακα, ὁτὲ μὲν καθ' αὑτό, ὁτὲ δὲ καὶ ἀνήθινον μιγνύμενον αὐτῷ, καὶ στέαρ χηνῶν, καὶ βούτυρον, ὕσσωπον ὑγρόν, πηγάνου κλῶνας. εἰ δὲ χρεία τις εἴη, καὶ ῥυπαρὰ ἔρια βραχέντα ἐν αὐτοῖς ἐπιτίθεσθαι κατὰ τοῦ στέρνου. καὶ ταῦτα ἱκανὰ βοηθεῖν τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς τοὺς ἐγκειμένους εἰς τὸν θώρακα τῶν βησσόντων. εἰ δὲ καὶ ἐμπλάστρων δέοιντο, καὶ τούτων ἐκτίθεμαι γραφάς, ὧν καὶ αὐτὸς ἔσχον πεῖραν διαφόρως ἐπὶ τῶν τοιούτων διαθέσεων. Ἔμπλαστρος βηχικὴ καλή. Τερεβινθίνης Γο ϛ', ὑσσώπου ὑγροῦ Γο ε', κηροῦ Γο β', ἐν ἐλαίῳ Γο γ', ἴρεως κεκομμένης Γο γ', κυπρίνου ἐλαίου Γο γ'. Ἄλλη καλὴ πάνυ, ποιεῖ καὶ δυσπνοϊκοῖς. Βουτύρου Γο ϛ', χηνείου στέατος Γο α', ταυρείου στέατος Γο ϛ', ὑσσώπου Γο δ', χαλβάνης Γο δ', ὀποπάνακος Γο ε', κασορείου Γο γ', κηροῦ Γο ϛ', εὐφορβίου Γο ε', ὀξυγγίου χοιρείου παλαιοῦ Γο β'. ποιήσας ἔμπλαστρον ἐπιτίθει κατὰ τοῦ θώρακος. καλῶς ποιεῖ καὶ ἡ πηγανηρά, καὶ ἡ ἀνηθίνη, καὶ ἡ διὰ δαφνίδων.


Καταπότια βηχικά. Στύρακος, ὀπίου, σμύρνης ἀνὰ Γο S'', ὀποβαλσάμου, κρόκου ἀνὰ < β', * ἀνάπλαττε ὀροβιαῖα, καὶ χρῶ εἰς κοίτην, ζιγγιβέρεως Γο α', πεπέρεως λευκοῦ Γο α', χαλβάνης, κασορείου, κρόκου, ὀπίου ἀνὰ Γο α', στύρακος Γο S'', δίδου εἰς κοίτην πλάσας ὀροβιαῖα.

Κεφάλαια τοῦ ἕκτου βιβλίου.

Ἀλεξάν-

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Περὶ πλευρίτιδος. α'



Πλευρῖτις, ἡ κυρίως πλευρῖτις. οὐ γὰρ πᾶσα ὀδύνη πλευροῦ, πλευρῖτις ὀνομάζεται. ἡ γὰρ κυρίως πλευρῖτις, φλεγμονή ἐστι τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος· ὅθεν καὶ πυρετὸν ἐπιφέρει ὀξὺν, ὡς ἐγγὺς οὔσης τῆς καρδίας, καὶ συμπάσχειν ἑτοίμως δυναμένης. εἰ οὖν εὕρῃς ὀξὺν πυρετὸν καὶ δύσπνοιαν, καὶ νυγματῶδες ἄλγημα, καὶ βῆχα, τότε λέγε ἀκριβῶς εἶναι πλευριτικὸν ἐκεῖνον, ᾧ ταῦτα πάντα συμβέβηκε. πυρέττουσι μὲν καὶ δυσπνοοῦσι καὶ οἷς τὸ ἧπαρ φλεγμαίνει, καὶ διατείνονται τὸ πλευρὸν, καὶ ὀδυνῶνται, καὶ βήσσουσι κατὰ συμπάθειαν, ἀλλὰ τὸ νυγματῶδες οὐκ ἔχουσιν οὕτως, οὐδὲ τὸ σκληρὸν τοῦ σφυγμοῦ. διακρίνῃς δὴ αὐτοὺς καὶ ἀπὸ τῆς ἰδιαζούσης ὀδύνης, καὶ ἀπὸ τῶν σφυγμῶν μάλιστα. ἐμπριόντα μὲν γὰρ καὶ σκληρὸν ἔχουσιν οἱ πλευριτικοὶ, οἱ δὲ τὸ ἧπαρ πάσχοντες, οὐδαμῶς· ὥσπερ οὐδὲ οἱ τὸν πνεύμονα, διὰ τὸ μαλθακὸν τῶν μορίων οὐδὲν ἔχουσι τοιοῦτον. ἀλλ' οὐδὲ αἱ βῆχες ὅμοιαι τοῖς πλευριτικοῖς, καὶ τοῖς ἡπατικοῖς. τοῖς μὲν γὰρ πλευριτικοῖς καὶ ἡ βὴξ σφοδροτέρα, καὶ αὐτίκα πτύει. ὕστερον δὲ προϊόντος τοῦ χρόνου, πάντα ἀναπτύεται κεχρωσμένα, ὅπερ καὶ σημαίνει τὸν ἐργασάμενον τὴν φλεγμονὴν χυμόν. καὶ ἐρυθρὸν μὲν γὰρ ὂν αἱματικὸν σημαίνει χυμὸν, ὥσπερ καὶ πάνυ τὸ ὑπόξανθον, χολώδη, καὶ τὸ λευκὸν καὶ γλίσχρον, φλεγματικὸν, ἢ μελαγχολικόν· οἱ δὲ ἡπατικοὶ ἐρεθίζονται μὲν εἰς βῆχα, οὐδὲν δὲ ἀναπτύουσι. γινώσκειν δέ σε βούλομαι ὅτι πλευριτικοί τινες βήσσουσι, καὶ οὐδὲν ἀναπτύουσιν. οὐ δεῖ δὲ ἐκ τούτου τὸν βήσσοντα μὲν, μὴ πτύοντα δὲ, πάντως νομίζειν ἡπατικὸν εἶναι. ἐγχωρεῖ γὰρ καὶ δυσανάπτυον εἶναι πλευρῖτιν, ἥτις ἐστὶ μάλιστα καὶ ἐπικίνδυνος. ἐγχωρεῖ δὲ καὶ κατὰ τὰς νόθους εἶναι πλευρὰς κάτω τὴν φλεγμονὴν, ὥστε μηδὲν φθάνειν διικνεῖσθαι ἐν τῷ θώρακι, ὥσπερ καὶ ἡ φλεγμονὴ ἔξωθεν. οὐδὲν γὰρ ἐπὶ τούτων ἀναπτύεται τὸ πάθος, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ διαφορηθῶσιν, εἰς ἀπόστημα τρέπονται, καὶ σπάνιόν ἐστι. πρόσεχε οὖν ἅμα πᾶσι, καὶ τῇ χροιᾷ τοῦ προσώπου. ὠχροὶ γάρ εἰσι, ὡς ἐπίπαν τὸ ἧπαρ· ὅπερ τοῖς πλευριτικοῖς οὐ πάνυ συμβαίνειν εἴωθεν. οὕτω μὲν διαγινώσκειν χρὴ τοὺς πλευριτικούς. θεραπεύειν δὲ αὐτοὺς πρὸς τὴν δύναμιν ἀφορῶντας, καὶ τὴν φύσιν αὐτὴν τοῦ πάθους. εἰ μὲν γὰρ αἱματικὸν εἶναι τὸν χυμὸν ἡ διάγνωσις ὑπαγορεύει σοι τὸν ποιήσαντα τὴν φλεγμονὴν, ἐπὶ τὴν φλεβοτομίαν ἧκε, μάλιστα ἐὰν καὶ ἐπὶ τὰ ἄνω μέρη συτείνῃ, ὥστε καὶ τὴν κλεῖν κατασπᾶσθαι σφόδρα. εἰ δὲ μηδὲν τούτων εἴη, ἀλλὰ καὶ ὀδύνη περὶ τὰ κάτω τοῦ διαφράγματος, καθαίρειν δεῖ τὴν κοιλίαν, ὡς ἐδίδαξεν ἡμᾶς ὁ θειότατος Ἱπποκράτης. μήτε οὖν φλεβοτομήσῃς, μήτε καθάρῃς προπετῶς, ὡς οἱ πολλοὶ ποιοῦσιν, ἐὰν μὴ μάθῃς ἀκριβῶς ὅτι ὁ τὴν φλεγμονὴν ἐργασάμενος χυμὸς πολύς ἐστι, καὶ ἐν ὅλῳ τῷ σώματι πλεονάζει. πολλὰ μὲν γὰρ καὶ ἄλλα ἐνδείξεταί σοι τὸ πλῆθος, μάλιστα δὲ ἡ πυρεία ἡ κατὰ τὸν τόπον προσφερομένη. εἰ μὲν οὖν πυριῶντί σοι καὶ κεχρημένῳ τοῖς μυρσίποις, ἡ ὀδύνη με-

τελεωτέρα γένηται, ὥστε τὸν κάμνοντα σαφῶς εὐφορίας αἰσθάνεσθαι, γίνωσκε μὴ εἶναι πλῆθος, καὶ θαῤῥῶν τῇ πυρίᾳ καὶ τοῖς τοπικοῖς κέχρησο βοηθήμασιν. διαφορήσεις γὰρ τὸ λυποῦν, καὶ τὸ τὴν φλεγμονὴν ἐργασάμενον. εἰ δὲ μηδὲν τούτων γένοιτο, ἀλλὰ μᾶλλον ἡ ὀδύνη μετὰ τοῦ μηδὲν εἴκειν, ἔτι καὶ ἰσχυροτέρα φαίνεται, δῆλον ὅτι πλῆθός ἐστιν, ὅπερ θερμαινόμενα τὰ μόρια εἰς ἑαυτὰ ἐπισπᾶται. τούτου οὖν φανέντος, μὴ ἀναβάλλου, ἀλλὰ μᾶλλον κένωσιν παραλάμβανε, μηδὲν ὑπερτιθέμενος, ὁποίαν ἂν ὑπονοήσῃς ἐξ ὧν εἰρήκαμεν ἔμπροσθεν. οἱ δὲ πολλοὶ τῶν νῦν ἰατρῶν φεύγουσι τὸ καθαίρειν ποτὲ πλευριτικόν, εἰς δὲ τὴν φλεβοτομίαν, ὡς ἄμεμπτον καὶ ἀσφαλεστέραν, ἐπιτρέχουσιν. εἰδέναι δὲ δεῖ ὅτι πολλούς, μάλιστα ἐφ' ὧν μήτε πάνυ πλῆθος ἐν ταῖς φλεψὶ φαίνοιτο πλεονάζον αἵματος, ὠφέλησε τὸ καταχαράσσαι καλῶς ὀξυτάτῃ σμίλῃ τὸν τόπον. δεῖ δὲ καὶ σικύᾳ χρήσασθαι μετὰ τὴν τομήν, ὥστε ἐκ βάθους ἑλκυσθῆναι τὸ περιεχόμενον. καὶ τούτου γινομένου θαυμάσαι ἐστὶ πῶς παρ' αὐτὰ καὶ ἡ ὀδύνη ὁποία ἂν εἴη, εἰ καὶ σφοδροτάτη, παύεται, ὡς μὴ δεηθῆναι μήτε πυρίας, μήτε ἄλλου βοηθήματος. τούτῳ οἱ ἐν Ἀρμενίᾳ ἰατροὶ καὶ ἰδιῶται πάντες κέχρηνται, ἐκ τῆς πολλῆς πείρας τοῦτο μεμαθηκότες, καὶ ὠφελοῦσι. κάλλιον δέ ἐστι καὶ ἀσφαλέστερον ἐφ' ὧν τὸ πλῆθός ἐστι, μικρὸν ἀποκενοῦν, ταύτῃ κεχρῆσθαι τῇ θεραπείᾳ, ἰσχυροτάτῃ οὔσῃ. καὶ ἐπὶ πᾶσι δὲ τοῖς βοηθήμασιν οὕτω πράττειν κάλλιον. κέχρησο δὲ πυρίαις ταῖς οἰκείαις πρὸς τὸν πλεονάζοντα χυμόν. εἰ μὲν γὰρ αἱματικὸς εἴη, ταῖς διαφορεῖν δυναμέναις, καὶ ξηραίνειν, ἀλλ' οὐ τῷ θερμαίνειν πάνυ, οἷά ἐστιν ἡ ἐκ κέγχρων πυρία. εἰ δὲ χολώδης, τοῖς σπόγγοις τοῖς ἀπὸ τοῦ θερμοῦ ὕδατος μόνοις μετὰ τῆς χαμαιμήλου βοτάνης. εἰ δὲ φλεγματικώτερος εἴη, τοῖς τε ἁλσί, καὶ φύλλοις δάφνης, ἢ ὀρόβοις πεφρυγμένοις, καὶ ἐρίῳ βεβρεγμένῳ εἰς ἀνήθινον ἔλαιον. μελαγχολικοῦ δὲ ὄντος, μᾶλλον τῇ πυρίᾳ τῇ ἀπὸ τῶν πιτύρων τῶν ἑψηθέντων εἰς τὸ ζέμα τῆς χαμαιμήλου. αὕτη ἡ πυρία καλλίστη, καὶ σχεδὸν πρὸς πᾶσαν ὀδύνην ἁρμόζουσα. δυνατὸν γὰρ αὐτὴν καὶ θερμοτέραν ποιῆσαι, προσπλέκοντας, εἴ που χρεία, πλέον, ἢ ἀλθαίαν, ἢ ἀνήθινον ἔλαιον ἀντὶ χαμαιμήλου, καὶ ἐπιτεῖναι τὴν αὐτήν, καὶ πραῧναι, ὡς ἂν βούλοιτο πρὸς τὴν προκειμένην διάθεσιν. τὰς δὲ δι' ὀξυκράτου πυρίας, καὶ μάλιστα τὰς ἐχούσας δηκτικόν τι, σφόδρα παραιτοῦ. αἱ μὲν γὰρ ἀποκρούονται τὴν ὕλην, τὰ δὲ πάνυ δριμέα ῥευματίζει τὰ φλεγμαίνοντα. καὶ κηρωταῖς διὰ στεάτων κέχρησο, καὶ πυρίαις ἀδήκτοις πάνυ ὡς ἐνδέχεται, καὶ μάλιστα ἐν ταῖς ἀρχαῖς. πέψεως δὲ φανείσης, οὐδὲν βλάψεις, εἰ καὶ θερμαινούσῃ χρήσῃ ἐμπλάστρῳ, οἷά ἐστιν ἡ διὰ μέλιτος καθ' ἑαυτὴν καὶ μετὰ τῆς χλεός. ὁμοίως δὲ καὶ ἡ πηγανερὰ καλουμένη πάνυ τὰ ἐν τοῖς βάθει διαφορεῖν δύναται καθ' ἑαυτήν, καὶ προσπλεκομένη τινὶ τούτων. πινέτωσαν δὲ πλέον πάντων τὸ ὑδαρὲς πάνυ μελίκρατον. οὐδὲν γὰρ εὕροις οὕτως ἄλλο κατάλληλον πλευριτικοῖς βοήθημα. εἰ δὲ πάνυ σφοδρὸς πυρετὸς εἴη, οὐδ' οὕτω μέν, ἐὰν ᾖ πάνυ ὑδαρές, βλάψει τι. ὅμως δὲ ἀντὶ μελικράτου, κέχρησο ἀπομέλιτι, ὥσπερ καὶ τῷ μελικράτῳ ὀλίγον, ὁσάκις ἂν δυσχεραίνῃ ἐπὶ τὴν ἀνάπλυσιν, ἐπιῤῥοφεῖν ἐξ αὐτοῦ κελεύων χλιαρόν. εἰ δὲ ἐπὶ πλέον πάλιν κάμνει ἐπὶ τὴν ἀναγωγὴν τοῦ πτυέλου, κέχρησο καὶ τῷ ὀξυμέλιτι, μάλιστα τῷ ἔχοντι τὸ πράσιον συνεψημένον. φεῦγε δὲ τὴν διὰ κωδειῶν καὶ τὴν Φιλώνειον, καὶ ἄλλο τι τῶν παρηγορικῶν φαρμάκων. κινδύνους γὰρ μεγίστους ἐπιφέρουσι, δυσανάγωγα πάντα τὰ ὑγρὰ ἐργαζόμενα,

ζόμενα, μετὰ τὸ * μεταβάλλειν καὶ νεκροῦν τὴν δύναμιν. εἰ δὲ ἡ ὀδύνη σφοδρὰ
καὶ ἀκαρτέρητος, ἢ καὶ ἀγρυπνία πολλὴ τῆς δυνάμεως ἐρρωμένης, τοῖς προειρημένοις
χρήσασθαι οὐδὲν ἄτοπον, ὥστε τὴν δύναμιν ἀνακαλέσασθαι ἀπὸ τῆς ἄγαν ἀ-
γρυπνίας κινδυνεύουσαν. εἰ δὲ ἀσθενεστέρα δυνάμεως εἴη, φεῦγε παντελῶς τὰ ναρ-
κωτικὴν ἔχοντα δύναμιν. Περὶ τροφῆς. Τροφῇ δὲ κεχρήσθω, χυλῷ τῆς πτισ-
σάνης ἐπὶ πολὺ ἑψηθέντι καὶ ἀποθεμένῳ τὸ φυσῶδες. ἐὰν γὰρ μὴ καλῶς ἑψηθῇ, φυσᾷ
τὰ ὑποχόνδρια καὶ αὐτή, καθάπερ καὶ τὰ ἄλλα τῶν ὀσπρίων. εἰ δὲ δυσανάγωγον
εἴη τὸ ὑγρόν, ἀμύγδαλα καθαρὰς καὶ λείας προσέπλεκε τῇ πτισάνῃ συνέ-
ψεσθαι. τότε γάρ ἐστιν εὐανάγωγον μᾶλλον τὸ ἐν τῷ θώρακι φερόμενον ὑγρόν. εἰ δὲ
πάνυ πυρέττοι σφοδρῶς, καὶ τῆς φλεγμονῆς τὸ ζέον φαίνοιτο παυσάμενον, θαρρῶν καὶ
τοῦ τῆς ἀκαλήφης σπέρματος προσέπλεκε τῇ πτισάνῃ, μετὰ ὑσσώπου συνεψῆσθαι
ποιῶν. τὰ γὰρ παχύτερα καὶ γλισχρότερα τῶν περιττωμάτων ἐπὶ πλέον λεπτύνειν δύναται.
τὸν χυλὸν δὲ καθ᾽ αὐτὸν τῶν ἀμυγδάλων παρέχε, μικρὸν αὐτῷ προσπλέκων μέλιτος.
ἔστι δὲ κάλλιον, πρωῒ μὲν τὸν χυλὸν τῆς πτισάνης, ἑσπέρας δὲ τὸν χυλὸν τῶν ἀμυγδάλων.
εἰ δὲ ἡ δύναμις ἀσθενεστέρα σοι φαίνοιτο, καὶ ἄρτου καθαροῦ ψίχας παρέχε εἰς τὸ
ἀπόμελι, ἢ ὑδρόμηλον, ἢ ὑδροροσάτον. τὸ γὰρ καλούμενον κιβυριακὸν φεῦγε. καὶ
γὰρ τοὺς πυρετοὺς παροξύνει, καὶ τῆς κεφαλῆς ἅπτεται, ὥστε καὶ παραφροσύνας ἐρ-
γάζεσθαι. καὶ πολλῷ βέλτιον εἴη, εἰ πάνυ ἀσθενὴς ἡ δύναμις φαίνοιτο, διδόναι βρα-
χὺ κνιδείου, ἢ τὸ ἀπὸ * τοῦ κυβέρεως ὑδρόμηλον. εἰ δὲ μὴ ἔχει ἡδέως πρὸς τὰς ψί-
χας ὁ κάμνων, δεῖ τῶν γλυκέων πομάτων λαμβάνειν, εἰς ζωμὸν ἐκτὸς ἐλαίου γινόμε-
νον ἀπὸ μόνης ὄρνιθος, καὶ μικρῶν ψιχῶν, ἐφ᾽ ὧν ἡ δύναμις ἀσθενής ἐστι, καὶ ἀνόρε-
κτος εἴη ὁ κάμνων, παραλάμβανε, ὥστε καὶ ἰχθύος, μάλιστα κίχλης, ἀποβλέποντα εἰς
τὴν δύναμιν. ἔστι δὲ καὶ ὁ ἰχθὺς καὶ ἁπαλός, καὶ ὑγρός, καὶ εὔπεπτος, καὶ ἴσως πλεισ-
την αὐτὴν ὀνομάζων θαλασσίαν οὐκ ἂν ἁμάρτοις. οὕτως ἐστὶν ἀπέριττος ἡ ἐξ
αὐτῆς τροφή. τὰ δὲ κτένια καλούμενα καὶ πάντα τὰ ὀστρακόδερμα φεῦγε, ὡς πα-
χύχυμα καὶ σφόδρα παρεμποδίζοντα τῇ ἀναγωγῇ τοῦ πτυέλου. ὁμοίως δὲ καὶ τὰ
λάχανα παραιτοῦ, εἰ μὴ ἡ γλῶσσα τραχεῖα φαίνοιτο καὶ διψώδης, καὶ πυρετὸς ἄ-
γαν. τηνικαῦτα γὰρ οὐδὲν ἄτοπον, ἢ μαλάχης ἀπὸ ζέματος δοῦναι, ἢ ἰντύβων. ὁ-
μοίως δὲ καὶ μῆλον γλυκὺ δοτέον. ῥοιὰς δὲ καὶ πᾶν ὅ, τι ἂν εἴη στύφον, ὡς πολέμια τῷ
θώρακι παραιτοῦ, καὶ ψυχρὸν εἴ τι κατ᾽ ἐνέργειαν ὑπάρχον, εἴτε ὀπώραν παραιτοῦ.
εὔκρατον δὲ παρέχε, καὶ μή, ὡς οἱ πολλοί, νομίσῃς αὐτὸ χολῶδες εἶναι. καταγελᾶσι γὰρ
„ τοῦτο· καὶ καταμέμφονται σαφῶς Ἱπποκράτους, μὴ εἰδότες πῶς εἴρηται, * τοῖς οὖν θερ
„ μὴν ἔχουσι, καὶ σφόδρα καταξήροις, καὶ πυρετῷ κάμνουσι, τίς ἂν τούτου εὕροι κα-
λὸν τῇ χολῇ, καὶ μάχεσθαι, καὶ νικᾶν αὐτῇ δυνάμενον; εἰ καὶ τροφὰς τὶς ἐπιδώσει τὰς
τρέφειν δυναμένας, ἐπεὶ καὶ καθ᾽ ἑαυτὸ τὸ εὔκρατον, ἅτε δὴ ἁπλοῦν ὄν, οὔτε θρέ-
ψαι, οὔτε ὑγρᾶναι τὸν κάμνοντα κυρίως δύναται, ἀλλὰ καὶ ξηρὸν καὶ πικρὸν ἀποτελέσει
μᾶλλον αὐτόν, τῷ λόγῳ τῆς ἀτροφίας. συγκρίνων οὖν αὐτὸ πρὸς οἶνον καὶ μελίκρατον καὶ
τὰς ἄλλας τροφάς, τοῦτο εἶπεν, ὥστε τὸ εὔκρατον οὐδεὶ μέμφεσθαι. αὐτὸ γάρ ἐστι τὸ
καὶ τὰς ἄλλας τροφὰς καὶ πέττεσθαι, καὶ ἀναδίδοσθαι ταχύτερον παρασκευάζον. καὶ τοῦτό
„ ἐστιν ὃ λέγει, ὑγρασίη τροφῆς ὄχημα. ὥστε μὴ παύσῃ διδοὺς εὔκρατον, μεταξὺ τρο-
„ φῆς καὶ τῶν ἄλλων πομάτων. καὶ τοῦτο γὰρ αὐτὸς ἐδίδαξεν εἰπών, μίσγοντας μὲν μελι-

κράτου ἢ ἀπομελίτος ἐπιδιδόναι κάλλιον· ἐπεὶ καθ' ἑαυτὸ μόνον οὐ τρέφει, οὔτε φάρμακον εἶναι δύναται. πάντα γὰρ σὺν ταῖς ἄλλαις τροφαῖς, καὶ πασῶν τῶν τροφῶν ὄχημα. οὐδὲν γὰρ ξηρόν, οὔτε φάρμακον ἄνευ ὑγροῦ εἰς τὸ βάθος ἀφικνεῖσθαι δύναται, ἀλλὰ μένει περὶ τὴν ἐπιφάνειαν, μηδεμίαν ἐνέργειαν ἐπιδεικνύμενον· ὅταν δὲ συμπλακῇ τινι τῶν ὑγροτέρων, τότε καὶ δύναμιν ἔχει, καὶ σημείωσιν, ἢ ψύξιν, ἢ θερμότητα ἐν τῷ βάθει ἐργάζεται, * ὥστε τὸ ὕδωρ εἰ καὶ ὡς τροφὴν τινες ἐδόξασαν, τῷ ἁπλοῦν αὐτὸ εἶναι, ἀλλ' οὖν πάντα τρέφει. αὐτὸ γὰρ μόνον ποιεῖ, ὁδοποιεῖ, καὶ καλέχει καὶ ἑνοποιεῖ τὰ διῃρημένα. εἰ γὰρ καὶ τὴν γῆν ξηρὰν οὖσαν καὶ διεσκορπισμένην ἑνοῖ, καὶ συνεχῆ ταύτην ἀπεργάζεται, ὡς διάφορα ἀποτελεῖσθαι σκεύη, καὶ τὸν αὐτὸν ἄρτον ἐσθιόμενον καὶ ἄλευρον ὑπάρχοντα, μεγίστην δύναμιν ἔχει. καὶ μηδὲν αὐτῷ συμβάλλεσθαι τις, ἢ ζώοις, ἢ φυτοῖς, ὡς τὸ ὑγρόν· ἐξ ὑγροῦ δὲ καὶ ἡ γένεσις. καὶ τοῦτο δεῖ φυλάττειν ἀεί. διότι καὶ τὰ ἄλλα αὐτὸ μάλιστα ἑνοῖ καὶ κατέχει. οὕτως οὖν διαιτᾶν δεῖ τοὺς πλευριτικούς, εἰ μηδὲν ἄλλο τι παρείη σύμπτωμα. καὶ τοῦτο δεῖ καὶ πρὸς ἐκεῖνον ἐνίστασθαι, ὅτι εἰ συμβῇ μετὰ τῆς ὀδύνης εἶναι καὶ φλεγμονὴν περὶ τὸ πλευρόν, μὴ κατὰ φύσιν ἐκκρίνειν τὴν γαστέρα, ἀλλ' ἀτάκτως, ὥστε καὶ τὴν δύναμιν καταβάλλεσθαι, ἀνάγκη τότε καὶ τῆς γαστρὸς πρόνοιαν ποιήσασθαι, καὶ μήτε φλεβοτομῆσαι προπετῶς, μήτε ἄλλῳ τινὶ χρήσασθαι βοηθήματι, εἰ μή τι κατὰ τῆς γαστρὸς διὰ τῶν ῥωννύειν αὐτὴν καὶ ἐπέχειν δυναμένων ἐπιβροχῶν τε καὶ ἐπιθεμάτων. εἰ δὲ καὶ ἡ ὀδύνη τοῦ πλευροῦ κατεπείγει, οὐδ' αὐτῆς ἀμελεῖν χρή, ἀλλ' ἀμφοτέρων προνοεῖσθαι. κατὰ μὲν οὖν τοῦ στομάχου καὶ τῆς γαστρὸς τὰ τονοῦντα, κατὰ δὲ τοῦ πλευροῦ, τὰ θερμαίνειν καὶ χαλᾶν δυνάμενα. οὕτω δὲ δεῖ πράττειν ὡς μηδὲν ὅλως ἅπτεσθαι τῶν χαλώντων, ἢ τοῦ ἥπατος, ἢ τῆς γαστρός.

Περὶ ὀδύνης καὶ φαρμάκων.

Ὀδύνης μὲν οὖν ἀμέτρου οὔσης, καὶ πυρετοῦ, τὰς ἐπιβροχὰς καὶ πυρίας τὰς πραεῖς καὶ ἀδήκτους ἔξωθεν παραλαμβάνειν ἀεί· μὴ οὔσης δὲ σφοδρᾶς τῆς ὀδύνης, τὰς κηρωτὰς καὶ ἐπιθέματα. καλὰ δέ εἰσιν εἰς τὰ τοιαῦτα φάρμακα, τὸ διὰ στεάτων καλούμενον, καὶ ἡ χεὶρ καθ' ἑαυτήν, καὶ μιγνυμένη μετὰ τῆς διὰ μέλιτος. παρακμῆς δὲ γινομένης, καὶ * τὸ ζέον πάνυ μηκέτι τῆς φλεγμονῆς, ποιεῖ καλῶς καὶ ἡ πηγανερὰ καλουμένη, καὶ ὅσα γε διαφορεῖν ἐπὶ πᾶσι καὶ ἕλκειν τὰ ἐκ βάθους ἐστὶ δυνατά. καὶ μάλιστα ἐφ' ὧν οὐκ ἔστι πυρετός, κεχρῆσθαι δεῖ τοῖς θερμοτέροις ἅπασι, καὶ ἐρφήμασιν. οἱ οὖν τῆς κράμβης καυλοὶ καέντες, ἄριστα ποιοῦσι πρὸς τὰς τῶν πλευρῶν ὀδύνας. δεῖ οὖν αὐτοὺς μετὰ τὸ τεφρωθῆναι, ἀναλαμβάνειν στέατι παλαιῷ χοιρείῳ, καὶ οὕτως ἐπιτιθέναι πεπονθότι. φαρμάκοις μὲν οὖν ἐφ' οἷς οὐκ ἔστι πυρετός, τούτοις δεῖ κεχρῆσθαι, καὶ πόμασι, τῷ τε κόστῳ, καὶ τῷ βδελλίῳ τῷ ἀραβικῷ. Περὶ ἀποζεμάτων. Ἐπειδὴ καὶ ἀποζέμασιν ἅπαντες ὡς ἐπὶ τὸ πολὺ κέχρηνται, καὶ ταῦτα τοῦ θειοτάτου Ἱπποκράτους μὲν τῷ περὶ πτισάνης ἀρκουμένου, οὗτοι δὲ μελικράτῳ καὶ ὀξυμέλιτι, καὶ πτισάνης χυλῷ πρὸς τὴν ἀναγωγὴν τοῦ πτυέλου, ἀναγκαῖον εἰδέναι καὶ προσδιορίζεσθαι καὶ περὶ τούτων. εἰ μὲν οὖν χολώδεις εἰσί, καλόν ἐστι καὶ μόνῳ τῷ τῆς πτισάνης χυλῷ ἀρκεῖσθαι, καὶ συνεχέστερον αὐτὸν ἐπιδιδόναι καὶ πλείονα· εἰ δὲ ἀποδιώκοιτο, καὶ μὴ δέχοιτο τὸν τῆς πτισάνης χυλὸν ἡδέως, καὶ ἄλλῳ χρῆσθαι δεῖ, καὶ μάλιστα τῷ ἀπὸ τοῦ βρώμου. οὐ γὰρ ἔ-

λαττον

λάττον τῆς πτισάνης. εἰ μή τι γε καὶ πλέον ἔχει, τὸ δύνασθαι καθαίρειν καὶ εὐανάγωγα ποιεῖν τά τε ἀπὸ τοῦ θώρακος καὶ πνεύμονος ὑγρά. καὶ τὸ εὔκρατον δὲ τούτοις ἐπιτήδειόν ἐστι, τῷ ὑγραίνειν τὸ ξηρὸν τοῦ χυμοῦ, καὶ τὸ ἀπόμελι, μᾶλλον δὲ * τὸ μελίκρατον, καὶ καθόλου γε πάντα τὰ ἀνυγραίνειν, μετὰ τοῦ μήτε ψύχειν ἢ θερμαίνειν σφοδρῶς, ἀλλ᾽ ἔχειν τι ῥυπτικόν. οὐδὲν γάρ ἐστι κάλλιον ἐπὶ πλευριτικῶν, τοῦ ὑγραίνειν ἅμα καὶ ῥύπτειν δυναμένου φαρμάκου. εἰ δὲ φλεγματῶδες εἴη τὸ διαπτυόμενον γλίσχρον, ὥστε διὰ τοῦτο δυσανάγωγον εἶναι, καὶ μετὰ πολλῆς ἀνάγεσθαι βηχός, ἐπὶ τούτων ἀναγκαῖόν ἐστι κεχρῆσθαι καὶ τῷ διὰ τῆς ἴρεως καὶ γλυκυῤῥίζης ζέματι, καὶ τῷ διὰ πρασίου δὲ ὀξυμέλιτος, καὶ τῷ μελικράτῳ, πρός γε τὴν δύναμιν ἀποβλέποντα δὲ τὴν ποσότητα, καὶ δύναμιν τοῦ πτυομένου καὶ ἀναγομένου. Περὶ καθαρσίου. Καὶ ὑπάγειν δὲ τὴν γαστέρα δεῖ μὴ μόνον κλύσμασιν, ἀλλὰ καὶ ὑπηλάτοις χρωμένους, εἰ δὲ τὸ σῶμα φαίνοιτο κακόχυμον ὑπάρχον καὶ περιττωματικόν· ὥστε διὰ τούτου καὶ πρὸ τῶν βοηθημάτων προξενεῖσθαι μᾶλλον, ἢ ἐλάττονα γίνεσθαι τὴν ὀδύνην, καὶ περὶ τὰ κάτω μόρια τὸ ἄλγημα γίνεσθαι. δεῖ δὲ καὶ τὴν κάθαρσιν ποιεῖσθαι, εἰ μὲν χολῶδες εἴη, τὸν ὀπὸν περιέχων τῆς σκαμμωνίας. οὐδὲ γὰρ ἔχει πάνυ τὸ θερμόν, ὥσπερ τὰ ἄλλα καθάρσια· διδόναι δὲ δεῖ συμμέτρως αὐτοῦ, καὶ κατὰ μέρος ἀποβλέποντα πρὸς τὴν δύναμιν, καὶ τὴν ποσότητα τῆς πλεοναζούσης ὕλης. εἰ δὲ μὴ ὑπάρχει χολῶδες, ἀλλὰ μᾶλλον φλεγματικόν, τότε δεῖ κεχρῆσθαι ἐκείνοις, οἷς ἐκέλευσεν ὁ θειότατος ἱπποκράτης, ἢ πεπλίῳ, ἢ τῷ μέλανι ἐλλεβόρῳ, ποτὲ μὲν εἰς πτισάνης χυλὸν ξηρὸν ποιοῦντα, ὡς καὶ ἡμεῖς ἐποιήσαμεν πολλάκις. ἔχει δὲ αὐτοῦ ἡ σύνθεσις οὕτως, ἐλλεβόρου μέλανος, χωρὶς τῆς ἐντεριώνης < δʹ, σκαμμωνίας < αʹ, κόμμεως < αʹ. ἀναλάμβανε χυλῷ κράμβης, καὶ ποίει καταπότια μέγεθος ἔχοντα ἐρεβίνθου· καὶ δίδου παιδίοις κόκκους εʹ, τοῖς δὲ ἔχουσι δύναμιν κόκκους ζʹ, τοῖς δὲ ἀκμάζουσι κόκκους ιεʹ, γυναιξὶ δὲ κόκκους ιαʹ. εἰδέναι δὲ δεῖ ὅτι καὶ ὀφθαλμιῶσιν ἐπιδίδονται ταῦτα, καὶ ἰκτερικοῖς, μετὰ τοῦ μηδεμίαν ἀνατροπὴν στομάχου ποιεῖν. διδόναι δὲ αὐτὰ μᾶλλον δεῖ μετὰ τροφήν. οὕτω γὰρ ἀβλαβῆ καὶ ἄλυπον ποιοῦσι τὴν κάθαρσιν.

Κεφάλαια τοῦ ἑβδόμου βιβλίου.

Περὶ

Περὶ τῶν χολὴν ἐμούντων μετ' ἀγωνίας, καὶ φυσουμένων τὸν στόμαχον.

Η διὰ τῶν ὀπωρῶν, ποιοῦσα πρὸς ἀνατροπὴν στομάχου, καὶ κοιλιακούς, καὶ δυσεντερικούς.

Ἐπίθεμα πρὸς στόμαχον ῥευματιζόμενον, καὶ ἐμπυρετοῖς, καὶ κωλικοῖς, οἷς διὰ τὴν τοῦ στομάχου συμπάθειαν, καὶ ἀπορρίπτουσι τὴν τροφήν.

Ἄλλο ποιοῦν πρὸς τοὺς ἀτονοῦντας τὸν στόμαχον, καὶ τοὺς μὴ δυναμένους κατέχειν τὴν τροφήν.

Ἄλλο ἐπίθεμα στομάχου ὁμοίως τονωτικόν.

Ἄλλο πρὸς στόμαχον ῥευματιζόμενον, καὶ κοιλιακόν.

Περὶ ἀντιδότων, πρὸς τοὺς διὰ ψυχρὰν δυσκρασίαν ἀπεπτοῦντας τὴν τροφήν.

Ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις, τὸ διὰ μήλων.

Πρὸς στόμαχον ἀφεμοῦντα τὴν τροφήν. θ'

Πρὸς ἐμπνευματώσεις τοῦ στομάχου καὶ ἐντέρων ποιοῦν, πρὸς ἀπεπτοῦντας, ἡπατι- ι'
κούς, βηχικούς, καὶ μάλιστα ἐφ' ὧν ψυχρότερον τὸ αἴτιον.

Ἄλλο ποιοῦν πρὸς ἐμπνευμάτωσιν καὶ πόνον, καὶ πᾶσαν ὀδύνην στομάχου.

Στομαχικὸν ποιοῦν καὶ πρὸς κῶλον. Ἄλλο ποιοῦν καὶ πρὸς τὰ ἄλλα πάθη.

Ἀντίδοτος στομαχικὴ ἡ πικρά.

Ἄλλο στομαχικόν, ποιοῦν καὶ πρὸς ἐμπνευματώσεις.

Περὶ καρδιακῆς διαθέσεως. ια'

Περὶ καρδιαλγίας. ιβ'

Περὶ ναυτίας καὶ ἐμέτου. ιγ'

Θεραπεία ἐμέτου καὶ ναυτίας.

Διάγνωσις πότερον ἐν τῇ γαστρὶ τίκτεται ὁ ἐμούμενος χυμός, ἢ ἑτέρωθεν ἐπιρρεῖ.

Θεραπεία τοῦ χολώδους ἢ μελαγχολικοῦ αἰτίου, ποιοῦντος τὸν ἔμετον, ἢ τὴν ναυτίαν.

Θεραπεία φλέγματος προσπεπλεγμένου τῷ στομάχῳ, καὶ ποιοῦντος ναυτίαν.

Θεραπεία ὀρρώδους καὶ λεπτοῦ χυμοῦ ἐμπλασθέντος ἐν τῷ στομάχῳ.

Πρὸς φλεγμονὴν στομάχου. ιδ'

Περὶ ἐπιθεμάτων φαρμάκων, τὸ γαλιῶδον.

Ἄλλο τὰ αὐτὰ ποιεῖν δυνάμενον. Κοπτὸν πρὸς σκληρίαν στομάχου.

Ἄλλο μάλαγμα καλόν, ποιοῦν πρὸς σκληρίαν στομάχου, καὶ ῥευματισμόν, καὶ ὀδύνην, ὥστε εἰς τρεῖς ὥρας ἀνώδυνον γίνεσθαι τὸν κάμνοντα.

Περὶ τῶν ἐχόντων ἀπὸ ψυχροῦ χυμοῦ φλεγμονήν.

Περὶ τοῦ διὰ μηλιλώτων καὶ ἱερατικοῦ φαρμάκου.

Ἄλλο μάλαγμα πολυάρχιον. Ἄλλο ἐπίθεμα ὀδύνης στομάχου.

Πρὸς πᾶσαν φλεγμονὴν στομάχου, καὶ πᾶσαν σκληρίαν, καὶ μάλιστα ἐφ' ὧν κατάψυξις, καὶ ὑδερικὴ μελετᾶται διάθεσις, καὶ ἁπλῶς εἰπεῖν, ἐφ' ὧν ἐμπνευμάτωσις γίνεται ἐν τοῖς ὑποχονδρίοις.

Περίχρισμα στομάχου, καὶ ἄλειμμα πρὸς ψυχρὰν δυσκρασίαν.

Σκευασία μεσκιάτου καλοῦ. Ἄλειμμα μυρόκοπον.

Πρὸς κατεψυγμένον στόμαχον ἔμβαμμα. Περὶ ἀντιδότων στομαχικῶν.

Τροχίσκος ὁ τῶν ἀμαζόνων. Θεραπεία.

Ἀλεξαν-

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Περὶ αἵματος ἀναγωγῆς. α'



ὐκ οἶδα πάθος εἰ οὕτως ἄλλο χαλεπόν ἐστιν, ὡς ἡ τοῦ αἵματος πτύσις. οὐ γὰρ αὐτὸ καθ' αὑτὸ τὴν κένωσιν ἄμετρον ἐπιφέρειν ἀναιρεῖν πέφυκεν, ἀλλὰ κακίστων καὶ χρονίων αἴτιον γίνεται νοσημάτων ὡς ἐπὶ τὸ πολύ. σπουδάζειν οὖν δεῖ διὰ ταῦτα διαγινώσκειν τὸ πάθος τοῦτο πρότερον πόθεν ἔσχε τὴν αἰτίαν, καὶ ἐν ποίῳ τόπῳ συμβέβηκε, καὶ οὕτω τὴν θεραπείαν ἐπιφέρειν, καὶ μὴ ἀναβάλλεσθαι. ἐπὶ μὲν γὰρ πάντων τῶν νοσημάτων ἐστὶν ἡ ἀναβολὴ κακὸν πάνυ, πολὺ δὲ πλέον ἐπὶ τῆς τοῦ αἵματος ἐξαγωγῆς. εἰδέναι τοίνυν χρὴ τοῦτο περὶ πάντων, ὡς διὰ τρεῖς αἰτίας ἡ τοῦ αἵματος ἀνάπτυσις ἐγνώσθη γινομένη, διά τε ῥῆξιν ἀγγείων, δι' ἀνάβρωσιν, καὶ δι' ἀναστόμωσιν. γνωρίσεις δὲ ἕκαστον τῶν πόνων οὕτως. Ὅπως ἂν γνοίημεν εἰ διὰ ῥῆξιν ἡ τοῦ αἵματος ἀναγωγὴ γέγονε. Τοὺς μὲν οὖν διὰ ῥῆξιν τὴν ἀναγωγὴν τοῦ αἵματος ἐσχηκότας γνωρίσαι δυνήσῃ, πρῶτον μὲν ἐκ τοῦ προηγήσασθαί τι τῶν προκαταρκτικῶν αἰτίων, οἷον, ἢ φωνὴν βιαίαν, ἢ πτῶμα, ἢ πληγὴν σφοδράν, ἢ καὶ προσαίρεσθαί τι φορτίον βαρύ, ἢ καὶ προσομιλῆσαι κρύει σφοδρῷ, ἢ τῷ ἀθροισθῆναι πλῆθος αἵματος, ἢ πνευμάτων ἔνστασιν πολλῶν. ἱκανὰ γὰρ καὶ ταῦτα γίνεται πολλάκις ἀγγείων ῥῆξιν ἐν τοῖς μορίοις ἐργάσασθαι. Σημεῖα τῆς κατὰ διάβρωσιν γινομένης αἵματος ἀναγωγῆς. Γνωρίσεις δὲ καὶ τὰς κατὰ διάβρωσιν γινομένας τοῦ αἵματος ἀναγωγάς, πρῶτον μὲν ἐκ τοῦ κατὰ βραχὺ τὰς ἀναπτύσεις γίνεσθαι, εἶτα μείζονος γινομένης τῆς ἀναβρώσεως, ἀθρόως τὸ πολὺ κενοῦται. λοιπὸν δὲ καὶ τῷ προηγήσασθαι ἢ καταρροίαν, ἢ ἁλμυρῶν καὶ πάνυ δριμέων προσφοράν, ἢ λύπας ἀμέτρους, ἢ ἀσιτίας. εἰ δὲ καὶ σὺν τῷ αἵματι φαίνοιτο σαρκώδη τινὰ μόρια, εἴτε ὑμενώδη ἀναμεμιγμένα, ἀναμφιλέκτως ὑπολαμβάνειν δεῖ κατὰ διάβρωσιν τῶν ἀναπνευστικῶν μορίων γίνεσθαι τοῦ αἵματος τὴν ἀναφοράν. Περὶ τῆς κατὰ ἀναστόμωσιν.

Εἰ δὲ καὶ κατὰ ἀναστόμωσιν ἡ ἀνάπτυσις, γνωρίζεται πρῶτον μὲν ἐκ τοῦ μηδὲν προηγήσασθαι ὧν ἐπὶ τῆς κατὰ διάβρωσιν εἰρήκαμεν γίνεσθαι, ἀλλὰ μᾶλλον ὑγροτέραν καὶ θερμοτέραν δίαιταν, καὶ λουτρῶν πολλῶν κατάχρησιν· καὶ ἐκ τοῦ ἐν οἰκήμασι θερμοτέροις διατρίψαι παρὰ τὸ συνήθες, ἢ χωρίῳ θερμοτέρῳ. εἰ γάρ τι τούτων προῆ, καὶ ὀλίγη καὶ κατὰ βραχὺ γίνοιτο ἡ τοῦ αἵματος πτύσις, γίνωσκε δι' ἀναστόμωσιν ἀγγείων γενέσθαι τοῦ αἵματος τὴν φοράν. οὕτω μὲν οὖν ἄν τις δυνηθείη διαγνῶναι τὸ αἴτιον, ὅθεν ἡ ἀναφορὰ τοῦ αἵματος ἔσχε τὴν ἀρχήν· τὸν δὲ τόπον ὅθεν, διαγνώσῃ οὕτω. Περὶ τοῦ ἐπιγνῶναι τὸν πεπονθότα τόπον. Εἰ μὲν πολὺ καὶ ἀθρόον ἐνεχθῇ τὸ αἷμα, καὶ ὑπόξανθον μᾶλλον καὶ ἀφρῶδες καὶ χωρὶς ὀδύνης, γινώσκειν δεῖ ἐκ τούτων ἀπὸ τοῦ πνεύμονος τὴν ἀναγωγὴν γίνεσθαι τοῦ αἵματος. Περὶ τοῦ ὅτι ἐκ τοῦ θώρακος. Εἰ δὲ ἄλγημά τι περὶ τὸν θώρακα γίνοιτο, καὶ μήτε ἀπερχόμενον εἴη ξανθόν, μήτε πολὺ πάνυ καὶ ἀθρόως φερόμενον, ἡγεῖσθαι χρὴ τὸν θώρακα πεπονθέναι. καὶ ἀναφέρεται δὲ τὸ αἷμα διὰ τοῦ πνεύμονος, ὡς-

περὶ ἐπὶ τῶν ἐμπυϊκῶν, ἐφ' ὧν μεταξὺ θώρακός τε καὶ πνεύμονος ἐμπεριέχεται.

Περὶ τοῦ ὅτι ἐκ τῶν περὶ τὸν φάρυγγα. Γνωρίσεις δὲ ὅτι οὐκ ἐκ τῶν κάτωθεν μερῶν, ἀλλ' ἐκ τοῦ περὶ τὸν φάρυγγα καὶ τὴν ἀρτηρίαν, ἐκ τοῦ μόνον ἀναχρεμπτομένοις αὐτοῖς καὶ βήσσουσι πάνυ ἀναπτύεσθαι, ὥσπερ πάλιν τὸ ἀπὸ τοῦ στόματος πτυόντων μόνον, καὶ ἀπὸ τοῦ στομάχου, ἐμούντων οὐ βησσόντων, οὐδὲ χρεμπτομένων. οὕτω μὲν οὖν δυνατόν ἐστι διαγινώσκειν τὴν αἰτίαν, ὅθεν ἡ ἀναγωγὴ γέγονε, καὶ τοὺς πεπονθότας τόπους. λοιπὸν δὲ καὶ περὶ τῆς θεραπείας αὐτῶν ἐστιν ἀναγκαῖον εἰπεῖν.

Περὶ θεραπείας τῆς διὰ ῥῆξιν γινομένης ἀναγωγῆς.

Τῆς μὲν οὖν διὰ ῥῆξιν γινομένης ἀναγωγῆς τοῦ αἵματος, προσήκει πάντι τρόπῳ τέμνειν τὴν ἐν ἀγκῶνι φλέβα. χρὴ δὲ ποιεῖσθαι τὴν κένωσιν μὴ ἀθρόαν, ἀλλὰ δύο καὶ τρεῖς ὥρας ἀφελεῖν, καὶ μάλιστα εἰ καὶ πλῆθος αἵματος εἴη τὸ προηγησάμενον αἴτιον, ἢ πνεύματος πολλοῦ καὶ φυσώδους ἔνστασις. εἰ δὲ καὶ ὁ νοσῶν ἀκμάζων τὴν ἡλικίαν, καὶ ἡ δύναμις ἐρρωμένη φαίνοιτο, καὶ πλείονος ἀφαιρεῖν δεῖ θαρρούντως. ὠφελεῖ δὲ αὐτοὺς οὐδὲν ἧττον καὶ ἡ ἐκ τῶν κάτω μερῶν ἀφαίρεσις. οἶδα δὲ ἐγὼ, διὰ τὸ μὴ ὑποπεσεῖν τὰς ἐν ἀγκῶνι φλέβας, καὶ ἐκ τῶν περὶ τῶν ἀστραγάλων ποιησάμενος τὴν ἀφαίρεσιν, καὶ πολὺ μᾶλλον ὠφελήσας. ἡ γὰρ ἐπὶ τὰ πορρωτέρω μέρη περιτροπὴ τῆς ὕλης, βεβαιοτέραν πολὺ τὴν ἀντίσπασιν ἀπεργάζεται. μετὰ δὲ τὴν ἀφαίρεσιν τοῦ αἵματος, ἀνάγκαζε σιγηλὸν εἶναι τὸν κάμνοντα, καὶ σπουδάζειν βιάζεσθαι μὴ μεγάλην γίνεσθαι τὴν ἀναπνοήν, καὶ ἐπειδὰν δὲ ἀναπνεύσῃ, τὸ ὑδαρὲς ὀξύκρατον ἐπιτρέπειν αὐτὸν ἐπιρροφᾶν. ἅμα γὰρ ἀνατρέπεσθαι συμβαίνει, διὰ τὸ καὶ τοὺς θρόμβους ἀποκρούεσθαί τε καὶ κωλύεσθαι τὴν πολλὴν ἐπιφορὰν τοῦ αἵματος. Περὶ τροφῆς. Ἔστω δὲ πᾶσα τροφὴ, μετὰ τοῦ ὑποστύφειν, μέτριον ἔχουσα, καὶ τὸ παρεμπλαστικόν. χυλὸς τοίνυν ἄλικος τούτοις ἐπιτήδειος, ἢ πτισάνης. ἔσται δὲ κάλλιον πολλῷ καὶ ἰσχυρότερον τὸ ῥόφημα, ἐὰν ἀμύλου σιτίνου, καὶ μήλου βραχὺ συνεψήσῃς τοῖς χυλοῖς. οὕτω γὰρ ἔσται καὶ παρεμπλαστικώτερον, καὶ ὑποστρέφειν δυνάμενον, οὗ καὶ μάλιστα χρῄζομεν ἐπὶ τῶν διὰ ῥῆξιν ἀναπτυόντων αἷμα. μὴ παρούσης δὲ τῆς πτισάνης, καὶ χυλῷ κεχρήσθω τῷ παρὰ ῥωμαίοις καλουμένῳ * φασικλίῳ, τῷ ἀπὸ τῆς σεμιδάλεως, ἰσχυρῶς κατεψηθείσης αὐτῆς. καὶ οἱ χυλοὶ δὲ οἱ εἰς τὸ εὔκρατον, καὶ τῶν ᾠῶν οἱ λέκυθοι, εἴπερ τι καὶ ἄλλο, τούτοις εἰσὶν ἐπιτήδειοι. δεῖ δὲ μήτε τῶν ῥοφημάτων, μήτε τῶν ἄλλων τροφῶν θερμόν τι προσφέρειν. ἀλλὰ πάντα μᾶλλον ἔστωσαν εὔκρατα, καὶ ἐπὶ τὸ ψυχρότερον ῥέποντα. καὶ τὸ ἴτριον δὲ αὐτοῖς οὐκ ἔστιν ἀνοίκειον ἔδεσμα, ἀλλ' ὠφελεῖν καὶ αὐτὸ δυνάμενον, εἴπερ ἐκτὸς ἁλῶν σκευασθείη, καὶ ἐλαίου πολλοῦ. καὶ τῶν λαχάνων δὲ προσφερέσθωσαν, τήν τε μαλάχην περιπλυθεῖσαν καλῶς ἐκτὸς ἁλῶν, καὶ τὴν θριδακίνην ἐκζεσθεῖσαν, εἰς ὀξύκρατον ὑδαρὲς αὐτὴν ἀποβάπτοντες. ὁμοίως δὲ καὶ τὸ ἴντυβον, καὶ ἡ ἀνδράχνη. μὴ παρόντων δὲ τούτων, μετὰ τὴν ἑβδόμην ἡμέραν λαμβανέτωσαν καὶ τῶν ὀρνίων μὴ τῶν λιπαρῶν πάνυ. ἐσθιέτωσαν δὲ καὶ περδίκων καὶ ἀτταγήνων τὰ στήθη. προσφερέσθωσαν δὲ καὶ τοὺς ὄρχεις τῶν ἀλεκτρυόνων. μετὰ γὰρ τοῦ τρέφειν ἰσχυρῶς ἐν ὀλίγῳ καὶ αὔξειν τὴν δύναμιν, ἔτι καὶ τὸ λεῖον ἔχουσι, καὶ τὸ παρεμπλαστικόν. εἰ δὲ πλείονα ἡ γαστὴρ ἐκκρίνει, καὶ ὀπτοὶ προσφερέσθωσαν χωρὶς ἁλῶν. οὕτω γὰρ ἐσθιόμενοι τὴν γαστέρα οὐ φθείρουσιν, ἀποβάλλοντες τὸ ὀρρῶδες αὐτῶν ἐν τῇ ὀπτήσει, καὶ προσέτι καὶ ἡδύτεροι γίνονται. καὶ τῶν χηνῶν τῶν

μὴ

μὴ πάνυ παλαιῶν προσφερέσθωσαν τὰ ἄκρα, καὶ τὰς κοιλίας, καὶ τὰ ὦτα αὐτῶν χωρὶς τῆς λευκῆς. καὶ γὰρ μετὰ τοῦ καλῶς τρέφειν, καὶ τὸ περιεμπλαστικὸν ἔχουσιν, ἀλλ' οὐ τὸ δύσπεπτον, ὡς τινὲς διαβάλλουσι. παυσαμένης δὲ τῆς ἀγωγῆς τοῦ αἵματος, καὶ πόδας ὑῶν προσφερέσθωσαν, καὶ τῶν πετραίων ἰχθύων, προσεπιβαλλομένου ὄξους ἐν τῇ ἑψήσει. τῶν δὲ ὀστρείων προσφερέσθωσαν ὄνυχα καὶ χύδην, πάνυ κατεψηθέντων, καὶ τούτων αὐτῶν ἐκ διαλειμμάτων πλειόνων, καὶ ὅτε μὴ πυρέσσειεν σφοδρῶς. ἀπυρέτοις γὰρ αὐτοῖς οὖσιν, εἰ καὶ γάλα αὐτοῖς συνεχῶν δοίης, οὐδὲν βλάψεις, καὶ μάλιστα τοὺς ἔχοντας αὐτῶν ἔθος καὶ ἐν τῇ ὑγείᾳ προσφέρεσθαι γάλα. τῶν δὲ ὀπωρῶν προσφερέσθωσαν ὅσα ὑποστύφουσι μετρίως, οἷον, μήλων, καὶ μάλιστα τῶν κυδωνίων ἀποζεσθέντων, καὶ ἀπίων, καὶ οὔων, καὶ μεσπίλων, καὶ εἰ πάνυ διψώδεις εἶεν, καὶ τῶν πεπόνων, καὶ τῶν σικύων τὴν ἐντεριώνην, καὶ κρεμαστῆς αὐτοῖς ἐπιδιδόναι σταφυλῆς. τῶν δὲ σύκων ἀπεχέσθωσαν, καὶ τραγημάτων, πιστακίων μάλιστα, καὶ ἀμυγδάλων, καὶ ἐριᾶς. σπανίως δὲ προσφερέσθωσαν στροβιλίων καὶ σταφίδων, ἅμα καὶ τούτων αὐτῶν μετὰ τὴν τοῦ αἵματος ἀναγωγήν. Περὶ πόματος.

Πόμα δὲ διὰ πάσης τῆς νόσου προσφερέσθωσαν τὸ εὔκρατον, καὶ τοῦτο μὴ θερμόν, ἀλλ' εὔκρατον, ὥσπερ καὶ λέγεται. εἰ δὲ μὴ ἐπὶ πολὺ ἔχονται προσκαρτερεῖν τῇ εὐκρατοποσίᾳ, φάσκοντες ἀσθενῶς ἔχειν καὶ τὸ στόμα τῆς γαστρός, συγχωρητέον αὐτοῖς καὶ ὀλίγου λαμβάνειν ὀμφακομέλιτος, ἢ ὑδροροσάτου, ἢ τοῦ διὰ κυδωνίων ὑδρομήλου προσάπαξ ἢ δίς. ἐν ταῖς ἄλλαις ὥραις δὲ πάλιν τὸ εὔκρατον, ἢ τὸ ὑδαρὲς ὀξύκρατον. Περὶ βοηθημάτων. Τοιαύτη μὲν ἐστὶν ἡ δίαιτα. προσφερέσθωσαν δὲ αὐτοῖς τὰ βοηθήματα, καὶ μάλιστα τοῖς γε μὴ τὸ ἀκριβὲς δυναμένοις φυλάττειν, καὶ πρότερόν γε τοῖς ἁπλουστέροις χρηστέον, εἶθ' οὕτω καὶ τοῖς ἰσχυροῖς, εἰ δεήσει, καὶ ἁπλῶς εἰπεῖν, μετροῦντας τὰ βοηθήματα καὶ πρὸς τὸ μέγεθος τοῦ πάθους, καὶ πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, καὶ οὕτως αὐτῷ ἐπιδιδόντας. ἔστι δὲ τὰ βοηθήματα τοιαῦτα, ἃ καὶ ὁ λόγος καὶ ἡ πεῖρα ἐμαρτύρησεν. ἔχει δὲ οὕτω, συμφύτου τὸ ἀπὸ τῶν ῥιζῶν ζέμα ἐπέχει τὰς ἐκ ῥήξεως ἀναγωγὰς τοῦ αἵματος. ἀνδράχνης ὁ χυλὸς πινόμενος ἄριστόν ἐστι καὶ δραστικὸν βοήθημα. εἰ δὲ ἀνέχοιντο καὶ αὐτὴν προσφέρεσθαι τὴν πόαν, καὶ οὕτως ὠφελοῦνται. καὶ βάτου ὁ καρπός, καὶ τὸ ἄνθος τοῦ δρυός, καὶ τὸ ἀπὸ τοῦ φλοιοῦ ἀπόζεμα τὸ ὑμενῶδες, καὶ τὸ κέλυφον τῆς βαλάνου. διὰ δὲ τὸ τραχὺ τῆς πόσεως αὐτοῦ, κάλλιόν ἐστι μήτε τὴν οὐσίαν αὐτὴν λαμβάνειν, ἀλλὰ ἀφέψοντα μᾶλλον ὕδατι, τὸ ζέμα αὐτῆς ἐπιδιδόναι πίνειν. ῥέον καὶ αὐτὸ πάνυ συμφέρει. σχίνου τῶν ἁπαλῶν φύλλων πάνυ πεποίηται ὁ χυλός. ἰσχυρῶς δὲ πεποίηται καὶ τοῦ πολυγόνου ὁ χυλός, οὐ μόνον πρὸς τὰς ἐκ ῥήξεως αἱμορραγίας, ἀλλὰ καὶ πρὸς πάσας σχεδόν, καὶ καθ' ἑαυτόν, καὶ μετὰ λημνίας σφραγῖδος. σάμιος ἀστὴρ καὶ αὐτὸς πρὸς πάσας ποιεῖ τὰς αἱμορραγίας μετὰ ὕδατος, ἢ μετά τινος τῶν εἰρημένων ἀποζεμάτων πινόμενος. πράσου χυλὸς μετὰ ἀνδράχνης χυλοῦ ἐξ ἴσου καὶ ὀλίγου ὄξους πινόμενος, ἐπέχει καλῶς τὰς ἀπὸ ῥήξεως αἱμορραγίας. τούτοις μὲν οὖν καὶ τοῖς ὁμοίοις τούτων δεῖ κεχρῆσθαι πρὸς τὴν τοῦ αἵματος ἀναφορὰν ἐπιτηδείοις. ἔστι δὲ κάλλιστον, πρὸ τῆς ἀναγωγῆς τοῦ αἵματος, καὶ μετὰ τὴν ἀναγωγήν, ἐπιδίδοσθαι αὐτῷ μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις, καὶ τότε μάλιστα, ἐφ' ὧν κατεπείγει συνεχῶς ἐνοχλοῦσα ἡ τοῦ αἵματος ἀναγωγή. Περὶ τῶν ἔξωθεν προσφερομένων. Ἐπιβαλλέσθωσαν δὲ καὶ ἔξωθεν πρὸς τὸν θώρακα καὶ ἐπιβροχαὶ δι' ἐρίων, ἢ ῥοδίνου, ἢ μη-

-λίνου, ἢ μυρσίνου, μετ' ὄξους ὀλίγου, ἢ οἴνου αὐστηροῦ, μὴ πάνυ παλαιοῦ. ἀπαστείσθω-
σαν δὲ συνεχέστερον. ἐπικείμεναι γὰρ ἐπιμόνως, οὐ δύνανται μὴ ἀναθερμαίνε-
σθαι, καὶ πάλιν διὰ τούτου κίνησιν, καὶ ἐρεθισμόν τινα τοῦ αἵματος ἐπιγίνεσθαι, διὰ
τοῦτο ἀπαστεῖσθαι δεῖ. Περὶ φαρμάκων. Παυσαμένης δὲ τῆς τοῦ αἵματος
ἀναγωγῆς, ὀδύνης δὲ προσούσης ἐπὶ τὸν θώρακα, οὐδὲν ἄτοπον τὴν παρηγορεῖν
ἅμα καὶ ὑποξηραίνειν δυναμένων φαρμάκων προσφέρειν, μάλιστα δὲ εἰς τὰς τοιαύ-
τας διαθέσεις, ὅσα διὰ τὴν μεταλλικὴν καὶ ὄξους ἔχει τὴν σκευασίαν, οἷά ἐστιν ἥ τε
ἀμβροσία, ἣν καὶ συνεχῶς κατασκευάζειν εἰώθαμεν, καὶ ἡ διὰ ἰτεῶν, καὶ ἡ βαρβά-
ρα. πρὸς δὲ τὰ ἁπαλώτερα τῶν σωμάτων, καὶ μὴ δυνάμενα φέρειν τὰ σκληρὰ τῶν
φαρμάκων, καὶ ἡ φοινικίνη μετὰ κηροῦ ὀλίγου, καὶ ῥοδίνου, καὶ ὄξους ἀναλυομένη, καὶ
ἡ μνασαίου. καὶ αὐτὰ δὲ τὰ προειρημένα φάρμακα, ἥ τε βαρβάρα καὶ ἡ διὰ τῶν ἰτεῶν,
εἴπερ ἀναλυθεῖεν καλῶς καὶ γένοιντο κηρωταί, προσηνῆ γε ἂν οὕτω καὶ ἐπιτήδεια πά-
νυ πρὸς τὰ ἁπαλώτερα καὶ ἀσθενέστερα τῶν σωμάτων ἔσονται βοηθήματα. Περὶ συν-
θέτων βοηθημάτων διὰ στόματος, πρὸς τὰς ἀπὸ ῥήξεως αἱμορραγίας. Εἰ δὲ συμ-
βῇ καὶ ὀδύνην εἶναι, καὶ τὴν τοῦ αἵματος ἀναγωγὴν μὴ παύσασθαι, κέχρησο καὶ συν-
θέτοις βοηθήμασι τοῖς δυναμένοις καὶ πρὸς αἱμορραγίαν ἁρμόσαι, καὶ τὴν ὀδύ-
νην πραΰναι, ἀγρυπνίαν τε παῦσαι, καὶ γαστέρα φερομένην ἐπὶ πλέον ἐπισχεῖν.
διὰ τοῦτο γὰρ καὶ τὰ πολυσύνθετα τῶν βοηθημάτων εὕρηται τοῖς παλαιοῖς, ὥστε μὴ
δύνασθαι πρὸς τὰ ἐπιγινόμενα διάφορα συμπτώματα ἄλλοτε ἄλλο ἐφαρμόζειν καὶ
ἡμᾶς βοήθημα. ἔχει δὲ αὐτῶν ἡ σύνθεσις οὕτω, λιβάνου ℥ α', κόψας, σήσας, καὶ χνοώδη
ποιήσας, δίδου κοχλιάριον α' μετὰ ὀξυκράτου, ἢ εἰς ἀφέψημα σχίνου, ἢ μύρτου, ἢ φα-
κοῦ, ἢ χυλοῦ ῥοιᾶς. Ἄλλο. Τῆς σαμίας ∠ ιη', τραγακάνθης ∠ ιδ', ἀμύλου ∠ ιη',
κόμμεως ∠ ιβ', ὀπίου ∠ α', χυλοῦ ἀρνογλώσσου ἢ πολυγόνου, ἀπυρέτοις διὰ ὀξυ-
κράτου. ἔστι δὲ ὁ τροχίσκος οὐ μόνον πρὸς αἵματος ἀναγωγήν, ἀλλὰ καὶ ἐφ' ὧν ἡ ὀδύ-
νη σφοδρά ἐστι περὶ τὸν θώρακα, καὶ ἡ γαστὴρ ἐπὶ πλέον φέρεται. καὶ εἰς ἄλλα δὲ πολ-
λὰ ποιεῖ καλῶς. Ἄλλος τροχίσκος πρὸς αἵματος ἀναγωγήν. Λημνίας σφρα-
γῖδος, λιβάνου, ἀμύλου, γῆς ἀστέρος, κοραλλίου, κόμμεως, στυπτηρίας σχιστῆς ἀνὰ ∠ δ',
συμφύτου, ἀκακίας πυρρᾶς ἀνὰ ∠ γ', ἐν ἄλλῳ ℥ γ', χυλῷ πράσου ἀναλάμβανε,
ποιῶν τροχίσκους ἀνὰ ℈ γ', καὶ δίδου τοῖς κάμνουσιν, ἀποβλέπων μὴ μόνον πρὸς
τὸ πάθος, ἀλλὰ καὶ τὴν δύναμιν. ἀνάλυε δὲ τὸν τροχίσκον, ἢ εἰς φοῦσκαν, ἢ εἰς ἀπόζε-
μα συμφύτου, ἢ βάτου. αἱμοστατικὸν πάνυ διὰ πείρας ἐστί, καὶ δεῖ θαρροῦντας κε-
χρῆσθαι αὐτῷ πρὸς τὰς ἐπιπεπλεγμένας διαθέσεις. Ἄλλο πάνυ καλόν. Κόμμεως,
ἀκακίας ἀνὰ ℥ α', στυπτηρίας ℥ η', ἀποζέματι κυδωνίων ἀναλάμβανε. ποίει κατα-
πότια, καὶ δίδου κρατεῖν ὑπὸ τὴν γλῶτταν. τοῦτο μάλιστα ποιεῖ πρὸς τοὺς ἐκ φά-
ρυγγος καὶ τῆς τραχείας ἀρτηρίας ἀνάγοντας. εἰ δὲ δοίης τοῦτο λειωθέν, καὶ πρὸς τοὺς
ἐκ θώρακος καὶ πνεύμονος, οὐδὲν ἧττον ὠφελεῖν δύναται. Περὶ τῆς κατὰ δια-
βρῶσιν ἀναγωγῆς. Εἰ δὲ συμβῇ κατὰ διάβρωσιν γίνεσθαι τὴν τοῦ αἵματος ἀναγω-
γὴν ἀφ' οἵων δήποτε μορίων, ἢ τῶν περὶ τὸν πνεύμονα, ἢ τὸν θώρακα, ἢ τὸν φάρυγ-
γα, οὐκέτι δεῖ τοῖς στύφουσι πάνυ ἢ ὀξώδεσι φαρμάκοις ἢ ἐδέσμασιν ἰᾶσθαι, ἀλλὰ
μᾶλλον τοῖς ἐπικιρνᾶν καὶ μεταβάλλειν, καὶ ἀλλοιοῦν τὸ δριμὺ δυναμένοις τοῦ τὴν δια-
βρῶσιν ἐργασαμένου χυμοῦ. φεύγειν δὲ δεῖ τὴν φλεβοτομίαν. ὡς ἐπὶ τὸ πολὺ γὰρ ἀ-

ρήσεις

ρήσεις τῶν οὕτω κατὰ διάβρωσιν ἀναδιδόντων τὸ σῶμα λεπτὸν καὶ κατάξηρον, καὶ τὴν κατασκευὴν τοῦ σώματος σομφώδη καὶ ἐπιτηδείαν εἶναι πρὸς τὰ πάθη ταῦτα, καὶ εἰς φθισικὴν μεταπεσεῖν διάθεσιν. Περὶ τροφῆς. Τρέφειν δὲ δεῖ τούτους μᾶλλον τῇ πτισσάνῃ, ὥστε καὶ τοὺς κόκκους ἔχειν, ὁμοίως δὲ καὶ τὸν ἄλικα μηδὲν ἔχοντα ἢ ἁλμυρὸν, ἢ ὀξῶδες, ἀλλὰ μηδεμιᾶς ἄλλης λεπτομεροῦς ποιότητος, ἀλλὰ τοὐναντίον ἐχέτω ὅσαπερ ἐμπλαστικώτερον αὐτὸν ποιεῖν δύνανται, οἷον, ἀμύλου σιτίνου, ἢ μαλάχης. εἰ δὲ μὴ πυρέττοιεν, καὶ γάλακτος, καὶ τραγακάνθης. καὶ τῶν λαχάνων ἐσθιέτωσαν ὅσα ἐμψύχειν καὶ ὑγραίνειν πέφυκεν, οἷον, τὸ ἴντυβον, τὸ τρώξιμον, τὴν θριδακίνην, καὶ τὴν μαλάχην. μετὰ δὲ τὴν ἑβδόμην ἡμέραν ἐπὶ τῶν ἐχόντων ἀσθενῆ τὴν δύναμιν, καὶ τῶν ὀρνέων προσφέρειν ἐκτὸς ἄλλων, καὶ μάλιστα τῶν κατοικιδίων τὰ στήθη. σπάνιον γὰρ μὴ καὶ θερμασίαν ἐπιγενέσθαι τοῖς κατὰ διάβρωσιν ἀναπτύουσιν αἷμα, καὶ μάλιστα τοῖς διὰ λύπην, ἢ φροντίδας τινὰς, ἢ ἀσιτίαν, καὶ κόπον πλείονα, ἢ ἀγρυπνίαν, ἢ κατάρρουν, ἀπὸ λεπτοῦ καὶ δριμέος τὴν ἀρχὴν ἐσχηκόσι τοῦ ῥεύματος. εἰ γὰρ εἴη τι τούτων προηγησάμενον, οὐ μόνον ὄρνιθες, ἀλλὰ καὶ βούλβιον καὶ στέρνιον τούτοις ἐπιτήδειον, καὶ οἱ σκληρόσαρκοι ἰχθύες καὶ ὁ ἐξ αὐτῶν ἰσικός· ὁμοίως καὶ οἱ ἀστακοὶ δὶς ἑψηθέντες ἐν ἄλλῳ καὶ ἄλλῳ ὕδατι, καὶ χοίρειοι πόδες ἑψηθέντες, καὶ πάντα ἁπλῶς παχύνειν καὶ ἀμβλύνειν τὸ δριμὺ δυνάμενα τοῦ ἐπιρρέοντος εἰς τὸν θώρακα καὶ πνεύμονα χυμοῦ. διὰ τοῦτο οὖν τούτοις καὶ ὀπώρας δοτέον τὰς ἐμψύχειν καὶ ὑγραίνειν δυναμένας, οἷον, πεπόνων τὴν σάρκα, καὶ σταφυλῆς τῆς κρεμαστῆς, καὶ μήλων τῶν ἀστύφων. τῶν δὲ σικύων παντελῶς ἀπεχέσθωσαν.

Τί δεῖ ποιεῖν ἐπὶ τῶν διὰ κατάρρουν δριμέος χυμοῦ αἷμα ἀναπτυσάντων.

Προνοητέον δὲ καὶ τῆς κεφαλῆς, μάλιστα ἐφ' ὧν τὸ ἐπιρρέον δριμὺ αἴτιον γέγονε τῆς τοῦ αἵματος ἀναγωγῆς. ἀμήχανον γὰρ τὴν βῆχα παύσασθαι, ἢ τὸ μὴ διαβιβρώσκεσθαι τὰ πεπονθότα μόρια, εἰ μή γε τὸ ἐκ τῆς κεφαλῆς ἐπιρρέον δριμὺ καὶ λεπτὸν παύσεται. γενήσεται δὲ τοῦτο καλῶς, ἐὰν τῇ κεφαλῇ τὰ ψύχειν καὶ ὑγραίνειν δυνάμενα προσενέγκωμεν. οὕτω γὰρ παύεται τὸ θερμὸν αὐτῆς * τὸ δύνασθαι καὶ τὰ δριμέα περιττώματα, μὴ ῥευματίζειν τὰ ὑποκείμενα. οὕτω γὰρ ἂν αὐτῆς ἐχούσης ψυχρὰν δυσκρασίαν, ἀδύνατον οὕτω δριμὺ καὶ θερμὸν ἐπιρρεῦσαι, καὶ ξῦσαί τι τῶν ἀναπνευστικῶν ἀγγείων ἢ μορίων. ἐπιβαλλέσθω τοίνυν τούτοις ἐπὶ τῆς κεφαλῆς τό, τε ῥόδινον καθ' ἑαυτὸ, καὶ μετὰ ψυχροῦ ὕδατος ὀλίγου, πρὸς τὸ διαδῦναι τὸ ῥόδινον εἰς τὸ βάθος. παύσεται δὲ τὴν θερμασίαν τῶν ἡκουσῶν ἐκ τῶν κάτωθεν, καὶ ἐπισπωμένην καὶ ἐπιπέμπουσαν τῷ γαργαρεῶνι, καὶ τῷ θώρακι, καὶ πνεύμονι. χρὴ δὲ καὶ ἐπὶ λουτρὸν ἄγειν αὐτοὺς, ὅτε δεῖ οὕτω πράττειν, * ἐπιχέειν τε καὶ τοῦ ῥοδίνου ἢ ὀξυροδίνου ψυχρόν. καὶ ἐν τῇ δεξαμενῇ δὲ, κἂν μάλιστα τύχῃ αὐτὴν εἶναι θερμοτέραν, ψυχρὸν ὕδωρ πρὸς ὀλίγον τῆς κρατούσης δυσκρασίας ἐπιβάλλειν τῇ κεφαλῇ συμμέτρως. ἀλλὰ τοῦτό γε δεῖ πράττειν ἐφ' ὧν ἐκ τῆς κεφαλῆς ἐπινοήσομεν τὸ αἷμα καταφέρεσθαι, καὶ ἐφ' ὧν διὰ δριμεῖαν χυμὸν ἀναβιβρώσκοντα γέγονεν ἐκ τῶν οὐλῶν ἡ τοῦ αἵματος ἔκπτυσις. δεῖ δὲ τούτους αὐτοὺς ἐπιτρέπειν διακρατεῖν ῥόδινον, ἢ σχίνινον, ἢ ὀξύκρατον, καὶ τοῖς διακλύσμασι κεχρῆσθαι τοῖς ἀπὸ τοῦ ὑοσκυάμου, ῥίζης τε στρύχνου, ἢ ἀειζώου, ἢ ῥόδων, ἢ ὑδροροσάτου, καὶ τοῖς ὁμοίοις τούτων. ἐγὼ μὲν οὖν οὕτως οἶμαι ἰᾶσθαι σπουδάζειν τοὺς ἐσχηκότας κατάρρουν ἐπὶ θερμῇ δυσκρασίᾳ, καὶ

ἀναπτύσαντας αἷμα, διὰ τὸ εἶναι δριμὺ καὶ ἀναβρωτικὸν τὸ ἐκ τοῦ θώρακος ὑγρόν. θαυμάζω δὲ πῶς ὁ θειότατος Γαληνός, οὐδενὶ τῶν ὑγραίνειν καὶ ψύχειν δυναμένων ἐχρήσατο, ἀλλὰ τοὐναντίον εὐθὺς ἐξ ἀρχῆς, τοῖς ξηραίνειν τέ καὶ θερμαίνειν δυναμένοις· καίτοιγε τὴν αἰτίαν τῆς κατὰ διάβρωσιν ἀναγωγῆς ἀκριβῶς ἐπιστάμενος. εἰ οὖν ταῦτα οὕτως ἔχει, ἆρά γε οὐκ ἦν κάλλιον, πρὸς τὴν ποιοῦσαν αἰτίαν ἐνστῆναι; καὶ μᾶλλον τοῖς ὑγραίνειν τέ καὶ ψύχειν δυναμένοις εὐθὺς ἐξ ἀρχῆς χρήσασθαι; εἶτα οὕτως, εἰ καὶ πλῆθος ὑπονοήσει κακοχυμίας εἶναι, κενῶσαι διὰ τῶν τὰ δριμέα καὶ χολώδη περιττώματα καθαίρειν δυναμένων; καὶ μὴ δι' ἀκράτου ἔτι καὶ δριμυτέραν ἀποτελέσαι τὴν κεφαλήν, καὶ τὰ περὶ τὸν θώρακα, τῇ τε θηριακῇ, καὶ τῇ θαψίᾳ, καὶ τῶν περιστερῶν κεχρημένον τῇ κόπρῳ, καὶ ξηροῖς λουτροῖς, ὡς μήτε τὸ βραχύτατον ἔλαιον συγχωρεῖν ἐπιβάλλεσθαι ἐν τῇ κεφαλῇ, μήτε μὴν ἐν τῷ σώματι; πάντα γὰρ ταῦτα τὴν δριμεῖαν ἐπαύξει ποιότητα, καὶ ἐπιτείνουσι μᾶλλον τὴν διάβρωσιν, οὐ θεραπεύουσι. τά τε γὰρ ἐπικιρνᾶν καὶ πραΰνειν δυνάμενα, καὶ τὸ ἄπειρον κωλῦσαι τοῦ δάκνειν καὶ διαβιβρώσκειν τὰ μόρια, καὶ τὴν βῆχα πραΰνειν δυνήσεται, καὶ τὸ πάνυ εὔκρατον διαφυλάξαι. σώματι δὲ τί τούτου κάλλιον; εὐκράτου γὰρ γινομένου τοῦ ὅλου, καὶ τοῦ ἐπιρρέοντος ἀποβάλλοντος τὸ δριμύ, καὶ τοῖς τάχιστα φθάσασι συμβαίνει διάβρωσιν, τοῖς ὑποξηραίνουσι, καὶ εἰς οὐλὴν ἄγουσι δυνατόν ἐστι χρήσασθαι. ἐγὼ γοῦν οἶδα πολλάκις ἄνευ τῆς θηριακῆς καὶ τῶν ἄλλων τῶν πολυτελῶν ἀντιδότων ἰασάμενος πολλούς, τοῖς ἀδήκτοις χρησάμενος φαρμάκοις, καὶ μάλιστα τῷ λίθῳ τῷ αἱματίτῃ. ἐχρησάμην δὲ αὐτῷ ἐπὶ τῶν πλέον αἷμα ἀναγόντων, μετὰ χυλοῦ * ῥοὸς καὶ κοκκίων, ἢ μετὰ χυλοῦ πολυγόνου· ἐφ' ὧν δὲ μὴ πολὺ τὸ κενούμενον ἦν, καὶ μεθ' ὕδατος μόνου χλιαροῦ. λειοῦσθαι δὲ αὐτὸν πάνυ δεῖ, ὥστε χνοώδη γίνεσθαι καὶ ἀερώδη, καὶ πνεύματι παραπλήσιον εἶναι. ἐδίδουν δὲ ἐξ αὐτοῦ γρ. η', καὶ μικρῷ πλέον, ἢ ἔλαττον. ἐχρησάμην δὲ αὐτῷ καὶ ἐπὶ τῶν ἀρξαμένων ἀναπτύειν πῦον, καὶ θαυμαστόν που πῶς ἀνεξήρανε τὸ ἕλκος, καὶ ἐθεράπευσεν, ὥστε ἔτι μὴ ἐκπτύεσθαι τὸ πῦον, μήτε ὑπὸ βηχὸς ὀχλεῖσθαι τὸν κάμνοντα. ἐθεασάμην δὲ καὶ ἄλλον τινὰ τῶν ὑπομεινάντων διάβρωσιν, οὐ μόνον μόριά τινα ἐκ τῶν περὶ τὸν φάρυγγα, ἀλλὰ καὶ τῆς τραχείας ἀρτηρίας ἀναπτύοντα, καὶ θαυμαστόν πως πῶς καὶ ἐπὶ τούτου μεγίστην ἐνέργειαν ἔδειξεν ὁ λίθος οὗτος. ἐθεραπεύθη γὰρ καὶ οὗτος, μὴ πάνυ καὶ προσδοκησάντων ἡμῶν. προσεῖχον δὲ αὐτῷ πίνειν τὸ βοήθημα συνεχέστερον, διὰ τὸ κάλλιον ἀναδίδοσθαι· ὥστε πολλάκις πεπωκὼς αὐτό, ἀπεστρέφετο λοιπὸν τὴν δόσιν αὐτοῦ. ἐπενόησα δὲ τρόπον τοιοῦτον, ποιήσας πάνυ χνοῶδες τὸ ξηρίον γενέσθαι, εἰς ῥάκος λινοῦν ἐνέβαλον αὐτό, καὶ περισφίγξας αὐτὸ πάντοθεν ἀκριβῶς, ἀφῆκα κρεμασθῆναι ἐν ποτηρίῳ μικρὸν ἔχοντι οἶνον εὐώδη. ἐποίουν δὲ τοῦτο ἀπὸ ἑσπέρας διὰ πάσης τῆς νυκτός. διεδίδου δὲ τὸ λεπτομερές τε καὶ ἀερῶδες σῶμα, ὡς μόνης αἰσθάνεσθαι τὸν πίνοντα τῆς τοῦ οἴνου ποιότητος, ἐκ τούτου πίνειν αὐτὸν ἐπέτρεπον, ὅσον ἂν ἡδέως εἶχεν ἕωθεν. καὶ δὴ οὕτω ἔπραττε, καὶ συνεχῶς πίνων ὑγίανεν. ἀπαλλαγεὶς δὲ τούτου, προφυλακῆς χάριν ἔμενεν αὐτὸ πράττων καὶ πίνων, ἕως οὗ καὶ τοῦ σώματος ἀνατραφέντος καλῶς, τὰ συνήθη πράττων, ἤσθετο δυνατὸς εἶναι. τοσαῦτα περὶ τοῦ λίθου τοῦ αἱματίτου θεωρηθέντα μοι καὶ πειραθέντα, ἀνεγραψάμην, καὶ ὅτι οὐ δεῖ τὰ θερμαίνειν ἢ ξηραίνειν δυνάμενα, καὶ δριμύτερα τῶν βοηθημάτων προσφέρειν τοῖς ἀπὸ κα-

τάρρου

κατάρρου διὰ θερμὴν δυσκρασίαν ἀναπτύουσιν αἷμα ἢ πῦον, ἀλλὰ μᾶλλον τοῖς ἀδήλως δυναμένοις ἰᾶσθαι φαρμάκοις κεχρῆσθαι. εἰ δὲ μὴ εὐποροίη τις τοῦ λίθου τοῦ αἱματίτου, κεχρήσθω τῇ ἀρμενίᾳ βώλῳ, καλλίστῃ οὔσῃ, ἢ τῇ σαμίᾳ, ἢ τῇ λημνίᾳ σφραγῖδι, ἐὰν ᾖ γνησία. οἱ γὰρ νῦν πηλὸν φυρῶντες, εἶτα τροχίσκους ἀναπλάττοντες, ὡς λημνίαν σφραγίδα, παρέχουσι τοῖς ἰατροῖς. οἱ δὲ ἀποτυγχάνοντες, ὡς ψευσαμένων περὶ αὐτὴν καταμέμφονται τῶν ἀρχαίων. εἰσὶ δὲ καὶ ἄλλα βοηθήματα ἁπλᾶ καὶ σύνθετα, οἷς ἂν δεῖ σπουδάζειν κεχρῆσθαι τοῖς ξηρὰν καὶ δριμεῖαν ἔχουσι τὴν ποιότητα. εἰ γὰρ καὶ μὴ τοσοῦτον ἰσχύουσι βοηθεῖν ὅσον ὁ αἱματίτης, ὅμως οὐ συγχωροῦσι τὴν διάβρωσιν ἔτι νέμεσθαι. παρέχεις δὲ καὶ τῷ κάμνοντι πλείονα δυνηθῆναι βιῶσαι χρόνον, μὴ πάνυ καταπονουμένῳ ὑπὸ τοῦ πάθους. οὐ μικρὸν δὲ καὶ τοῦτό ἐστιν ἀγαθόν, τὸ εὐτονίαν τινὰ περιποιῆσαι τῷ κάμνοντι, καὶ τὸ μηδὲν χεῖρον παθεῖν. τί οὖν ἄν τις εἴποι, πότε δεῖ κεχρῆσθαι τῷ διὰ τῶν ἐχιδνῶν φαρμάκῳ; φαμὲν οὖν ὅτι δῆλόν ἐστιν ἐφ' ὧν διὰ ψυχρὰν δυσκρασίαν ὁ κατάρρους ἐστί, καὶ τὸ ἐπιρρέον ψυχρόν τε καὶ φλεγματῶδες, καὶ μηδὲν ἁλμυρὸν φαίνεται, ἀλλὰ μηδὲ δι' ἀλυκὴν ποιότητα ἐπικρατοῦσαν. ἐπὶ γὰρ τούτων οὐδὲν ἄτοπόν ἐστι καὶ τῇ θηριακῇ κεχρῆσθαι, προφυλακῆς χάριν, καὶ ἔξωθεν τοῖς ἀμύσσειν καὶ ξηραίνειν τὴν ἐπιφάνειαν δυναμένοις, ὥστε μὴ ῥευματιζόμενα τὰ μόρια, καὶ βῆχας ἰσχυρὰς φέροντα, ἔσθ' ὅτε καὶ ῥῆξιν ἐργάσασθαι. ἐγὼ γοῦν οἶδά τινα τῶν τοιούτων ῥευματιζομένων τὸν θώρακα, καὶ διὰ ψυχρὰν δυσκρασίαν ἐπιτρέψας, καὶ διὰ πυρῷ καυστῆρι χρήσασθαι κατὰ τῆς κεφαλῆς. ὃ δὴ τοῦτο πράξαντος ἑτοίμως τοῦ κάμνοντος, θαυμαστὸν ὅπως πάντα ἅμα ἐπαύσατο, καὶ τὸ πλῆθος τὸ ἐπιρρέον τὸ ὑγρόν, καὶ ἡ βήξ. τοῦ λοιποῦ δὲ ἔμεινεν ἀρευμάτιστον ἔχων τὸν θώρακα. τούτοις εἰσὶ τὰ αὐτοφυῆ τῶν θερμῶν ὑδάτων ὠφελιμώτατα, ὥσπερ τοῖς διὰ θερμὴν δυσκρασίαν ὑπομείνασι τὸν κατάρρουν, πολέμια, καὶ πάντα, ὡς προείρηται, τὰ θερμαίνειν δυνάμενα καὶ ξηραίνειν. προφυλαττέσθωσαν δὲ πάντες οἱ ἀναπτύσαντες αἷμα, ὥστε μὴ πάλιν τοῖς αὐτοῖς περιπεσεῖν, τὸ βαδίζειν ἐπὶ πλέον, καὶ γυμνάζειν τὸ σῶμα, τό, τε ἀναβοᾶν, καὶ τὸ ἐκχολοῦσθαι, καὶ τὸ ἀφροδισίοις πλείοσι κεχρῆσθαι, καὶ τὸ ἐσθίειν ἔχινον, καὶ τὸν καλούμενον * μακεδόνιον, ἢ τάριχον, ἢ παλαιὸν τυρόν. ταῦτα γὰρ μάλιστα τοῖς κατὰ διάβρωσιν ἀναπτύσασιν αἷμα, πολέμια· ὥσπερ γε πάλιν ἡ πλησμονὴ καὶ ἡ ἀπεψία, καὶ ὁ ἄκρατος οἶνος, καὶ ὅσα φυσώδη τῶν ἐδεσμάτων εἰσί, καὶ τὸ θυμοῦσθαι, καὶ βάρη ταῖς χερσὶν αἴρειν, καὶ τὸ ἐπέχεσθαι τὴν γαστέρα, ἢ τὰς συνήθεις τοῦ αἵματος κενώσεις ἅπασι τοῖς διὰ ῥῆξιν ἐσχηκόσι τὴν ἀναγωγὴν τοῦ αἵματος, πολέμια. τὴν δὲ ἡλίωσιν, καὶ τὸ θερμῷ οἰκήματι προσομιλεῖν, ἢ θερμῷ ὕδατι βαπτίζειν ἐπὶ πλέον τὴν κεφαλήν, ἢ ἀλείφεσθαι, ἢ σκέπειν αὐτήν, ἐκεῖνοι μάλιστα φυλαττέσθωσαν, οἷς ἂν ἐκ τῶν ῥινῶν ἢ διὰ τῆς ὑπερῴας αἷμα πολὺ εἴωθε φέρεσθαι. ὡσαύτως δὲ καὶ οἱ διὰ ἀναστόμωσιν, φυλαττέσθωσαν τὸ βαλανεῖον μᾶλλον τὸ συνεχές, καὶ μέθην, καὶ τὰ θερμότερα τῶν ἐδεσμάτων. πάντες δὲ τῷ γάλακτι κατακεχρήσθωσαν, καὶ τῷ ἁπαλῷ, καὶ νέῳ τυρῷ, καὶ μάλιστα τῷ αἰγείῳ ἢ βοείῳ. οὔτε γὰρ φάρμακον, ἢ ἔδεσμα, τι ἄλλο τι οὕτω χρήσιμόν ἐστιν αὐτοῖς ἢ ὠφέλιμον, ὡς γάλα. καὶ ὅσοι ἐξ ἀρχῆς ἔμειναν αὐτῷ μόνῳ κεχρημένοι ἐπὶ πλείονα χρόνον, πάντες τελείως ὑγίαναν. οἶδα δέ τινα ὅστις ὅλον ἐνιαυτὸν διετέ-

λεσε πίνων αὐτὸ καὶ ἐσθίων, ποτὲ μὲν συνεψῶν μετά τινος τῶν σιτωδῶν, ἢ σεμιδάλεως, ἢ ἰτρίου, ἢ ἄλικος, ἢ φακῆς, ἢ ζύμου. καὶ οὕτω ποιῶν, ἀποσχόμενός τε οἴνου, ἀπηλλάγη τοῦ καὶ πῦον ἀναπτύσαι, καὶ περιπεσεῖν μετὰ τοῦτο καὶ φθίσει. τοσαῦτα καὶ περὶ τῆς τοῦ αἵματος ἀναγωγῆς εἰρήσθω ἡμῖν, καὶ ἀρκούντως ἔχειν οἶμαι.

β' Περὶ ἐμπυηματικῶν.

Ἐπειδὴ δὲ μετὰ τὴν τοῦ αἵματος ἀναφορὰν εἴωθεν ὡς ἐπὶ τὸ πολὺ, κατὰ τὸν ἱπποκράτειον λόγον, ἡ τοῦ πύου πτύσις ἐπακολουθεῖν, διὰ μέσης συστάσεως φλεγμονῆς, ἀναγκαῖον ἡμᾶς ἑπομένους τῇ συνεχείᾳ τοῦ λόγου, διαλαβεῖν περί τε τῆς ἐν τῷ πνεύμονι καὶ τοῖς ἀναπνευστικοῖς μορίοις συνισταμένης φλεγμονῆς. Σημεῖα τοῦ μεταβάλλεσθαι τὴν φλεγμονὴν εἰς πῦον. Ἅπαντα καθολικῶς τὰ σημεῖα τῆς ἐκπυήσεως ὑπάρχει τοιαῦτα, πυρετὸς σφοδρότερος τοῦ πρόσθεν, ῥῖγος ἄλογον, καὶ βάρους συναίσθησις μᾶλλον, ἢ περ ὀδύνης πολλῆς. ὅταν μὲν σοι ταῦτα φανῇ, γίνωσκε τὴν φύσιν μεταβάλλειν τὴν ὑποκειμένην ὕλην εἰς πύου γένεσιν. καὶ εἰ μὲν ἐρρωμένη τετύχηκεν οὖσα ἡ ποιοῦσα δύναμις, καὶ τὸ πῦον εὑρεθήσεται * μὴ πάνυ γλίσχρον, τὸ τηνικαῦτα τὴν ῥῆξιν ἔσω τοῦ θώρακος γίνεσθαι περὶ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν. εἰ δὲ καὶ παχύτερον εὑρεθείη τὸ πῦον πορρωτέρω τῶν εἰρημένων ἡμερῶν, καὶ ἡ τοῦ κάμνοντος δύναμις ἀσθενεστέρα τετύχηκε, καὶ περὶ τὴν μ' ἢ ξ', καὶ μακροτέρω δεῖ προσδοκᾶσθαι τὴν ῥῆξιν γενέσθαι. καὶ ἁπλῶς πρός τε τὸ ποσὸν καὶ ποιὸν τῆς ὕλης, καὶ τὴν δύναμιν τοῦ κάμνοντος, προσδέχου τὴν προθεσμίαν τῆς ῥήξεως τοῦ ἀποστήματος γινομένην. καὶ εἰ μὲν τὸ ἐμπεσὸν ἔνδον τοῦ θώρακος πῦον ἐγχρονίσει μένον ἔνδον, καὶ μὴ ἀνακαθαρθείη ἄχρι τῶν μ' ἡμερῶν, ὡς φησιν ὁ θειότατος ἱπποκράτης, εἰς φθίσιν ἔρχεται τοῦ πνεύμονος αὖθις προτέρου τῇ τοῦ πύου δριμύτητι ἑλκωμένου καὶ διασπωμένου. διαγνωστέον δὲ καὶ τὸν πεπονθότα τόπον, καὶ ἐρωτώμενον τὸν κάμνοντα λέγειν, εἰ τύχοι καὶ τὸ δεξιὸν μέρος τοῦ θώρακος εἶναι θερμότερον, μᾶλλον δὲ βάρους συναίσθησιν ἔχειν, ὡς κρεμαμένου τινὸς ἐξ αὐτοῦ, ὁπηνίκα περὶ τὸ ἕτερον μέρος ἀνακλιθείη. Περὶ διαίτης. Δίαιτα τοίνυν ἁρμόζει πᾶσι τοῖς ἀναπτύουσι πῦον, ποικίλη πρὸς τὸ διάφορον πῦον τοῦ ἀναπτυομένου, καὶ πρὸς τὴν παχύτητα, καὶ λεπτότητα αὐτοῦ, καὶ τὸν τρόπον τῆς ῥήξεως, καὶ πρὸς τὴν φύσιν τοῦ περιέχοντος αὐτὴν μορίου, καὶ τὴν δύναμιν τοῦ κάμνοντος, ἄλλην ἄλλως μετασχηματιζομένην, * ἐὰν χολῶδες εἴη τὸ ἀναπτυόμενον. τοῖς μὲν οὖν χολῶδες πῦον ἀναπτύουσι, ἐπιτήδειός ἐστι καὶ ὁ χυλὸς τῆς πτισάνης ἐπιρροφούμενος, καὶ ὁ χυλὸς τοῦ βρώμου. εἰ δὲ καὶ ἀσθενὴς, καὶ ὁ χυλὸς τοῦ ἄλικος, ἢ τίφης, ἢ ζέας. εἰ δὲ καὶ μηδὲν εἴη τοιοῦτον, μηδὲ ἡ γαστὴρ φέροιτο, καὶ ὁ χυλὸς τῶν ἀμυγδάλων, ἢ καθ' ἑαυτὸν, ἢ μετά τινος τῶν εἰρημένων χυλῶν μιγνύμενος. τῆς δὲ γαστρὸς φερομένης, μηδὲν ὅλως ἐπιδιδόσθω τῶν ἐπὶ πλέον αὐτὴν προτρέπειν δυναμένων, μηδὲ ποτὸν ἢ ἔδεσμα τοιοῦτον. ἐπὶ γὰρ τῶν τοιούτων διαθέσεων χαλεπὸν τὴν γαστέρα ῥευματίζεσθαι. διὸ καὶ ὁ χυλὸς τῆς πτισάνης, πλέον τῶν ἀμυγδάλων, καὶ τὸ μελίκρατον, καὶ τὸ ζέμα τῆς γλυκυρρίζης, καὶ τῆς ἴρεως, καὶ τῆς τήλεως, καὶ τὸ ὀξύμελι πλέον πάντων ῥευματίζει. ἔχει γάρ τι καὶ ξυστικὸν τοῦ ἐντέρου. ἐπιδιδόναι γὰρ δεῖ μᾶλλον τοὺς ζωμοὺς εἰς

μοὺς εἰς εὔκρατον, ἢ τοῦ γλυκέος, ἢ σεμιδάλεως, ἐὰν μὴ πάνυ πυρέττοιεν. αἰσθόμενος δὲ ὅτι παχύτερον ἐγένετο τὸ ἀναπτυόμενον, καὶ τὸ χολῶδες ἀπέθετο, καὶ δυσανάγωγον ἤρξατο γίνεσθαι, τότε πάλιν συμφέρει μεταβαίνειν ἐπὶ τὸ ὑδαρὲς μελίκρατον, ἢ ἀπόμελι, παρέχων αὐτὸ κατ᾽ ὀλίγον καὶ μὴ ἀθρόως. οὕτω γὰρ ἀβλαβὴς ἔσται ἡ χρῆσις αὐτοῦ, καὶ ὠφελεῖν δυναμένη τὰ μέγιστα, καὶ πλέον, εἰ καὶ δυσῶδες εἴη καὶ ῥυπαρὸν τὸ ἀναπτυόμενον πῦον. εἰ δὲ τοιοῦτον εἶναι φαίνεται, τὸν τῆς πτισάνης χυλὸν ἀφεψηθέντα μετὰ φοινίκων λιπαρῶν. μὴ παρόντων δὲ τούτων, καὶ ἰσχάδας ὀλίγας συνεψεῖν. καὶ συναπορρύπτουσι καλῶς, καὶ εὐανάγωγον ποιοῦσι τὸ ὑγρόν, ἅμα τῷ καὶ πραΰνειν τὰ φλεγμαίνοντα τὸ ἕλκος. δῆλον δὲ ὅτι εἰς τὸ τρίτον τῆς πτισάνης ἕψημα συνεψεῖν δεῖ τοὺς φοίνικας, ἢ ἰσχάδας. κάλλιον δὲ εἰ καὶ μέλι βραχὺ προσπλέξεις. μέλλων δὲ ἐπιδιδόναι τὸν χυλόν, δίδου μᾶλλον αὐτὸν πρὸ τροφῆς. τὸ δὲ μελίκρατον ἐν παντὶ καιρῷ παρεχόμενον οὐδὲν βλάπτει τὸν πάσχοντα.

Ἐὰν ἀσθενὴς ἡ δύναμις εἴη, τί δεῖ ποιεῖν.

Πρόσεχε δὲ καὶ τῇ δυνάμει μάλιστα. συμβαίνει γὰρ διὰ τὴν ἀσθένειαν αὐτῆς, δυσανάγωγον τὸ ὑγρὸν γίνεσθαι, ἀτονούσης ἐκθλῖψαι τὰ ἐν τῷ θώρακι. φροντιστέον αὐτοὺς οὖν πλέον ἐμβαλόντας εἰς τὸν χυλὸν τῆς πτισάνης ἢ περιστεράν, ἢ πῶλον. παρέχε δὲ αὐτοῖς καὶ τοὺς διδύμους τῶν ἀλεκτρυόνων, ὡς μὴ συγχωρῆσαι καταβληθῆναι τὴν δύναμιν. ἀσθενοῦσα γὰρ καὶ τὰ πάνυ εὔπεπτα κάμνει διοικῆσαι καὶ κατεργάσασθαι καλῶς. διὰ δὲ τὸ εὔπεπτον, καὶ φθαρτικοὺς αὐτοὺς εἶναι γαστρός, ἔχειν δέ τι καὶ κακοστόμαχον, ὀπτοὺς δεῖ παρέχειν, ὥστε τὸ ὀρρῶδες αὐτῶν ἀπορρυῆναι. γίνεται δὲ τοῦτο καλῶς, ἐάν τις αὐτοὺς ὀπτουμένους βελόνῃ ἐκκεντήσῃ. οὕτω δὲ καὶ τοὺς ἐγκεφάλους τῶν μικρῶν χοίρων ὀπτοὺς παρέχειν ἐστὶ κάλλιον, ἄλλων ὀλίγων προσαπτομένων αὐτοῖς, ὅτι καὶ αὐτοὶ κακοστόμαχοί τε καὶ φθαρτικοὶ γαστρός. διὸ τοῖς ἠσθενηκόσι τὴν δύναμιν μόνοις αὐτοῖς παρέχειν δεῖ. καὶ ἔτι δὲ τὰ τῶν χοίρων ἄκρα, καὶ τῶν ὑῶν τοὺς πόδας, καὶ ἄλικα ἑφθὸν μετὰ ἀμυγδάλων, καὶ πιστακίων, καὶ σταφίδων, καὶ ὅσα ἄλλα καλῶς τρέφειν οἶδε τοὺς κάμνοντας. αὐξηθείσης δὲ τῆς δυνάμεως, αὖτις μεταβαίνειν δεῖ ἐπὶ τὸ πρόσφορον. εἰ δὲ χρονιώτερον εἴη τὸ πάθος καὶ ἄτροφον, ἄρξεται φανερῶς συντήκεσθαι τὸ πᾶν σῶμα, καὶ μηδὲ πολὺ πῦον ὁ θώραξ ἔχει, καὶ τὸ γάλα δοτέον αὐτοῖς μόνον, εἰ μὴ πυρέττοιεν σφοδρῶς. εἰ γὰρ ἐπιδοθείη πολλῆς οὔσης τῆς θερμασίας, οὐκέτι τρέφειν ἢ ὑγραίνειν δυνήσεται. νικᾶται γὰρ ὑπὸ τοῦ παρὰ φύσιν, καὶ εἰς ἀλλόκοτον καὶ φθαρτικὴν τρέπεται ποιότητα. μετριωτέρας οὖν γινομένης τῆς πυρώδους θερμασίας, οὕτως ἐπιδοτέον αὐτοῖς τὸ γάλα.

Ποῖον γάλα δεῖ προσφέρειν, καὶ πότε.

Εἰ μὲν διὰ καθάρσεως ἔτι χρῄζον φαίνοιτό σοι τὸ ἀναφερόμενον, καὶ οὐ μόνον ῥυπαρὸν καὶ δυσῶδες ὑπάρχον, πάντων τῶν ἄλλων προτιμᾶται τὸ ὄνειον. καὶ γὰρ εἰς ἅπαντα πλεονεκτεῖ καὶ τῷ καθαίρειν καλῶς. καὶ τὸ ἵππειον αὐτοῖς ἐπιδοτέον, τῆς ὄνου παραπλήσιον ὑπάρχον εἰς ἅπαντα. διὸ καὶ δυσπνοϊκοὺς ὠφεληθέντας ἐθεασάμην πολλάκις, αὐτοῦ δοθέντος εὐκαίρως. εὐανάγωγα γὰρ πάντα τὰ προσαπεπλεγμένα τοῖς βρόγχοις τοῦ πνεύμονος ἐργάζεται. πρόσκειται δὲ τὸ εὐκαίρως, ἵνα ἐπὶ τούτοις πυρετὸς μὴ παρενοχλῇ, μηδὲ κατὰ τὸν καιρὸν τοῦ παροξυσμοῦ δοθείη. εἰ δὲ μὴ βούλοιντο τῶν ζώων τούτων λαμβάνειν τὸ γάλα οἱ κάμνοντες, δοτέον αὐτοῖς κατὰ δευτέραν τάξιν τὸ βόειον, ἢ αἴγειον. εἰ γὰρ μὴ οὕτως τὸ καθαρτικὸν ἔχει τὸ γάλα τούτων, ἀλλ᾽ οὖν ἐν τῷ δύνασθαι τρέφειν ἔχει τι πλέον τῶν ἄλλων.

ὅπως δὲ μὴ φθείρῃ τὴν τῶν καμνόντων γαστέρα τὸ γάλα πινόμενον, κάλλιόν ἐστιν αὐτὸ ἑψεῖν ἐπ' ἀνθράκων. οὕτω γὰρ ἀφέλοιτο πολὺ τοῦ ὀῤῥῶδες ἡ ἕψησις, ὥστε καὶ ἐφεκτικὸν αὐτὸ μᾶλλον τῶν ἄλλων γενέσθαι γαστρός. εἰ δὲ καὶ κόχλακας ἐπεμβάλλοις ποταμίους, πυρώσας τε καὶ ἀποτινάξας, ὥστε μὴ κατέχειν κονίας, ἢ σιδήρια τὸν αὐτὸν τρόπον, ἔτι κάλλιον καὶ ὠφέλιμον τοῦτο ποιήσεις. ἐσθιέτωσαν δὲ ποικίλως αὐτό, ποτὲ μὲν μετὰ σεμιδάλεως, ἄλλοτε δὲ σὺν ἰτρίῳ, ἢ ὀρύζῃ, ἢ ἄλικι μετὰ πυῤῥῶν ᾠῶν. οὕτω γὰρ ἂν καὶ ἡ ὄρεξις φυλαχθήσεται. καὶ οὐ προσκορὴς ἔσται ἡ τοῦ γάλακτος χρῆσις πάντα δυναμένη. καὶ γὰρ καθᾶραι καὶ σαρκῶσαι τὸ ἕλκος, καὶ θρέψαι τὸ πᾶν σῶμα πλείω τῶν ἁπάντων δυνήσεται. Περὶ ἄρτων. Τὸν δὲ ἄρτον προσφερέσθωσαν τὸν κλιβανίτην θερμόν, εἰ ἔστιν ὑγρὸν πάνυ καὶ ὑδατῶδες τὸ ἀναπτυόμενον· εἰ δὲ δυσανάγωγον εἴη, καὶ εἰς γλυκὺν οἶνον, ἢ οἰνόμελι βρέχοντας· πυρετοῦ δὲ σφοδροῦ παρενοχλοῦντος, εἰς ὑδρόμηλον, ἢ οἰνόμελι. εἰ δὲ πρὸς τὸ γλυκὺ ἀνορέκτως ἔχοιεν οἱ κάμνοντες, καί τινα τῶν λεπτῶν οἴνων, ἢ σαρεφθῖνον, ἢ κνίδιον, ἢ σαβῖνον γνήσιον, ἢ ἀδριανὸν εἰς εὔκρατον, εἰ καὶ μάλιστα διψώδεις εἰσὶ καὶ κατάξηροι.

Περὶ λαχάνων. Τῶν δὲ λαχάνων αἱ μὲν ῥίζαι βληθεῖσαι καθᾶραι τε παχῦναι δυνήσονται τὸ πῦον. λαμβανέτωσαν δὲ τῶν πράσων εἰς οἶνον, εἶτα εἰς οἰνόμελι διέφθων γινομένων. λαμβανέτωσαν δὲ καὶ τὸ καλούμενον σιναπίδιον παρὰ τροφῆς. εἰ δὲ παχὺ φαίνοιτο τε πολύ, καλὸν μὲν ἀπέχεσθαι τῆς λαχανώδους τροφῆς πάσης, διὰ τὸ ὑγρὸν αὐτῆς καὶ περιττωματικόν. εἰ δὲ ἄρα ἡδέως προσφέροιντο, καὶ τῆς κράμβης διέφθου γινομένης, καὶ τὸν ἔλειον, ἀσπάραγον, καὶ μάλιστα τὸν ἄγριον· πλέον γάρ ἐστιν ὠφέλιμος. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, σφοδρότερον δὲ ὁ κάμνων φαίνοιτο τε ξηρόν, ἢ χολῶδες, ἢ ἁλμυρὸν ἀναπτύων, ἀναγκαῖόν ἐστιν ὑγροτέρᾳ κεχρῆσθαι τροφῇ, καὶ πλέον ἐν λαχάνοις τὸ ἴντυβον ἢ τὴν μαλάχην. καὶ γὰρ ἔχουσα τὸ ὀλισθηρόν, τὴν ἀρτηρίαν λεαίνει, καὶ τῇ γλισχρότητι τὸ προσηνὲς καὶ μετρίως λεπτῦνον, εὐανάγωγον ἐργάζεται τὸ ἀναπτυόμενον, μετὰ τοῦ καὶ εὐκρασίαν παρέχειν τῷ σώματι. παυσαμένου δὲ τοῦ πυρετοῦ, ἢ καὶ μειωθέντος, οὐ δεῖ κατακεχρῆσθαι τοῖς ψύχουσιν. ἐγχρονίζειν γὰρ ἐπὶ τὸ ἀναπτύειν τὸ πῦον ἐν τῇ τοιαύτῃ διαίτῃ οὐκ ἐπιτήδειον. Περὶ ὀρνέων.

Ὀρνέων δὲ ἐσθιέτωσαν τήν τε κατοικίδιον ὄρνιν, καὶ τῶν φασιανῶν τὰ μὴ λιπαρά, καὶ περδίκων ὁμοίως καὶ ἀτταγήνων καὶ κιχλῶν, καὶ τῶν ἄλλων ἀγρίων στρουθῶν, ἀπὸ ζέματος. οἱ γὰρ ζωμοὶ ῥυποῦσι μᾶλλον τὰ ἕλκη, ὑγροτέραν τε τὴν γαστέρα ποιοῦσι, καὶ τοὺς πυρετοὺς ἐπιτείνουσι. πλὴν ἐπειδὴ πάντες οὐκ ἐπὶ πολὺ τῆς τοιαύτης τροφῆς ἀνέχονται, σπουδάζειν δέον ὡς ἐνδέχεται, μήτε ἐλαίου πολλοῦ, μήτε ἄλλων ἐμβάλλειν, τὰ δὲ ἁρμόζοντα πρὸς τὴν ὑποκειμένην χρείαν μιγνύειν τοῖς ζωμοῖς. εἰ μὲν γὰρ ῥυπαρὸν εἴη τὸ αἷμα πτυόμενον, καὶ μέλιτος προσπλέκειν δεῖ, καὶ πράσου· εἰ δὲ καθαρὸν σοι φαίνοιτο, τηνικαῦτα, καὶ * βολβοκαστάνων, καὶ ἰτρίου, ἢ ἄλικος, ἢ σεμιδάλεως. ὥσπερ εἰ τε παραθέσεως, ἢ καὶ ἐπιθέσεως χρείαν ἔχοιτο ἕλκος, μιγνύσθω τῇ τροφῇ, οἷον, * καὶ αἰγυπτία λελεπισμένη, ἢ κράμβη διέφθος, ἢ τὸ ἀπὸ τῆς ἀλεξανδρείας μικρὸν φασίολον, ἢ τὸ λεγόμενον ζιζουλᾶν, ἢ ἔλυμον. Περὶ ἰχθύων. Ἐν δὲ τοῖς ἰχθύσι περιμάθωσαν, εἰ μὲν συνεργῆσαι τῇ ῥήξει βουληθείημεν τοῦ γινομένου ἀποστήματος, δυσώδους ὄντος καὶ ῥυπαροῦ τοῦ ἀναπτυομένου, τε ἀνακαθάρσεως δεομένου, ἰχθύων τῶν εἰς ἅλμην ταριχευθέντων, καὶ μάλιστα τῆς καλουμένης * ἐγκατη-

ρᾶς, προσάπαξ ἢ δὶς δοτέον, ὡς ἐν τάξει φαρμάκου. ὃ γὰρ ἀμεμπτότερον αὐτοῖς κεχρῆσθαι, πλέον ἀναστομοῖ καὶ ὑγρότερα διατίθησιν. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, χολῶδες δὲ φαίνοιτο, φείδεσθαι μὲν χρὴ τῶν ἁλμυρῶν πάντων ἐδεσμάτων, ἐσθιέτω δὲ πλέον ἁπάντων πετραῖον ἰχθὺν ἀπὸ ζέματος, ἀνήθου μόνον προσειληφότα. εἰ δὲ παχὺ καὶ γλίσχρον φαίνοιτο τὸ φερόμενον, πρόσεστι δὲ καὶ ἀνορεξία τις πάρεστι, δι' ὀξυμέλιτος ἡ ἕψησις. Περὶ ὀστρακοδέρμων. Τροφὴ τῶν ὀστρακοδέρμων οὐ πάνυ τι χρήσιμός ἐστι τοῖς περὶ θώρακα μορίοις ἕλκος ἔχουσι καὶ πῦον ἀναπτύουσιν, ὅμως δ' ἁλμυροῦ τοῦ ὑγροῦ τυγχάνοντος καὶ χολώδους, οὐδὲν ἄτοπον τὴν τοιαῦτα διδόναι κτενίων, ἢ κηρυκίων, ἢ ἀστακοῦ, * ἢ λυκούσας, ἢ τῶν λεγομένων καραβίδων. εἰ δὲ ῥυπαρὸν εἴη, καὶ κατ' ὀλίγον φερόμενον, διὰ τὸ μὴ γενέσθαι τελείαν τὴν ῥῆξιν, καὶ * τοῦ περιχυθέντος ἐχίνου, μὴ κώλυε λαμβάνειν ὀλίγον. ἔχει γάρ τι καὶ ἀναστομοῦν καὶ ἀνακαθαίρειν δυνάμενον. Περὶ ὀσπρίων. Ὀσπρίων δὲ πυρέττουσι μὲν εὔδηλον ὡς τὴν πτισάνην διδόναι προσήκει, τὸ ῥυπτικὸν ἔχουσαν, ὁμοίως δὲ καὶ τὸν βρῶμον. εἰ δὲ τὰ τῆς θερμασίας οὐ παρενοχλεῖ, καὶ ἄλυκος ἔχοντος, ἢ πιστακίων, ἢ ἀμυγδάλων, ἢ σταφίδων, ἢ στροβιλίων. εἰ δὲ ῥυπαρὸν καὶ ῥευματιζόμενον φαίνοιτο τὸ ἕλκος, καὶ κυάμων, ἢ φασιούλων, ἢ φακῆς, ποτὲ μὲν καθ' αὑτήν, ἄλλοτε δὲ μετὰ πτισάνης κατεψηθείσης, εὖ μάλα, παρέχει δηλονότι, καθὰ προείρηται, τοῦ πυρετοῦ τελείως σχεδὸν ἀποπαυσαμένου. Περὶ ὀπώρας. Ὅτι δὲ ταῖς τοιαύταις διαθέσεσιν οὐ πάνυ τοι χρήσιμος ἡ ὀπώρα, πρόδηλον οὐ μόνον ἰατροῖς, ἀλλὰ καὶ πᾶσιν ἰδιώταις ὑπάρχει. πλὴν ἐπειδὴ καὶ ἀνορεξία παρέπεται τοῖς κάμνουσιν, ἀναγκαζόμεθα τὰς μικρῷ χείρονας ἐν ὀπώραις ἐπιλέγεσθαι. διὸ καὶ μήλων ἐπιδιδόναι καὶ ἀπίων πάνυ πεπείρων, καλόν, σικύων τῆς ἐντεριώνης, ἢ πέπονος, εἰ μάλιστα πυρετὸς ἐνοχλεῖ, ἢ δίψα, καὶ χολωδέστερον τὸ ἀναπτυόμενον εὑρεθείη. ἡ γὰρ ἐντεριώνη τοῦ πέπονος ἔχει τι ῥυπτικόν. Περὶ τραγημάτων. Ἡ δὲ τῶν τραγημάτων τροφὴ χρήσιμός ἐστι. ἔχει γάρ τι καὶ ῥυπτικὸν τῶν κατὰ τὸν θώρακα παθῶν. ἀμυγδάλων οὖν λαμβανέτωσαν, ἢ πιστακίων, ἢ σταφίδων, ἢ στροβίλων, καὶ τὰς ἐκ τούτων συγκειμένας κοπτάς. δεῖ δὲ μὴ πολλὴν τροφὴν ἐκ τούτων ἐπιδιδόναι. καὶ γὰρ εἰ τὸ ῥύπτειν ἔχει, ἀλλ' οὖν δύσπεπτός ἐστι καὶ φθαρτικὴ τροφῶν τῶν ἐν τῇ γαστρί, διὰ τὸ ἐλαιῶδες αὐτῶν. τοσαῦτα καὶ περὶ τῆς ὠφελούσης αὐτοῖς εἰρήσθω διαίτης. λοιπὸν δὲ ὅσα καὶ ἐν φαρμάκοις σύγκειται καλῶς ἁρμόζειν δυνάμενα τοῖς ἔχουσι πῦον ἐν τῷ θώρακι, ἀναγκαῖόν ἐστι γράφειν. εἴρηται μὲν οὖν ἅπαντα σχεδὸν ἐν τῷ περὶ βηχὸς λόγῳ, καὶ τὰς πλείστας τῶν ἐκεῖ γεγραμμένων ἀντιδότων εὑρήσεις καὶ πρὸς ἐμπυϊκοὺς ποιεῖν δυναμένας. ἀλλὰ καὶ ἐνταῦθα μνημονεύσομεν τῶν κυρίως πρὸς ἐμπυϊκοὺς ἁρμοζόντων βοηθημάτων, πρότερον τὰς ἁπλουστέρας ἐκτιθέμενοι δυνάμεις, εἶθ' οὕτω καὶ τῶν συνθέτων μνημονεύσομεν. ὕσσωπον τοίνυν μετὰ μέλιτος καλῶς ποιεῖ. ὁμοίως δὲ καὶ θύμος, ἢ ἶρις κεκομμένη, ἢ ὄροβοι φρυγέντες εἰς βούτυρον, ἢ γλήχων, καὶ πάντα ταῦτα κατ' ἰδίαν κοπέντα, ἢ μετὰ μέλιτος μιγέντα, καλῶς ποιεῖ παρεχόμενα. γενναίως γὰρ ἀνακαθαίρει.

Πρὸς ἐμπυϊκούς.

Καὶ πάντα τὰ περὶ τὸν θώρακα καὶ τοὺς φθόῃ κατεχομένους, καὶ οἷς ἀρτηρία πέπονθε, πάνυ καλὸν καὶ ἡδὺ φάρμακον, κινναμώμου < δ', λιβάνου < α', γλυκυρ-

ῥίζης ℥ α' S'', ἐν ἄλλῳ ℥ α', σμύρνης < δ', τραγακάνθης ℥ ϛ', νάρδου ἰνδικῆς < α', ἀμμωνιακοῦ < δ', κρόκου < α', ἐν ἄλλῳ < β', μέλιτι ἀναλάμβανε.

γ' Πρὸς τὰ ἐν τῷ θώρακι καὶ περιττὰ πάντα.

Στρόβιλον λαβὼν πολλὴν ἔχοντα ἰδίαν περικειμένην ῥητίνην, ἕψησον μετὰ πρασίου προσφάτου, εἶτα τῷ ἀφεψήματι μίγνυε μέλι σύμμετρον, καὶ ἕψησον πάλιν τοῦτο μέχρι μελιτώδους συστάσεως, καὶ χρῶ πρὸς τὰς τοῦ θώρακος καὶ πνεύμονος διαθέσεις.

δ' Πρὸς ἐμπυϊκοὺς καὶ φθισικούς, καὶ τοὺς ἐκ τοῦ πνεύμονος ἢ θώρακος, ἢ τοῦ ὑμένος τοῦ διαφράγματος ἀναπτύοντας τρυγώδη καὶ ῥυπαρά, καὶ τοὺς ἤδη φθίσιν μελετῶντας, ἄριστον βοήθημα. ἔχει δὲ οὕτως.

Αἰζώου χυλοῦ, γλυκέος κρητικοῦ, μέλιτος ἀττικοῦ ἀνὰ < β', ἐν ἄλλῳ ἀνὰ < δ', κνιδοσπέρματος κεκομμένου Κ̸ α', σικύου ἡμέρου σπέρματος Κ̸ α', κυπαρίσσου σπέρματος ℥ α'. ἕψε πάντα ὁμοῦ, ἕως καταλειφθῇ τὸ ἥμισυ, καὶ τὸ πιτυρῶδες ῥίψον· εἰς δὲ τὸ ὑγρὸν πρόσθες πίσσης ὑγρᾶς Κ̸ α', καὶ ἕψε ἕως συστάσεως μελιτώδους, καὶ πρόσβαλλε νάρδου συριακῆς < α', λιβάνου < γ', κρόκου < β', πεπέρεως λευκοῦ < β'. ἡ δόσις, κυάμου τὸ μέγεθος ἐκλεικτόν. ἐὰν δὲ σφοδραὶ ὦσιν αἱ ἐπιτάσεις τῶν προειρημένων παθῶν, στροβίλινον ὀπτὸν ἔτι χλιαρῶς θλάσας, καὶ βαλὼν εἰς χύτραν καινήν, ἐπιχέων ὕδωρ τὸ ἀρκοῦν, ἕψε ἕως οὗ καταλειφθῇ τὸ τρίτον, καὶ διηθήσας, χρῶ τῷ ὑγρῷ ἀντὶ τοῦ λοιποῦ ὕδατος. Ἀντίδοτος καλὴ πάνυ, πρὸς στομάχου ῥευματισμόν, ἀναφορικούς, βηχικούς, καὶ περιπνευμονικούς. πληροῖ διὰ τάχους, καὶ ἀλύπως. Κρόκου, φύλλου ἀνὰ < α', πρασίου, ἴρεως, πεπέρεως λευκοῦ, γλήχωνος, ὑσσώπου ἀνὰ < β', ἐν ἄλλῳ < γ', ὀροβίνου ἀλεύρου ξε α', ἀμυγδάλων πικρῶν ξε α', μέλιτος καλοῦ ξε α'. χρῶ ὡς πάνυ καλλίστῳ βοηθήματι. Ἀντίδοτος, ἡ διὰ πρασίου καλῶς πάνυ ἀνακαθαίρουσα τὰ ἐν τῷ θώρακι καὶ πάντα, ὡς * τὰς προτέρας. Ὑσσώπου ℥ β', πρασίου, γλήχωνος, καλαμίνθης ἀνὰ ℥ β', γλυκυρρίζης ℥ γ', ἴρεως, σκίλλης, ἐλενίου ἀνὰ ℥ β', στροβιλίων, ἀπόβρεχε ὕδατι ἐπὶ ἡμέρας τρεῖς, καὶ ἕψε ἕως ἀποτελειωθῇ, καὶ ἐπιβαλὼν μέλιτος, ἕψε ἕως συστάσεως. τοσαῦτα καὶ περὶ τῶν ἀνακαθαιρόντων τὰς χρονίας διαθέσεις τοῦ θώρακος, καὶ πνεύμονος. εἰδέναι γὰρ δεῖ ὅτι μετὰ τὴν ἀνακάθαρσιν ξηραίνειν δεῖ σπουδάζειν τὰ ἑλκοῦντα. τῶν γὰρ ἀπερίττων αὐτῶν γινομένων, παραλύθενται καὶ σαρκοῦνται. ἁρμόζουσι δὲ τούτοις λοιπὸν καὶ ἀέρων μεταβολαί, καὶ πλοῦς, καὶ τῶν αὐτοφυῶν ὑδάτων αἱ χρήσεις, εἴπερ εἰσὶν εὔσαρκοι, καὶ μὴ φθάσαντες ἀμέτρως ὑπὸ τοῦ νοσήματος λεπτυνθῆναι. τηνικαῦτα γὰρ μετὰ τοῦ μηδαμῶς ὠφελεῖσθαι, καὶ μᾶλλον ὑπὸ τοῦ ξηραίνοντος βλάπτονται. βέλτιον οὖν τοῖς γλυκέσι κεχρῆσθαι λουτροῖς, καὶ τῇ ἀλοιφῇ, τῷ τε σαβίνῳ ἐλαίῳ, καὶ στέατι. οὕτω γὰρ ἐκ τῶν τοιούτων ἁπάντων τὰ ἠσθενηκότα καὶ λεπτυνθέντα μόρια, καὶ μάλιστα εἰ τῇ τοῦ γάλακτος πόσει καταχρήσονται, ἀναλαμβάνουσιν.

ε' Περὶ τῶν ἐν τῷ στόματι τῆς γαστρὸς παθῶν.

Τὸ στόμα τῆς γαστρὸς ὃ δὴ καὶ στόμαχον, οἱ δὲ καρδίαν τῶν παλαιῶν ὠνόμασαν, ἐπειδὰν ὑπομένῃ βλάβην, ἄπειρά τε καὶ ποικίλα τοῖς ἀνθρώποις ἐπιφέρειν οἶδε συμπτώματα.

*πτώματα. ἐπιληψίας γὰρ, καὶ σπασμοὺς, καὶ κάρους, καὶ λύπας ἀκαίρους, καὶ φόβους, καὶ μελαγχολίας, καὶ ἀλλοκότους ὀρέξεις, καὶ ἀνορεξίας, καὶ ναυτίας, καὶ ἐμέτους, καὶ φθορὰς, καὶ ὀδύνας ἐντέρων, καὶ μήτρας, καὶ κύστεως· ἔστιν ὅτε καὶ ἀγρυπνίας ἐπιφέρει, καὶ ὀδύνας, καὶ παραφροσύνας, καὶ φρενίτιδας ἀκαίρους, καὶ ἄκρων ψύξεις. οὕτως ἐστὶν αἰσθητικὸν καὶ καλοῦσιν εἰς συμπάθειαν, τῇ μὲν γειτνιάσει, τὴν καρδίαν, τῇ δὲ συγγενείᾳ, τὸν ἐγκέφαλον. ἐπεὶ οὖν τοιούτων καὶ τοσούτων παθῶν ὁ στόμαχος αἴτιος γίνεται, προσέχειν δεῖ ποῖα μὲν αὐτοῦ τοῦ στομάχου κυρίως εἰσὶ πάθη, ποῖα δὲ κατὰ συμβεβηκὸς, καὶ διορίσαντα ἀκριβῶς, οὕτω ποιεῖσθαι τὴν θεραπείαν.

Περὶ ψυχρᾶς δυσκρασίας.

Τὴν ψυχρὰν τοῦ στόματος τῆς γαστρὸς δυσκρασίαν ἐστὶ διαγνῶναι σαφῶς ἐκ τοῦ ἄδιψον εἶναι τὸν κάμνοντα, καὶ ὀρέγεσθαι μᾶλλον σιτίων, ἢ ποτῶν. εἰ δὲ μὴ μόνον ἡ ποιότης ἡ λυποῦσα, ἀλλὰ καὶ χυμῶν τινων ψυχροτέρων ἐστὶ δυσκρασία, ἔσται μὲν ταῦτα πάντα τοῖς ἐν τῇ ψυχρᾷ ποιότητι συμβαίνουσι, πρὸς δὲ τούτοις καὶ ἕτερα. καὶ γὰρ ἐμοῦσι φλέγμα, καὶ τὴν τροφὴν προσφερόμενοι, κατέχειν οὐ δύνανται, καὶ μετὰ τὸν ἔμετον εὐθὺς ἑτέρας ἐφίενται τροφῆς, ὥσπερ οἱ κύνες. διόπερ καὶ κυνώδη ὄρεξιν ἔχειν τοὺς τοιούτους ὠνόμασαν. οὕτω μὲν οὖν εἴτε ψυχρά τις εἴη δυσκρασία μόνη λυποῦσα τὸ στόμα τῆς γαστρὸς, εἴτε καὶ ποσότης ὕλης, συντόμως ἐστὶν εἰπεῖν διαγινώσκειν, ὅτι καὶ κυνώδης ὄρεξις. ἐπειδὴ οὐ μία τις αἰτία τὴν κυνώδη ὄρεξιν ἐργάζεται, ἀλλ' εὑρίσκομεν ὅτι διαφόρως, καὶ διὰ ψυχρὰν δυσκρασίαν, ὡς εἰρήκαμεν, καὶ ἐπὶ φλεγματώδη χυμὸν ἐμπεριεχόμενον ἐν τῷ στομάχῳ, καὶ διὰ θερμότητα πάνυ πολλὴν, καὶ διὰ τὴν ἀσθένειαν τῆς ἐν ὅλῳ τῷ σώματι καθεκτικῆς δυνάμεως, ἀναγκαῖόν ἐστιν ἡμᾶς πρότερον διαγινώσκειν, τίς προτέρα ἐστὶν ἡ τῶν σιτίων νῦν ἐργαζομένη ἄμετρον ὄρεξιν. ἀδύνατον γὰρ ἐστὶν εὑρεῖν τὴν θεραπείαν, τὴν αἰτίαν μὴ διεγνωκότας πρότερον τοῦ νοσοποιοῦ. εἰ μὲν οὖν διὰ θερμότητα πολλὴν ἡ ἄμετρος τῶν σιτίων ἔφεσις γίνοιτο, τὰ ἐναντία φαίνεται μᾶλλον συμβαίνοντα τοῖς ἐπὶ ψύξει. οὐδὲ γὰρ ἄδιψοι γίνονται, οὔτε ἐμοῦσι τὸν ὀξώδη χυμόν. ἡ γὰρ ἄμετρος θερμότης οὐ συγχωρεῖ τοιοῦτόν τι συμβῆναι, πάντα ῥᾳδίως ἐξατμίζουσα καὶ ἀπολεπτύνουσα διὰ τῆς ἀδήλου διαπνοῆς. ὅθεν καὶ ἡ γαστὴρ ἐπέχεται τούτοις μᾶλλον, ἢ φθείρεται. τοῖς δὲ δι' ἀσθένειαν τῆς ἐν ὅλῳ τῷ σώματι καθεκτικῆς δυνάμεως, ἄπεπτα καὶ πολλὰ καὶ ἀνομοίωτα πολλάκις ἐκκρίνεται τὰ σιτία. διὸ καὶ φθοραῖς συνεχέσιν ἁλίσκονται μᾶλλον οἱ τοιοῦτοι. Θεραπεία τῆς διὰ ψύξιν γινομένης κυνώδους ὀρέξεως. Τοὺς μὲν οὖν διὰ ψύξιν ἢ φλέγματος περιουσίαν ἀμετρότερον ὀρεγομένους, θεραπεύσεις δηλονότι τοῖς ἐναντίοις χρώμενος τῶν θερμοτέρων. καὶ μάλιστα τῷ ἀκράτῳ οἴνῳ, καὶ τοῖς λιπαροῖς τῶν ἐδεσμάτων, καὶ πᾶσι τοῖς γλοιώδεσι, φασιανῶν μὲν τοὺς μηροὺς καὶ κρεῶν χοιρείων. ταῦτα γὰρ ἐσθιόμενα πρότερα, κορεννύουσιν αὐτοὺς, καὶ ἀμβλύνουσι τὴν ἄμετρον αὐτῶν ὄρεξιν, ὡς τοῦ λοιποῦ μὴ δύνασθαι πλείονα θέλειν λαμβάνειν τροφήν. Θεραπεία τῆς διὰ θέρμην γινομένης κυνώδους ὀρέξεως. Εἰ δὲ διὰ θερμότητα πολλὴν γίνοιτο κυνώδης ὄρεξις, οἶνον μὲν αὐτοῖς οὐ χρὴ διδόναι, τροφὰς δὲ δυσκατεργάστους. τούτοις γὰρ τὰ πάνυ θερμὰ πολέμια, οἷον, πέπερι, καὶ ὅσα διὰ πεπέρεως σκευάζεται, ὑδρόγαρόν τε καὶ κονδῖτον. ὅσα δὲ ἄλλα ἔχει μετὰ τοῦ ψύχειν καὶ τὸ δυσκατέργαστον, οἷον, * στέρναι, καὶ βούλβιον, καὶ δαμαλῶν πόδας.

Πῶς δεῖ θεραπεύειν τὴν κυνώδη ὄρεξιν τὴν γινομένην δι' ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως. Εἰ δὲ δι' ἀσθένειαν τῆς καθεκτικῆς δυνάμεως γίνεται, καὶ ἅπασαν, ὡς ἔπος εἰπεῖν, δυσκρασίαν, διαγνοὺς πρότερον τίς ἐστιν ἡ λυποῦσα αἰτία, ἔρχου λοιπὸν ἐπὶ τὴν ἀκόλουθον θεραπείαν. τὸ γὰρ θέλειν ἀεὶ τὰ σύφοντα προσφέρειν, ἀμαθῶν ἐστιν ἰατρῶν. μάλιστα μὲν οὖν ἐπὶ ψυχρᾷ δυσκρασίᾳ, καὶ καταλύεσθαι πέφυκεν ἡ καθεκτικὴ δύναμις. καὶ διὰ τοῦτο δεῖ μᾶλλον ἐργάζεσθαι πρὸς ταύτην. ἔστι δὲ ὅτε καὶ διὰ ξηρότητα * καταλαμβάνεται ἡ καθεκτικὴ δύναμις, καί ἐστιν αὕτη δυσθεράπευτος.

Θεραπεία τῆς διὰ ψύξιν ἀσθενούσης καθεκτικῆς δυνάμεως.

Εἰ τοίνυν φανῇ σοι ψυχρὰ δυσκρασία ἡ παρενοχλοῦσα, ἐξ ὧν εἴπομεν ὀφείλειν διαγινώσκειν, εὔδηλον ὅτι τοῖς θερμαίνουσι δεῖ κεχρῆσθαι παντὶ τρόπῳ, οὐ μόνον ἐδέσμασι τοιούτοις χρώμενον, ἀλλὰ καὶ φαρμάκοις. ἁρμόζει γοῦν αὐτοῖς ἐν μὲν λαχάνοις, ἡ κράμβη τρίσεφθος ἐσθιομένη μετ' οἴνου, καὶ ἀρτυτικά, καὶ καυλὸς ὁμοίως, καὶ ἡ γογγυλίς, καὶ σιτωδῶν ἄλφιτα, πολτός, ἄλιξ μετ' οἴνου, τίφη, ὄλυρα, ζειά. τῶν δὲ ὀρνέων, πέρδικες, ἀτταγῆνες, νῆσσαι, καὶ τῶν κρεῶν ὀλίγα, οἷον, αἴγεια, καὶ ἐλάφεια. τῶν δὲ ὀπωρῶν τὰ πλείονα φευγέτωσαν. τραγημάτων δέ, τὰς σταφίδας, ὡς τὰ μέγιστα ὠφελούσας προσφερέσθωσαν, τὰ δὲ ἄλλα πάντα παραιτείσθωσαν. ἡ μὲν οὖν δίαιτα, συντόμως εἰπεῖν, ἔστω τοιαύτη. χρίσματα δὲ καὶ ἐπιθέματα γινέσθωσαν τὰ διὰ λαδάνου καὶ * μασουχᾶ, σμύρνης τε καὶ ἀλόης, καὶ ἀψινθίας. καὶ πόματα δὲ τὰ διὰ τοῦ ναρδοστάχυος καὶ ῥέου, καὶ τὸ διὰ μήλων τὸ ἔχον ζιγγιβέρεως. καὶ ἀντίδοτος, ἡ ἔσδρα, καὶ ἡ θηριακὴ μάλιστα. πλέον γὰρ ἁπάντων οἶδεν αὕτη συμπέττειν, καὶ ἰᾶσθαι τὰς τοιαύτας διαθέσεις. τῶν δὲ λουτρῶν, τὰ θερμότερον ἔχοντα τὸν ἀέρα, καὶ τὴν ἔμβασιν. λοιπὸν δὲ τοῦ χρόνου προϊόντος, καὶ τοῦ νοσήματος ἤδη μείωσιν εἰληφότος, καὶ τὰ αὐτοφυῆ τῶν θερμῶν ὑδάτων πρὸς τελείαν ἀπαλλαγὴν μεταλαμβάνειν, καὶ μάλιστα ὅσα μετέχει μετρίας στύψεως. καὶ τὰ γυμνάσια τούτοις ὠφελιμώτατα, καὶ αἰῶραι, καὶ πλοῦς, καὶ ἀποδημία μακρά. ταῦτα γὰρ πάντα * μετασυγκρίνει, καὶ ἀναρρώννυσιν εἰς τὸ ἀρχαῖον τὴν ὅλην ἕξιν τοῦ σώματος, ὥστε κατέχειν καλῶς καὶ πέττειν δύνασθαι τὴν τροφήν, καὶ συμμέτρων ἐδεσμάτων ἐφίεσθαι. Θεραπεία τῆς θερμὴν ἀσθενούσης καθεκτικῆς δυνάμεως. Ἄρτος μὲν οὖν τούτοις ὠφελιμώτατος εἰς ἄκρατον παραλαμβανόμενος, καὶ ὠὰ σκληρὰ περὶ ὥραν τρίτην προσφερόμενα, καὶ λαχάνων ἴντυβα καὶ θριδακίναι, καὶ μαλάχαι. καὶ τῶν ὀρνίθων ἥ τε κατοικίδιος ὄρνις, καὶ μὴ πάνυ ἑφθή, καὶ τῶν χηνῶν μάλιστα τὰ ἄκρα καὶ τὰ στήθη, καὶ τῶν φασιανῶν. τὰ δὲ ἄλλα πάντα παραιτείσθωσαν. τῶν δὲ ἰχθύων ἐσθιέτωσαν τοὺς σκληροσάρκους, οἷον, ὀρφόν, γλαῦκα, κηρίδα, κόκκυγα, καὶ ὀκτάποδα, καὶ σηπίας. καὶ τῶν ὀστρακοδέρμων, ἀστακούς, καὶ κηρύκια, καὶ κτένια, καὶ κοχλίας. τῶν δὲ ὀσπρίων, φασίουλον, κύαμον, ὄρυζαν. τῶν δὲ ὀπωρῶν, μῆλα γλυκέα, κίτρια, σταφυλὴν σκληρόσαρκον, καὶ τῶν πεπόνων τὴν σάρκα, καὶ τῶν σικύων τὴν ἐντεριώνην, καὶ συκάμινα, καὶ ῥοδάκινα, καὶ περσικά, καὶ λουτρὰ γλυκέων ὑδάτων. τὰ γὰρ αὐτοφυῆ τούτοις πολέμια. τοσαῦτα καὶ περὶ τῆς καθεκτικῆς δυνάμεως, διὰ θερμὴν δυσκρασίαν παθούσης.

ϛ' Περὶ βουλίμου.

Ὁ βούλιμος καλούμενος, ὡς καὶ τοὔνομα δηλοῖ, μέγας ἐστὶ λιμός. γίνεται δὲ ὡς ὁ λόγος ὑπο-

δείκνυσι

δείκνυσιν ἀπὸ ἀμέτρου θερμότητος καὶ ἀσθενείας τοῦ στόματος τῆς γαστρός, ὅθεν εἰ μὴ προσ-
φέροιντο τροφὴν ἀμέτρως, λειποθυμοῦσι, καὶ πίπτουσι. τοῦτο τοίνυν εἰδότες καὶ οἱ πλείους
τῶν ἰδιωτῶν, εὐθὺς ὀσφραντικοῖς κέχρηνται, πρὸς τὸ ἀνακαλέσασθαι καὶ ἀναλαβεῖν
διαφορουμένην τὴν ζωτικὴν δύναμιν. τῶν δὲ ὀσφραντῶν, μάλιστα προσφέρουσι
τόν τε ἄρτον εἰς οἶνον βεβρεγμένον, καὶ κρέα χοίρεια ὀπτηθέντα, καὶ ἐρίφεια, καὶ καθό-
λου τοῖς ὀσμὴν ἔχουσι κνισώδη καὶ εὐάρτυτον. διαχρίουσι δὲ αὐτῶν τὰ ἄκρα,
καὶ νύττουσι πανταχόθεν, καὶ ἀνατείνουσι τὰ ὦτα, καὶ τὰς σιαγόνας, καὶ ἐκ τῶν τρι-
χῶν ἀνασπῶσιν. ἀνακτησαμένοις δὲ αὖθις, καὶ παυσαμένης τῆς λειποθυμίας, ἄρτον
εἰς οἶνον βραχέντα διδόναι τροφὴν πρό γε πάντων, εἶτα οὕτω καὶ τῶν ἄλλων τρο-
φῶν. δεῖ δὲ τοῦ λοιποῦ ταχύτερον αὐτοὺς τρέφειν, καὶ πᾶν ὅπερ ἂν ᾖ δυσμετάβλητον,
ἐκεῖνο παρέχειν αὐτοῖς, ἅμα δὲ καὶ τὸ ἐμψύχειν καὶ ῥωννύειν δυνάμενον. ὑπὸ γὰρ
τοιούτων ὠφελοῦνται, καὶ τῷ χρόνῳ εἰς εὐκρασίαν ἀνέρχονται, καί τινες ὁποίου τοῖς
βουλιμιῶσιν ἐπιδεδώκασι μετὰ ὕδατος ψυχροῦ, ἐπὶ τὸ κατασβέσαι τὸ ὑπερβάλ-
λον θερμόν. ἀλλὰ τὰ τοιαῦτα φεύγειν ὑμᾶς παραινῶ. ταῖς δὲ δυσμεταβλήτοις μᾶλ-
λον κεχρήσθωσαν τροφαῖς. ἔγνων δὲ τινὰ γυναῖκα πολλὰ καὶ ἄμετρα προσφερο-
μένην, καὶ πέττουσαν ἅπαντα, καὶ μηδέποτε κορεσθεῖσαν φάσκουσαν αὐτήν. διὰ
δὲ τὸ δήξεις ὑπομένειν, καὶ τὴν κεφαλὴν ἀλγεῖν, ἐπίπλασον ἐδέξατο καθάρσιον.
τοῦ δὲ καθαρσίου, ἢ ἱερᾶς γενομένης δὲ τῆς κενώσεως, ἀπέρριψεν ἕλμινθα, ὡς τὸ διά-
στημα νομίζειν πηχῶν δώδεκα ἔχειν, καὶ πλείω, καὶ τότε τῆς ἀμέτρου καὶ μανιώδους
ὀρέξεως ἐπαύσατο. ἐγνώσθη οὖν ὡς οὐκ ἦν βούλιμος, ἀλλὰ τὸ ἀναγκάζον καὶ ἀνα-
λίσκον ἅπαντα τὸ θηρίον ἦν.

ζ'

Περὶ ἀνορεξίας.

Eἰδέναι δὲ δεῖ ὡς καὶ ἡ ἀνορεξία γίνεται ἢ διὰ δυσκρασίαν τινά, ἢ διὰ τὸ περιέχεσθαι
χυμὸν ἐν τῷ στομάχῳ. ἀναγκαῖον οὖν ἐστιν ἔν τινι τῶν τριῶν διαπράξασθαι, ἢ κενῶσαι
τοὺς χυμούς, ἢ περικενῶσαι, ἢ μετασυγκρῖναι καὶ λεπτῦναι, παχυτέρων αὐτῶν ὄντων.
κενώσεις μὲν οὖν αὐτούς, ἢ διὰ ἐμέτων, ἢ διὰ γαστρός. εἰ μὲν οὖν εὐεμὴς ὁ κάμνων εἴη,
διὰ τῶν ἄνω· μάλιστα δὲ πρὸς τὸ τοιοῦτον ὁρμᾶν δεῖ, ἐὰν ὦσι καὶ οἱ χυμοὶ λεπτοί, καὶ
μὴ πάνυ παχεῖς, καὶ προσαπεπλασμένοι φαινόμενοι. Πῶς δεῖ ποιεῖν ἔμετον τοῖς
ἔχουσι λεπτὸν καὶ χολώδη ἐν τῷ στομάχῳ περιεχόμενον χυμόν. Εἴπερ οὖν φαίνοι-
τό σοι δι' ἐμέτων κενῶσαι τοὺς λυποῦντας χυμούς, φεῦγέ τοι χρήσασθαι φαρμα-
κοῖς ἔμετον δυναμένοις κινῆσαι, ἀλλὰ τοῖς ὑγραίνουσι μᾶλλον σιτίοις, καὶ πόμασιν,
οἷον, εὐκράτῳ πολλῷ, καὶ πολλάκις. οὕτω γὰρ εὐχερῶς ἐπιπλεύσει καὶ ἀνενεχθήσε-
ται τὸ περιττόν. τὸ γὰρ μελίκρατον εἰ καὶ ἔμετον κινεῖ, ἀλλ' οὖν φεύγειν ἐπὶ τῶν τοιού-
των αὐτὸ δεῖ. δυσκρασίαν γάρ τινα λανθάνουσαν ἐπιτίθησι τῷ σώματι. βέλτιον οὖν
πράξεις, εἰ τῷ εὐκράτῳ μόνῳ χρήσῃ. εἰ δὲ καὶ θρέψεις αὐτὸν λεκύθοις ᾠῶν, ἢ χυλῷ
πτισάνης, πρὶν ἢ ἐπιδοίης τὸ εὔκρατον, εἶτα μικρὸν διαστήσας, οὕτως ἐρεθίσεις τὸν ἔμε-
τον μᾶλλον. οὗτος ὁ ἔμετος ἄλυπος ἔσται καὶ ὠφελιμώτατος. οὕτω μὲν εἴπερ ἐπιτήδειος ὁ
κάμνων εἴη πρὸς ἔμετον, ἁρμόζεσθαι δεῖ. εἰ δὲ δυσεμὴς εἴη, φείδεσθαι δεῖ τοῦ ἐπὶ πολὺ
σπαραγμοῦ, ἢ ἀναγκάζειν τὸν στόμαχον. τὸ γὰρ ἐπὶ πλέον σπαράττειν, καὶ διατείνειν, μᾶλ-
λον ἀνατρέπειν οἶδε τὴν ὄρεξιν. βέλτιον οὖν ἐπὶ τῶν τοιούτων ἐπὶ γαστέρα προπέμ-

πειν τὴν ὕλην, ὑγραίνοντα πρὸς τοῦτον πλείονι καὶ εὐκράτῳ τῇ τροφῇ. οὕτω γὰρ ἑτοίμως τοῖς καθαίρουσιν ὑπακούσαι ἡ ὕλη δυνήσεται. δεῖ δὲ ἠρέμα καὶ τῶν ῥωννύειν δυναμένων τὸ καθαῖρόν τι προσφέρειν φάρμακον, οἷον εἰ τὴν πικράν, ἢ μίαν τῶν ἀντιδότων τούτων, ἢ τὸ διὰ μήλων, ἢ τὸ διὰ ῥοδομέλιτος, ἄλυπα καὶ εὐστόμαχα ὄντα φάρμακα. ὅπως δὲ μὴ δυσχεραίνητε ζητοῦντες αὐτὰς παρ' ἄλλοις, καὶ τὰς γραφὰς αὐτῶν ἐξεθέμην. ἔχουσι δὲ οὕτω. Καθαρσίου τοῦ διὰ μήλων ἡ σκευή. Μήλων κυδωνίων ℔ α΄, κιτρείου φλοιοῦ Γο ϛ΄, μέλιτος ℔ α΄ S″, σκαμμωνίας Γο β΄, πεπέρεως Γο δ΄, ὕδατος ὀμβρίου ξε ϛ΄. πεπείραται. ἕψε δίκην ὀξυμέλιτος, καὶ πρόσβαλε τελευταῖον τὴν σκαμμωνίαν, καὶ τὸ πέπερι πλάσσων, καὶ δίδου κόκκον α΄ ἢ β΄. Ἄλλο καθαρτικὸν τὸ διὰ τῶν κυδωνίων μήλων, πεπειραμένον. Λαβὼν μῆλα κυδώνια η΄, βάλε σκαμμωνίας Γο α΄, καὶ περίπλασσε ἔξωθεν ζύμῃ, ὡς μὴ διὰ τῶν πόρων τὴν σκαμμωνίαν διελθεῖν δυνηθῆναι, καὶ μετὰ τὸ ὀπτηθῆναι καλῶς, τὴν μὲν σκαμμωνίαν σὺν τοῖς μήλοις δίχα τῆς ζύμης λείου, καὶ πρόσβαλε μέλιτος, καὶ πάλιν λειώσας, βάλε εἰς πυξίον, καὶ δίδου κόκκον α΄, ἢ β΄, πρὸς ὃ θέλεις καθᾶραι. Καθαρσίου τοῦ διὰ ῥοδομέλιτος ἡ γραφή. Ῥόδων χυλοῦ ℔ α΄, σκαμμωνίας Γο α΄, ἀγαρικοῦ < α΄ S″, πεπέρεως γρ β΄, μέλιτος Γο ϛ΄. ἕψε μαλθακῷ πυρί, καὶ ὅταν συστραφῇ, τότε ἐπίβαλε τὴν σκαμμωνίαν, καὶ τὸ πέπερι, καὶ τὸ ἀγαρικόν, καὶ χρῶ. ἡ δόσις πρὸς τὴν δύναμιν, κόκκοι ε΄, ἢ ϛ΄. Περὶ τῆς διὰ γλίσχρους χυμοὺς γινομένης ἀνορεξίας. Εἰ δὲ διὰ γλίσχρους χυμοὺς γένηται ἡ ἀνορεξία, ἀνάγκη λοιπὸν ἀφορᾶν εἰς τὰ ἐναντία, ὅσα λεπτύνειν οἶδε καὶ τέμνειν, ἔτι δὲ καὶ σμήχειν, καὶ τούτων αὐτοὺς προτρέπειν λαμβάνειν. κάππαρις οὖν ἀγαθόν ἐστι φάρμακον εἰς τὰ τοιαῦτα, πλυθεῖσα καλῶς, καὶ εἰς ὀξύμελι συντεθεῖσα. καλὸν δὲ καὶ αἱ ἐλαῖαι πᾶσαι ὅσαι δι' ἅλμης ἢ ὀξυμέλιτος σύγκεινται. καὶ τὸ σίνηπι δὲ σφοδρότερον τούτων ἀπολεπτύνει, μετὰ ὀξυμέλιτος καὶ ὄξους ἐσθιόμενον, καὶ ἁπλῶς εἰπεῖν, ὅσα δι' ὀξυμέλιτος, ἢ ἅλμης, ἢ γάρου, καλῶς προσφέρεται. τοῖς δὲ ἐπὶ πλέον ἔχουσι καταψυχθέντα τὸν στόμαχον καὶ τὰ διὰ πεπέρεως καὶ ζιγγιβέρεως συγκείμενα προσφέρειν ἐστὶν ἀναγκαῖον. ἐξ ὧν ἐστι καὶ τὸ διὰ τῶν κυδωνίων μήλων σκευαζόμενον, ἔχον καὶ πέπερι, καὶ σμύρνης, ἢ λιβυστικοῦ, ἢ κόστου, ἢ γλήχωνος. ἄλλοι γὰρ ἄλλως τὸ αὐτὸ σκευάζουσι. καλλίων δὲ πασῶν ἐστιν, ᾗ κέχρηται καὶ ὁ θειότατος Γαληνός, ἣν εὑρήσεις ἐν τῷ περὶ τῆς διὰ ψυχρὰν δυσκρασίαν γινομένης ἀνορεξίας κεφαλαίῳ. εἰ δὲ ἐπὶ πλέον ἀποσμῆξαι βουληθείης, καὶ τῷ ὀξυμέλιτι κέχρησο τῷ Ἰουλιανῷ καλουμένῳ. τινὲς δὲ αὐτὸ καλοῦσι, * Λόγχου φιλοσόφου. τοῦτο τὸ ὀξύμελι θαυμασιώτατόν ἐστιν, ὥστε μὴ μόνον τὰ ἐν τῷ στομάχῳ δύνασθαι σμήχειν, ἀλλὰ καὶ τὰ ἐν ἥπατι καὶ σπληνί, καὶ θώρακι, καὶ κεφαλῇ· ὥστε καὶ ἐπιληψίας δύνασθαι ἰᾶσθαι, καὶ ἄλλα πολλὰ τῶν χρονίων παθῶν. ἀλλὰ καὶ τὴν σκευασίαν, καὶ τὰς συνούσας ἀρετὰς αὐτῷ τὰ νῦν παρέντες, τῶν ἑξῆς ἐχόμεθα. καὶ γὰρ ἐν ἑτέροις κεφαλαίοις, καὶ τὴν γραφὴν καὶ τὰς ἐπαγγελίας τοῦ ὀξυμέλιτος εἰρήκαμεν. τούτοις μὲν οὖν δεῖ διὰ στόματος κεχρῆσθαι βοηθήμασιν· ἔξωθεν δέ, τοῖς θάλπειν δυναμένοις ἀλείμμασι καὶ ῥωννύειν, οἷόν ἐστι καὶ τὸ μαρκιάτον καλούμενον. λοιπὸν δὲ καὶ ἐπιθέμασι, τῷ τε βαΐῳ καὶ τῷ εὐώδει καλουμένῳ. καλλίστων δὲ σφόδρα ὄντων καὶ δυσπορίστων, τὴν σκευασίαν αὐτῶν καὶ τὴν ὕλην ἐξεθέμην ὧδε. Στομαχικὸν τὸ λεγόμενον βάϊον. Κασσίας Γο S″, ἴρεως γρ δ΄, σχίνου ἄνθους γρ ιη΄, βδελλίου γρ λβ΄, μαστίχης Γο β΄, κηροῦ Γο ι΄, τερεβινθίνης Γο δ΄, πιτυΐνης πεφρυγμένης ℔ α΄ S″, ἐν ἄλλῳ < β΄ S″,

<β' S'', ἀμώμου γρ λβ', νάρδου Γο ϛ', οἰνανθαρίου Γο η', ἀλόης Γο α', καρδαμώμου Γο β', καρυοφύλλου Γο α', βαλσάμου Γο β', λειώσας τὰ ὀπηρά, ἐπίβαλλε τὰ τηκτά, εἶτα τὰ ξηρά, ὑγρῶν ἔτι ὄντων, καὶ ἀναλάμβανε. Τὸ εὐῶδες. Καὶ τοῦτο κάλλιστον καὶ διὰ πείρας πολλῆς· κρόκου Γο α' S'', βδελλίου γρ θ', ἀλόης Γο β', σμύρνης Γο β', φύλλου Γο α', περιπόλεως Γο γ', τερεβινθίνης Γο γ', λιβάνου Γο β', στύρακος Γο α', μαστίχης Γο β' S'', ναρδοστάχυος Γο α', καρδαμώμου Γο β', ἡδυχρόου μάγματος Γο α' S'', ἀμμωνιακοῦ Γο ϛ', κηροῦ ℔ α', κολοφωνίας ℔ β', ὀποβαλσάμου Γο ϛ', φοινίκων Γο ϛ', σκευάσας χρῶ.

Περὶ ἀνορεξίας διὰ θερμὴν δυσκρασίαν.

Τὰς δὲ διὰ θερμὴν δυσκρασίαν ἀνορεξίας δῆλον ὅτι ἡ δίαιτα ἡ διὰ τῶν ψυχόντων ὠφελήσει, καὶ μάλιστά γε ἐκεῖνα ὅσα δι' ὄξους ἔχει τὴν σκευασίαν, καὶ φουσκά, καὶ ὀξύγαλα * τὰ παρὰ ῥωμαίοις καλούμενα μῆλα, θρίδακές τε καὶ ἴντυβα, καὶ ὕδωρ καθ' αὑτὸ ψυχρὸν πινόμενον συμμέτρως, καὶ ἐξ ἐναντίας τῆς κρατούσης δυσκρασίας θερμῆς. αἱ γὰρ ἄμετροι ψύξεις νεκροῦσι καὶ καταβάλλουσι τὴν ἐν τῷ σώματι δύναμιν, ὅθεν καὶ ἀνορεξίας αἰτίαι γίνονται.

Περὶ τῶν δι' ἄμετρον ψύξιν ἀνορεκτούντων.

Τούτοις οὖν τοῖς ἀνορεκτοῦσι διὰ ψύξιν, ὑδρόγαρον διδόναι, καὶ οἶνον παλαιὸν καὶ κονδῖτον, καὶ ζέματα, διὰ πηγάνου καὶ ἀνίσου, καὶ πολλάκις σκόρδα φαγεῖν, καὶ πίνειν ἀντιδότους ὅσαι πολὺ τὸ θερμαίνειν ἔχουσιν, ἐξ ὧν ἐστι μάλιστα καὶ ἡ θηριακὴ τὸ εὐστόμαχον ἔχουσα, καὶ τὸ ἐπικεραστικὸν τῶν κακοήθων, ὅθεν καὶ τοῖς ἔχουσιν ὑγρὰ περιττώματα καὶ κακοήθη, καὶ μοχθηρά, καλῶς αὕτη δίδοται ἡ ἀντίδοτος, ὥστε καὶ ἐν μιᾷ δόσει πολλάκις ἀπολλυμένην ἀνεκαλέσατο ὄρεξιν. καὶ δὴ καὶ τὸν ζωμὸν τῆς περιστερᾶς καὶ τῶν σταφίδων. ἔχουσαι γὰρ καὶ αὗται τὸ εὐστόμαχον καὶ τὸ ἐπικρατητικὸν τῶν κακοήθων, καὶ πεπτικὸν ἀπέπτων, καὶ πρὸς τὸ μὴ διαφθείρεσθαι ταχέως, καὶ τρέφουσιν. οὐδὲν δὲ τούτου κάλλιον, ὥστε καὶ τρέφειν δύνασθαι τὸ αὐτό, καὶ τὰς οὔσας ἅμα ἰᾶσθαι δυσκρασίας.

Περὶ δίψης. η'

Εἰδέναι δὲ δεῖ ὅτι καὶ κατὰ τὸν αὐτὸν τρόπον καὶ τὸ πίνειν συμβαίνει. ἀμετρότερον γὰρ ὀρέγονται, καὶ διψῶσι σφόδρα, ἢ διὰ ξηρότητα τοῦ στομάχου, ἢ διὰ θερμότητα πολλήν. ἔσθ' ὅτε δὲ οὐ διὰ τὸ στόμα μόνον τῆς γαστρὸς ἡ δίψα συμβαίνει τισίν, ἀλλὰ καὶ διὰ θερμὴν ἥπατος, καὶ πνεύμονος, καὶ νήστεως. ἡ μὲν γὰρ διὰ πνεύμονα δίψα οὐ τοσοῦτον ὑπὸ τῶν ψυχόντων ὠφελεῖται, ὅσον ὑπὸ τῆς τοῦ περιέχοντος εἰσπνοῆς. καὶ οἱ καυσώδεις δὲ τῶν πυρετῶν ἐπιφέρουσι πλείονα πόματος ὄρεξιν, διὰ τὴν ἄμετρον θερμασίαν. ὥσπερ οὖν διὰ δυσκρασίαν τινὰ γίνεται πολλάκις ἄμετρος δίψα, οὕτως εἰδέναι δεῖ ὅτι καὶ διά τινα γίνεται κακοχυμίαν ἀναπεμπομένην ἐν τῷ στόματι τῆς γαστρὸς σηπομένην. δεῖ οὖν οὐ μόνον τοῖς ἐμψύχειν δυναμένοις ἀποσμήχειν καὶ ἀποκαθαίρειν τὸν ἐν τῇ γαστρὶ περιεχόμενον χυμόν, ἀλλὰ καὶ ἄλλοις τοῖς πρὸς τὸν πλεονάζοντα χυμὸν ἐπιτηδείοις φαρμάκοις. εἰ μὲν οὖν χολώδης εἴη ὁ περιεχόμενος χυμός, προσφέρε τι τῶν δυναμένων ἐμψύξαι τε καὶ ὑγρᾶναι, ὥσπερ καὶ εἰ φλεγματώδης εἴη, καὶ ἁλμυρὸν τὸ πλεονάζον, καὶ ποιοῦν τὴν δίψαν, διὰ τῶν κα-

θαίρειν καὶ σμήχειν δυναμένων τὸν τοιοῦτον χυμόν. ἐγὼ γοῦν οἶδα τοιαύτην δίψαν ὑπὸ ἁλμυροῦ φλέγματος γινομένην, ὑπὸ τῶν ἁλμυρῶν παυσαμένην ἐδεσμάτων, οἷον, ταρίχου, καὶ * κρειαξοῦ, καὶ ἐγκατηρᾶς, καὶ καππάρεως. δεῖ οὖν μὴ πάντοτε τοῖς ἐμψύχουσι καὶ ὑγραίνουσι χρῆσθαι, ἀλλὰ διακρίναντας ἀκριβῶς καὶ διεγνωκότας, οὕτω χρῆσθαι τῇ καταλλήλῳ θεραπείᾳ. τοῖς μὲν οὖν διὰ ξηρότητα ἐνυγραίνοντα, τοῖς δὲ διὰ θερμότητα τὰ ἐμψύχοντα, τοῖς δὲ δι' ἁλμυρὸν φλέγμα τὰ σμήχοντα.

Πρὸς τὸν ἔχοντα τὸν στόμαχον διακαιόμενον, καὶ σφόδρα διψῶντα.

Ἀρχιγένης μὲν οὖν ὁ θειότατος, εἴπερ τις ἄλλος, ἐκμαθεῖν ὄντως τὰ κατὰ τὴν ἰατρικὴν θεωρίαν σπεύσας, ἐπὶ τῶν διακαιομένων τὸν στόμαχον, ψυχρὸν ὕδωρ ἐπιῤῥοφεῖν παρακελεύεται μάλιστα, καὶ τοῖς δακνομένοις αὐτὸν, καὶ λειποθυμοῦσι μετὰ θερμῆς ἄρα ἀνορεξίας, ὄμφακος χυλὸν, ἢ μήλων κυδωνίων, ἢ σικύου ἡμέρου σπέρμα μετὰ ψιχῶν, ἢ ῥοιᾶς γλυκείας ἢ ὀξείας χυλὸν, ἢ μεθ' ὕδατος ἐξ ἴσου, ἢ κλώνιον, ἢ ἡδυόσμου λεαίνας ἐν ὕδατι ψυχρῷ, ἢ ῥόδινον ἔλαιον ὁμοίως μετὰ ψυχροῦ, ἢ μετὰ περσικῶν, ἢ ῥόδων ξηρῶν ἀφέψημα, ἢ θρίδακος λευκῆς σπέρμα μεθ' ὕδατος κυ. δ'. ἡμεῖς δὲ καὶ συνθέτοις ἐχρησάμεθα, καὶ πεῖραν αὐτῶν οὐ μετρίαν εἰλήφαμεν· ὧν καὶ τὰς γραφὰς ἀφθόνως ὑμῖν ἐκθήσομεν, συνέχειαν ἐχούσας οὕτως. Ἄδιψα καταπότια. Σικύου ἡμέρου σπέρματος < η', τραγακάνθης < ς', διάλυε τὴν τραγάκανθαν ὠῶν προσφάτων τῷ λευκῷ, καὶ τρίψας, ἐπίβαλλε τὸ σπέρμα τοῦ σικύου, καὶ ψύξας, ἀνάπλαττε καταπότια, καὶ ξηραίνων εἰς σκιὰν, δίδου ὑπὸ τὴν γλῶτταν κατέχειν, καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω. Ἄλλο. Γλυκυῤῥίζης, σικύου ἡμέρου σπέρματος, ἀνδράχνης ἀνὰ < β', ὠῶν τὰ λευκὰ ἀναλάμβανε, καὶ ποίει ὀροβιαῖα μεγέθη, καὶ τίθει κάτωθεν ὑπὸ τὴν γλῶτταν. Ἄλλο πρὸς πυρέττοντας, οἷς ὀλιγοποτεῖν συμφέρει, καὶ εἰς τὰς ἐγκαύσεις, καὶ τὰς ἀνύδρους ὁδοιπορείας.

Γλυκυῤῥίζης χυλοῦ < α', ἐν ἄλλῳ < ς', σικύου ἡμέρου σπέρματος < δ', τραγακάνθης < β', λεαίνας καθ' ἓν μίσγε, καὶ παραχέων τὰ λευκὰ τῶν ὠῶν φύρα, καὶ ἀνάπλαττε καταπότια, καὶ χρῶ, ὑποβάλλων τῇ γλώττῃ, καὶ ποίει διακατέχειν.

Ἄλλο. Ἀνδράχνης σπέρματος, σικύου ἡμέρου σπέρματος, ἀνδράχνης ῥίζης φλοιοῦ ἀνὰ < δ', γλυκυῤῥίζης χυλοῦ < β', τραγακάνθης < δ', ὠῶν τοῖς λευκοῖς ἀναλάμβανε, καὶ ποίει τροχίσκους ἀνὰ < α', καὶ δίδου ἕνα ὑπὸ τὴν γλῶτταν διακρατεῖν.

Περὶ τῶν ἔξωθεν ἐπιτιθεμένων τοῖς διακαιομένοις τὸν στόμαχον. Ἐπιτιθέναι δὲ δεῖ ἔξωθεν, πληρώσας φῦσαν ὕδατος ψυχροῦ, ἢ χιόνος, ἐπιβάλλων κολοκύνθης ξέσματα, ἢ σήσαμον ὕδατι βρέξας καὶ λειώσας, ἕνωσον μετὰ ἐλαίου ῥοδίνου, καὶ κατάπλαττε πυρέττουσιν, ἢ μήλου φύλλα χλωρὰ, ἢ μῆλα κυδώνια, ἢ φοινικοβαλάνους, ἢ μέσπιλον μετὰ κηρωτῆς, ἢ τυρὸν ἁπαλὸν μετὰ ἀλφίτων κατάπλαττε, καὶ καθόλου πᾶσιν, ὡς ἐπὶ τῶν καρδιακῶν κέχρησο.

Περὶ τῶν χολὴν γεννώντων μέλαιναν, καὶ φυσωμένων τὸν στόμαχον.

Τοῖς φυσωμένοις τὰ ὑποχόνδρια καὶ τὸν στόμαχον, ἀναλυομένων τῶν μελαγχολικῶν περιττωμάτων, σπόγγους ἐν ὄξει δριμυτάτῳ βεβρεγμένους, εἴγε ἐπιμένοιεν, στυπτηρίαν ὑγρὰν μετὰ χαλκάνθου λείου, καὶ μέλιτι ὀλίγῳ ἀναλαβὼν ἐπιτίθει, ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλαττε, ἢ βόλβιτον ἀγελαίας ξηρὸν ἑψημένον ἐν οἴνῳ. τῷ δὲ ἐμπνευματουμένῳ μάλιστα τὸν στόμαχον, καλαμίνθης ἀφέψημα ἐξαφεισμένου

τοῦ ὕδατος, μίξας ὀλίγου μέλιτος καὶ πεπέρεως, δίδου ποτόν. πνεῦμα μὲν διαλύει, οὐ ποιεῖ δὲ πρὸς θερμὰς δυσκρασίας, καὶ τὰ ἐξ ὑποφορήσεως γινόμενα, ἀλλὰ μᾶλλον πρὸς τοὺς τὸν μελαγχολικὸν γεννῶντας χυμόν. Η διὰ τῆς ὀπώρας, ποιοῦσα πρὸς ἀνατροπὴν στομάχου, καὶ κοιλιακοῖς, καὶ δυσεντερικοῖς. Μῆλα κυδώνια, ῥοῦ ἐρυθροῦ ἀνὰ < α', ὕδατος ξε ζ', οὖα ν', μέσπιλα ν'. τὰς ὀπώρας θλάσας, καὶ βαλὼν εἰς τὸ ὕδωρ, ἕψε φιλοπόνως, καὶ ὅταν διαλυθῇ, ἔκθλιβε τὸ ὑγρὸν, καὶ πάλιν ἕψε, ἐκβαλὼν τὸ ἀχυρῶδες τῆς ὀπώρας, καὶ ὅταν τὸ τρίτον ὑπολειφθῇ, ἐπίβαλε μέλιτος ἀττικοῦ ξε δ', καὶ ἕψε ἐπ' ἀνθράκων, κινῶν συνεχῶς· καὶ ὅταν συστραφῇ, ἄρας ἀπόθου. ἡ χρῆσις, πρὸ τῆς τροφῆς < α' ἢ β'. Επίθεμα πρὸς στόμαχον ῥευματιζόμενον, καὶ ἐμπυρετοῖς, καὶ κωλικοῖς, οἷς τὰ τοῦ στομάχου συμπάσχει, καὶ ἀπορρίπτουσι τὴν τροφήν. Σμύρνης, κρόκου, ἀλόης, μαστίχης, ἀψινθίου χυλοῦ, στύρακος ἀνὰ γο α', κηροῦ, νάρδου, φοινίκων πατητῶν ἀνὰ ξε α' S'', οἴνου ἀδριανοῦ τὸ αὔταρκες εἰς τὴν τῶν φοινίκων ἀποβροχήν. τινὲς δὲ τοῦ κηροῦ καὶ τῆς νάρδου ἀνὰ γο γ' βάλλουσι, καὶ τοῖς ξηροῖς λελειωμένοις ἅμα τῷ στύρακι τήξαντες, μίσγουσι, καὶ ἐκλειώσαντες χρῶνται. ἡμεῖς δὲ ἀνὰ ξε α' βαλλόμεθα, καὶ γίνεται κάλλιον. Αλλο ποιοῦν πρὸς τοὺς ἀτονοῦντας τὸν στόμαχον, καὶ τοὺς μὴ δυναμένους κατέχειν τὴν τροφήν. Φοινίκων πατητῶν γο γ', οἰνάνθης κηροῦ ξε α', μαστίχης, λιβάνου ἀτόμου ἀνὰ γο α', οἴνου τὸ ἀρκοῦν. τὸν οἶνον μετὰ τῶν φοινίκων ἐκλειώσας, τὰ ξηρὰ συνέκλειου, ἔπειτα τήξας τὸν κηρὸν μετὰ νάρδου γο γ', ποιήσας κηρωτὴν, ἀναλάμβανε τὰ ξηρὰ λεῖα καὶ ἕνου.

Αλλο ἐπίθεμα στομάχου ὁμοίως στυπτικόν. Οἰνάνθης, ὀμφακίου, ῥόδων ἄνθους, ἀλόης ἡπατίτιδος, ἀκακίας, κηκίδος, βαλαυστίων, ἐριᾶς, φοινικοβαλάνου, κηροῦ τετράκτου, ἐλαίου σχινίνου ἀνὰ γο ς', οἴνου ἀπαθίτου τὸ ἀρκοῦν, μήλων κυδωνίων πεπλασμένων στέατι, καὶ ὠπτημένης τῆς σαρκὸς γο γ', κρόκου, ἀψινθίου ἀνὰ γο α' S'', μυρομηλίνου γο η', οἴνῳ εὐώδει φυράσας, χρῶ. Αλλο πρὸς στόμαχον ῥευματιζόμενον, καὶ κοιλιακόν. Κηκίδος ὀμφακίτιδος < η', νίτρου < ς', ἀλκυονίου < η', ἐν ἄλλῳ < α', σέρεως γο γ'. Αλλο. Σταφίδων ἀφέψημα δὸς πίνειν, καὶ τὰς σταφίδας δὸς φαγεῖν. Περὶ ἀντιδότων, πρὸς τοὺς διὰ ψυχρὰν δυσκρασίαν ἀπεπτοῦντας τὴν τροφήν. Αριστόν ἐστι βοήθημα καὶ διὰ στόματος διδόμενον τοῦτο, καὶ πλείστην δεδωκὸς πεῖραν· ξενίου γο η', μαράθρου σπέρματος γο ς', πεπέρεως γο β', πετροσελίνου σπέρματος γο α', μέλιτος ἀττικοῦ ὠμοῦ καλλίστου ξε β'. ἐὰν δὲ μὴ παρῇ, ἑτέρου ἀπηφρισμένου. ἐγὼ δὲ προσέθηκα καὶ εὐζώμου σπέρμα γο β', καὶ μετὰ πάντα μοι ἀπέβη κάλλιστα. ἔμιξα δὲ καὶ σίνωνος συριακοῦ < β', σεσέλεως < β', καὶ τοῦ μέλιτος γο ς', ἢ * περισσοτέρας. μέγιστόν ἐστι ποῦ τὸ βοήθημα, καὶ εἰς πολλὰ χρήσιμον. οὐ μόνον γὰρ τοῖς φυσωμένοις τὸν στόμαχον καὶ ἀπεψίας ὑπομένουσι πεποίηται, ἀλλὰ καὶ τῶν γυναικῶν ἄγει τὰ καταμήνια. ἐχρησάμην δὲ ἐγὼ καὶ ἐπὶ δυσπνοϊκῶν, καὶ παραδόξως ἐποίησε. ἡ δόσις κο β' ὄρθρῳ, καὶ εἰς κοίτην δίδοται, καὶ διὰ κράματος. ποιεῖ δὲ τὸ κρᾶμα ὡσανεὶ νέκταρ· πεφοὶ δὲ δι' ὕδατος. ποιεῖ γὰρ τὰς ἐρυγὰς ἡδίστας, καὶ ἐπὶ πάσης βηχὸς, καὶ τοῖς ἀπὸ κεφαλῆς τὸν θώρακα ῥευματιζομένοις, καὶ καθόλου ἐπὶ πασῶν τῶν ἐντὸς διαθέσεων. ποιεῖ καὶ ὄρεξιν ἐπιτεταμένην οἷς τὰ τῆς ὀρέξεως ἀπώλετο, καὶ τοῖς τὰ ἀφροδίσια παραβεβλαμμένοις, διεγείρει τὰς ὀρέξεις τοῖς ἐπιμόνως αὐτῇ χρωμένοις. Αλλο πρὸς τὰς αὐτὰς διαθέσεις, τὸ διὰ μήλων. Μήλων κυδω-

νίων καθαρθέντων καὶ ἐκπεπιεσμένων, μετὰ τὸ κοπῆναι ℔ γ', ζιγγιβέρεως Γο γ', μήλι-
τος ℔ α' S'', δεῖ ἑψῆσαι τὸν χυλὸν μετὰ τοῦ μέλιτος ἄχρι συστάσεως μελιτώδους. εἰ δὲ οὕ-
τως ἐπιβάλλειν τὰ ξηρὰ κεκομμένα, καὶ κεκοσκινισμένα λεπτῷ κοσκίνῳ. καὶ γὰρ χρησι-
μώτατόν ἐστι τοῦτο βοήθημα, καὶ τοῖς ἧπαρ πάσχουσι, καὶ ποτὲ μὲν οὕτω, ποτὲ δὲ ἄνευ
τῶν ξηρῶν. ἐπὶ τῶν θερμῶν δυσκρασιῶν ἀντὶ ἑψομέλιτος αὐτῷ χρώμεθα, καὶ μάλιστα
ἐφ' ὧν εὐλαβούμεθα τὸν οἶνον ἐπιδιδόναι.

θ' Πρὸς στόμαχον ἀφεμοῦντα τὴν τροφήν.

Αλόης Κο ι', λεάνας δίδου Κο γ' ἢ δ'. εἰ δὲ ἀποκαθάραι θέλεις τὸν ἐν τῷ στομάχῳ χυ-
μόν, προσέμπλεξον μαστίχης Γο S''. ἀποκαθαίρει γὰρ πάνυ καλῶς καὶ ἀλύπως.

ι' Πρὸς ἐμπνευματώσεις τοῦ στομάχου καὶ ἐντέρων ποιοῦν, πρὸς ἀπεπτοῦν-
τας, ἡπατικούς, βηχικούς, καὶ μάλιστα ἐφ' ὧν ψυχρὸν τὸ αἴτιον.

Πεπέρεως Γο γ', λιβυστικοῦ, ἄμμεως ἀνὰ Γο α' S'', ἀνίσου ἀνὰ Γο β', ἐπιθύμου καθα-
ροῦ σπέρματος, γλήχωνος ξηροῦ ἀνὰ Γο α', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. τινὲς
δὲ αὐτῷ καὶ σελίνου σπέρματος Γο α' προσέπλεξαν, καὶ πηγάνου σπέρματος Γο S''.
ἡ δόσις * Κο α'. Αλλο ποιοῦν πρὸς ἐμπνευμάτωσιν, καὶ πόνον, καὶ πᾶσαν ὀδύνην
στομάχου. Οποῦ μήκωνος < β', πεπέρεως, καστορίου ἀνὰ < α', πετροσελίνου < δ',
νάρδου συριακῆς < α', χνοώδη ποιήσας, ἐπίπλασσε ὅσον Κο α', ὕδατος θερμοῦ Κο α'
S'', μέλιτος τὸ ἀρκοῦν. εὔκρατον ποιήσας, πότιζε πρὸ κοίτης, καὶ εἰς κοίτην. τοῖς εὐ-
εκτοῦσι δὲ πλέον δίδου. ἀνώδυνός τε γάρ ἐστι καὶ πεπτική, καὶ μάλιστα πρὸς τὰς
κοιλιακὰς γυναῖκας, καὶ ἄνδρας κοιλιακούς, ἐμπνευματώσεις τε καὶ ὠμότητας, καὶ
πρὸς τὰς τῶν πυρετῶν καὶ ὑποχονδρίων ἀλγηδόνας, καὶ πρὸς τοὺς ἐξ ὠμοτήτων πυ-
ρετούς, καὶ βῆχας. πλευρῶν ἀλγήματα, καὶ σπάσματα, καὶ ὅπου χρὴ οὖρα κινῆσαι.

Αλλη ἀντίδοτος καλλίστη. Ναρδοστάχυος, πεπέρεως ἀνὰ Γο α', κασίας σύριγγος, κό-
στου ἀνὰ Γο β', δίδου δι' ὕδατος, νυκτός. καὶ ποιεῖ οὐ μόνον στομαχικοῖς, ἀλλὰ καὶ ἡπα-
τικοῖς καὶ νεφριτικοῖς, καὶ χρῶ θαρρῶν τῷ βοηθήματι. Αλλο πρὸς τὸ αὐτό. Πε-
πέρεως, πετροσελίνου ἀνὰ Γο α', κυμίνου Γο S'', δίδου μετὰ βαλανείον. Στομαχικὸν ποι-
οῦν καὶ πρὸς κῶλον. Ιενὶν ἰλλυρικὴν κόψας, καὶ σήσας, δὸς πιεῖν νήστει μετὰ ὕδατος θερμοῦ,
δειπνήσαντι δέ, μετὰ οἴνου κεκραμένου. ἔστω δὲ ἡ δόσις ℥ γ'. μὴ αὐτοῦ καταφρονήσης.
καλῶς γὰρ ποιεῖ. Αλλο ποιοῦν καὶ πρὸς τὰ ἄλλα πάθη. Λιβυστικοῦ, ἄμμεως, σελί-
νου σπέρματος, ῥέου ἀνὰ < γ', πεπέρεως κόκκοι λ', μέλιτος τὸ ἀρκοῦν. δίδου νήστει καὶ εἰς
ὕπνον τρεπομένῳ. Αντίδοτος στομαχικὴ ἡ πικρά. Σχίνου ἄνθους, ξυλοβαλσά-
μου, μαστίχης, ναρδοστάχυος, ἀσάρου, κρόκου ἀνὰ < α' S'', κινναμώμου ἀληθινοῦ < ς',
κασίας < γ', ἀλόης ἡπατίτιδος * < ρ'. Αλλο στομαχικόν, ποιοῦν καὶ πρὸς
ἐμπνευμάτωσιν. Πετροσελίνου, μακεδονικοῦ σπέρματος, κυμίνου ἀνὰ Γο η',
λαμβανέτω νῆστις, καὶ ἑσπέρας μετὰ ὀλίγου εὐκράτου.

ια' Περὶ καρδιακῆς διαθέσεως.

Καὶ ἡ καρδιακὴ διάθεσις, τοῦ στομάχου πάθος ἐστί. συμβαίνει δὲ τοῦτο, εἰ μοχθηροὶ καὶ δα-
κνώδεις καὶ ἰώδεις ἀθροισθῶσιν ἢ συῤῥεύσωσιν ἐν τῷ στόματι τῆς γαστρὸς χυμοί. ἐὰν

οὖν εὑρεθῶσί τινες ἔχοντες τὸ τῆς γαστρὸς αἰσθητικὸν τὸ στόμα, παραυτίκα ἀπόλλυνται, μὴ δυνηθέντες ὑπενεγκεῖν τὴν ἄμετρον δῆξιν τῶν χυμῶν. πολλάκις δὲ καὶ ἕλμινθες ἐκ τῶν κάτω μερῶν ἀναδραμόντες ἐπὶ τὸ στόμα τῆς γαστρὸς, ἐργάζονται καρδιακὰς διαθέσεις, καὶ λειποθυμίας ἀμέτρους, καὶ συγκοπάς· ὥστε τινὰς παραυτίκα ὑπὸ ἑλμίνθων δακνομένους ἀπόλλυσθαι. διὰ τοῦτο οὖν χρὴ μὴ πάντοτε νομίζειν ὑπὸ μοχθηρῶν χυμῶν γίνεσθαι αἰφνιδίους συγκοπὰς τοῦ στόματος τῆς γαστρὸς, ἀλλὰ καὶ τὰ τῶν ἑλμίνθων σημεῖα ζητεῖν. οὕτω γὰρ καὶ τὰ θηρεῖα ταῦτα θανάτους αἰφνιδίους ἐργάζονται, καὶ συγκοπὰς οὐδὲν ἧττον τῶν ὀλεθρίων χυμῶν.

Περὶ καρδιαλγίας. ιβ΄

Τοῖς οὖν ἔχουσι μοχθηροὺς καὶ δακνώδεις ἐν τῷ στόματι τῆς γαστρὸς χυμοὺς, καὶ διὰ τοῦτο συγκοπῆναι κινδυνεύουσιν, ἁρμόζει πρῶτον αὐτοῖς ἁπάντων ἐκεῖνα τῶν ἐδεσμάτων προσφέρειν, ὅσα μετὰ τοῦ ψύχειν, ἔτι τε καὶ τὸ ῥωννύειν δύναται τὸ μόριον ἐκλυόμενον. ἐμψύχουσι τοίνυν καλῶς καὶ ῥωννύουσιν οἵ τε τῆς ῥοιᾶς κόκκοι ἐσθιόμενοι, καὶ ὁ χυλὸς αὐτῶν, καὶ μῆλα δὲ τὰ μὴ πάνυ γλυκέα, ἀλλὰ μετρίως στύφοντα, καὶ οἱ ἄπιοι, καὶ περσικὰ, καὶ ῥοδάκινα, καὶ ἡ αὐστηρὸν καὶ ψυχρὸν ἔχουσα σταφυλὴ, καὶ ἄρτος εἰς ὕδωρ ψυχρὸν καὶ εἰς εὔκρατον, εἴπερ οἱ πάσχοντες ἦσαν τῇ κράσει θερμοὶ πάνυ. καὶ οἱ περιεχόμενοι χυμοὶ δακνώδεις καὶ δριμεῖς ἄγαν. τούτοις μὲν οὖν κατ᾽ ἀρχὰς δεῖ κεχρῆσθαι πρὸς τὴν καρδιαλγίαν. λοιπὸν δὲ δεῖ προστιθέναι κατὰ μέρος αὐτοῖς, ὅσα δυσμετάβλητά εἰσι, καὶ δύνανται πρὸς τὰ δακνώδη ἀντέχειν καὶ δριμέα τῶν λυπούντων χυμῶν, οἷόν ἐστιν ἥ τε βούλβα * καλουμένη, καὶ τὸ στέρνιον, καὶ ἀστακοὶ, καὶ ἰσικοὶ, καὶ κτένια, καὶ κηρύκια, καὶ κοιλίαι χηνῶν, καὶ πόδες συῶν, καὶ ἁπλῶς ὅσα δύνανται μὴ διαφθείρεσθαι ταχέως, ἀλλὰ καὶ μάχεσθαι καὶ νικᾶν τὴν κρατοῦσαν κακοχυμίαν. δεῖ δὲ τούτοις καὶ μετὰ τὸ παύσασθαι τῆς ἐπικρατούσης διαθέσεως, ἀεὶ ταχύτερον συμβουλεύειν ἐσθίειν. οὐδὲν γὰρ αὐτοῖς οὕτω συμβάλλεται, ὡς τὸ μὴ βραδυσιτεῖν, ἀλλὰ περὶ ὥραν τρίτην ἢ τετάρτην ἄρτον εἰς εὔκρατον λαμβάνειν, ἢ εἰς ὕδωρ ψυχρὸν, ἢ μῆλον, ἢ κίτρον, ἐκτὸς τοῦ λέπους αὐτοῦ. ταῦτα μὲν ἁρμόζει τοῖς τὴν καρδίαν ὑπομείνασι. τῶν δὲ βοηθημάτων ἐστὶν αὐτοῖς ἐπιτήδειον τὸ γλυκὺ λεγόμενον φάρμακον, οὗπερ ἡ σκευασία ἔχει οὕτως· ὄξους ξε. α΄ S΄΄, μετὰ θέρου Γο α΄, ἀλόης Γο γ΄, μέλιτος ἀττικοῦ λί. α΄ S΄΄, ἡ δόσις κοχ. β΄ ἢ γ΄. μαλάττει καὶ τονοῖ τὴν γαστέρα. τοῦτο τὸ βοήθημα κάλλιστόν ἐστιν. οὐ μόνον γὰρ ἰᾶται καρδιαλγίαν, ἀλλὰ καὶ ἀρχομένας ἐπιληψίας, καὶ ὑποχονδριακὰς διαθέσεις, καὶ ἄλλα πλεῖστα, ὧν οὐκ ἔστι καιρὸς μνημονεύειν νῦν. οἶδα δὲ ὅτι καὶ ἡ διὰ ἀνακαρδίων πρὸς τὰ τοιαῦτα ποιεῖ, καὶ ἡ πικρά. ἀλλ᾽ οὐδὲν οὕτως ὡς τὸ βοήθημα τοῦτο. τοσαῦτα περὶ τῆς καρδιακῆς διαθέσεως εἰρήσθω τῆς γινομένης ἐπὶ δήξει τῶν δακνόντων καὶ μοχθηρῶν χυμῶν. λοιπὸν δὲ καὶ περὶ τῶν ἄλλων εἴπωμεν τῶν συμβαινόντων ἐν τῷ στόματι τῆς γαστρὸς συμπτωμάτων, ἢ διὰ ποιότητα, ἢ διὰ ποσότητα πλεοναζόντων χυμῶν.

Περὶ ναυτίας καὶ ἐμέτου. ιγ΄

Ἓν μέντοι σύμπτωμα καὶ ὁ ἔμετος εἶναι δοκεῖ, καὶ ἡ ναυτία. γίνεται δὲ ὑπὸ διαφόρου αἰτίας

ἕκαστον αὐτῶν. καὶ γὰρ ὑπὸ πλήθους, καὶ ὑπὸ μοχθηρᾶς καὶ δακνώδους ποιότητος. ἀλλὰ τὸ μὲν πλῆθος κινεῖ τὴν φύσιν εἰς ἔμετον, τῷ βαρύνειν· οἱ δὲ μοχθηροὶ χυμοί, τῷ δάκνειν καὶ ἀνιᾶν. γινέσθω οὖν σοι σκοπός, τοὺς μὲν πολλοὺς κενῶσαι, τοὺς δὲ μοχθηροὺς καὶ κακοχύμους ἐπικεράσαι καὶ πραῦναι, καὶ ἀσθενεῖς αὐτοὺς ποιῆσαι τῆς ἑαυτῶν κακίας· καὶ μάλιστα, ἐὰν ὦσι χολώδεις καὶ μελαγχολικοί· τοὺς δὲ φλεγματικοὺς λεπτῦναι, ἐὰν σοι παχεῖς καὶ γλίσχροι φαίνωνται. εἰ μὲν οὖν ἐν τῇ γαστρὶ μόνῃ πλεονάζουσιν ὠμοὶ χυμοί, καὶ μὴ καθ' ὅλου τοῦ σώματος ἐπιρρέουσι, οὐ δεῖ τούτους φαρμακεύειν. ἀρκεῖ γὰρ αὐτοῖς καὶ μόνη δίαιτα τελείαν παρασχεῖν θεραπείαν, καὶ μεταβάλλειν τοὺς ἐν αὐτῇ περιεχομένους χυμούς. εἰ δὲ ἐξ ὅλου τοῦ σώματος ἐπιρρεῖ τῇ γαστρί, τηνικαῦτα χρὴ βοηθημάτων μειζόνων. ἔσθ' ὅτε γὰρ καὶ φλεβοτομίας χρεία, εἰ φαίνοιτό σοι πλεονάζειν αἷμα, καὶ καθάρσεως, ἐὰν ὑπάρχῃ κακοχυμία πολλή. εἰ δὲ ἀμφότερα φαίνοιτο πλεονάζοντα, καὶ φλεβοτομεῖν καὶ καθαίρειν. εἴπωμεν οὖν πρότερον περὶ τῶν ἐν τῇ γαστρὶ περιεχομένων, εἶτα οὕτω περὶ τῶν ἐξ ὅλου τοῦ σώματος ἐπιρρεόντων ἐν αὐτῇ.

Θεραπεία ἐμέτου καὶ ναυτίας.

Διαγινώσκειν οὖν δεῖ πρότερον, εἴτε * προσαπεπλεγμένοι εἰσὶν οἱ χυμοί, εἴτε περὶ τοὺς πόρους ἀναπεμπόμενοι, εἴτε περὶ τὸ κύτος * ἐμπλέκοντες. εἰ μὲν ὀξώδους ὁ κάμνων αἴσθησιν ἔχει ποιότητος, γινώσκειν δεῖ μᾶλλον ψυχρὸν εἶναι τὸν λυποῦντα χυμόν. πότερον δὲ ἐν τοῖς πόροις ἀναπεμφθέντα, ἢ ἐν τοῖς χιτῶσι προσαπεπλᾶσθαι, ἢ ἐπιπολάζειν καὶ νήχεσθαι περὶ τὸ κύτος τῆς γαστρός, πολυπραγμονεῖν δεῖ, καὶ γινώσκειν τὸν τρόπον τῆς ἐκκρίσεως. εἰ μὲν γὰρ φαίνοιτό σοι μετὰ τὸ γενέσθαι τὴν ναυτίαν, τὸν ἔμετον ἐπακολουθοῦντα εὐθέως καὶ ἀβιάστως, ἀναμφιβόλως γίνωσκε περὶ τὴν εὐρυχωρίαν εἶναι τῆς γαστρὸς τὸν λυποῦντα χυμόν. εἰ δὲ ναυτία μὲν γένοιτο, μηδὲν δὲ ἀναφέροιτο δι' ἐμέτων ἄξιον λόγου, γίνωσκε τὸ στόμα τῆς γαστρὸς ἀναπεπῶσθαι τοὺς λυποῦντας χυμούς, ἢ χολώδεις ὄντας, ἢ ὀρρώδεις, ἢ προσαπεπλᾶσθαι γλίσχρους ὄντας, ἐν αὐτῷ τῷ στόματι τῆς γαστρός, ἐπειδὴ πολλάκις συμβαίνει τὴν μὲν γαστέρα μηδὲν ἔχειν περιττόν, εἰς αὐτὴν δὲ ἐπιδέχεσθαι ἐξ ἑτέρων μορίων, ἢ ἥπατος, ἢ σπληνός, ἢ τινος ἄλλου, εἶτα βαρυνομένην ἢ δακνομένην, ἐπιχειρεῖσθαι πρὸς ἔμετον. ἀναγκαῖον δέ ἐστι καὶ τοῦτο διακρίνειν.

Διάγνωσις πότερον ἐν τῇ γαστρὶ τίκτεται ὁ ἐμούμενος χυμός, ἢ ἑτέρωθεν ἐπιρρεῖ.

Εἰδέναι δὲ δεῖ ὡς εἰ μὲν ἔμειται συνεχέστερον καὶ μετὰ ἐπιτάσεως, μηδὲν ἀξιόλογον διάλειμμα ἔχων, τὸν ἐμούμενον χυμὸν μᾶλλον ἐν τῇ γαστρὶ λαμβάνειν τὴν γένεσιν. εἰ δὲ διάλειμμα φαίνοιτο ἀξιόλογον, καὶ οὐδὲ πυκνότερον ἐνοχλῶν, δεῖ μᾶλλον ἐξ ἑτέρων ὑπονοεῖν τὸν ἐμούμενον ἐπιρρεῖν. σκόπει οὖν τὴν ὅλην ἕξιν τοῦ σώματος, καὶ τὰ ἄλλα σημεῖα, καὶ οὕτω πρὸς τὴν θεραπείαν ἔρχου, εἴτε φλεβοτομίαν, εἴτε κάθαρσιν παραλαμβάνων. ἀμήχανον γὰρ ἢ τὸν ἐπιγινόμενον χυμόν, ἢ ἔμετον, ἢ τὴν ἐνοχλοῦσαν παύσασθαι ναυτίαν, εἰ μὴ τὸ πᾶν ἀπέριττον ἐργάσῃ τὸ σῶμα πρότερον, εἴπερ αὐτὸ τὴν αἰτίαν ἔχει τῆς ἐπιρροῆς.

Θεραπεία τοῦ χολώδους ἢ μελαγχολικοῦ αἰτίου ποιοῦντος τὸν ἔμετον ἢ τὴν ναυτίαν.

Ἐπειδὰν οὖν ἀκριβῶς θεωρήσας εὕρῃς εἶναι χολῶδες τὸ τικτόμενον ἐν τῷ στομάχῳ, καὶ τὴν ναυτίαν, ἢ τὸν ἔμετον ποιοῦν, ἐπικεραστικῇ κεχρῆσθαι ἀγωγῇ πρῶτον. εἶτα μετὰ τὸ ἐπικεράσαι, δεῖ πραΰνειν τὸ δριμὺ τοῦ μοχθηροῦ χυμοῦ, καὶ οὕτως ἔρχεσθαι ἐπὶ τὸ ἀπορρίπτειν αὐτόν, ἢ διὰ γαστρός,

στρός, ἢ δι' ἐμέτων κενοῦντα. δίδου τοίνυν αὐτοῖς τὸν τῆς πτισάνης χυλὸν, ἀμφότερα ποιεῖν δυνάμενον, καὶ πραΰναι τὸ δριμὺ, καὶ ἀποκαθάραι καὶ ῥύψαι. κενοῖ μὲν γὰρ καὶ ὑδαρὲς μελίκρατον, καὶ ἀπορρίπτει τὰ ἐν τῷ στομάχῳ, ἀλλ' ἔχει τι θερμόν. εἰ μὲν οὖν ἡ κακοχυμία φαίνεται εἶναι μᾶλλον ζέουσα καὶ δριμυτέρα, ὥστε καὶ πυρετὸν ἐπιφέρειν, φεῦγε μὲν τὸ μελίκρατον, καὶ εἴ τι ἄλλο θερμόν ἐστι καὶ ῥύπτειν δυνάμενον. κέχρησο δὲ τῷ τῆς πτισάνης χυλῷ, ἢ τῷ εὐκράτῳ. καὶ γὰρ εἰ μὴ τὸ ῥυπτικὸν ἔχει, ἀλλ' οὖν ὑγραίνει καὶ χαλᾷ τοὺς πόρους, καὶ εἰς εὐκρασίαν ἄγει, καὶ ἀμβλύνει αὐτῶν τὸ δριμύ. κατὰ τοῦτο οὖν μεγάλως ὠφελεῖ. λοιπὸν δὲ οὐ καθ' ἑαυτὸ ἐμεῖται, ἀλλὰ πάντως, ἢ τῆς ποιότητος αὐτῶν, ἢ τῆς οὐσίας μετειληφὸς ἀναφέρεται. καὶ τοῦτο δὲ ὁρῶμεν ἐπὶ τῇ ῥυπτικωτάτῃ ποσίᾳ γινόμενον. καὶ γὰρ καὶ * αὐτὴ οὐ καλῶς ἀποκαθαίρει τὸ ὕδωρ, καὶ συνεφέλκεται αὐτό, εἰ μὴ τὸ ὑγραίνειν καὶ τὸ διαλύειν τὸ ξηρὸν τοῦ περιττώματος εἶχεν, ἅμα τῷ χαλᾶν καὶ ἀνευρύνειν μεμυκότας τοὺς πόρους. ὥστε ἐφ' ὧν χολῶδες εἴη καὶ μελαγχολικὸν τὸ ὀχλοῦν, ὑπὲρ ἅπαντα δύναται ἡ τοῦ εὐκράτου δόσις. εἰ γὰρ γλίσχρον καὶ ἰσχυρῶς προσπεπλασμένον, μικρᾶς προσδεῖται προσθήκης ἔξωθεν, εἰς τὸ παχύτερον ἀποδοθῆναι καὶ μόνον, ἀλλὰ λύειν. εἰ δὲ τὸ εὔκρατον τὸ προσπεπλασμένον, καὶ ἰσχυρῶς ἐνισχόμενον φλέγμα, καὶ μάλιστα, εἰ ἁλμυρὸν ᾖ καὶ χρόνιον, καὶ ἀπὸ ἀκαίρου δόσεως ξηρῶν φαρμάκων καὶ θερμῶν, ὡς ποιοῦσιν οἱ πολλοί, κατοπτώμενον καὶ σκληρὸν γινόμενον. εἰ δὲ μὴ ὦσιν ἄγαν οἱ χυμοὶ χολώδεις, πυρετὸς δὲ ἐνοχλῶν φαίνοιτο, τηνικαῦτα τῷ μελικράτῳ χρῶ, καὶ τοῖς ἐπὶ πλέον ἀποσμήχειν δυναμένοις. εἰ δὲ καταφρονῶν τῆς διαίτης ὁ χυμὸς φαίνοιτο, λοιπὸν καὶ βοηθήμασι κέχρησο, ἢ τῇ πικρᾷ λεγομένῃ ἀντιδότῳ. ἰσχυροτέρως γὰρ αὐτὴ καθαίρειν δύναται τὰ ἐπὶ πλέον ἐσφηνωμένα χολώδη καὶ μελαγχολικὰ περιττώματα. ἀκριβῶς δὲ κατανοεῖν δεῖ τὸν μέλλοντα παρέχειν τι φάρμακον, μή ποτε ἄρα θερμὴ δυσκρασία ἐπικρατεῖ ἐν τοῖς στερεοῖς μορίοις. εἰ γάρ τι τοιοῦτον εἴη, καὶ θερμῶν ὄντων καὶ ξηρῶν τῶν μορίων, ἐπιδώσει τις αὐτὴν, ἐκτικῶν διαθέσεων καὶ μαρασμῶν αἴτιος γίνεται. δεῖ οὖν αὐτὴν διδόναι τοῖς ἔχουσι μοχθηρὰν ἀναπεμπομένην ὕλην, ἐκτὸς τοῦ εἶναι τὰ στερεὰ φύσει ξηρά.

Θεραπεία φλέγματος προσπεπλασμένου ἐν τῷ στομάχῳ καὶ ποιοῦντος ναυτίαν.

Οὕτω μὲν εἰ χολῶδες εἴη καὶ μελαγχολικὸν, δεῖ ποιεῖσθαι τὴν θεραπείαν. εἰ δὲ ὀξῶδες καὶ γλυκὺ φλέγμα προσπεπλασμένον φαίνοιτο, τηνικαῦτα δηλονότι τοῖς λεπτύνουσι δεῖ κεχρῆσθαι φαρμάκοις, καὶ μάλιστα τῷ ὀξυμέλιτι, καὶ ῥαφανίσι, καὶ καππάρει, καὶ σινήπει, καὶ κοριαξῷ, καὶ διὰ τῶν κυδωνίων μήλων ἔχοντι τὸ ζιγγίβερι, καὶ μακεδονικὸν πετροσέλινον. ὑπὸ γὰρ τῶν τοιούτων συμπέττεται πᾶς ὁ φλεγματώδης καὶ ὠμὸς χυμός. τούτοις καὶ ἡ σύμμετρος ἀσιτία συμμεταβάλλεται, καὶ ὕπνος, καὶ ἡσυχία. πολλάκις γὰρ διαιτωμένων αὐτῶν, οὐ μόνον ἀλλοιοῦται καὶ λεπτύνεται, ἀλλὰ καὶ εἰς αἷμα εὔχρηστον συμμεταβάλλεται, ὥστε καὶ τρέφειν ἐν ἀπορίᾳ τῶν τοιοῦτον δύνασθαι χυμὸν, εἰ ὀξώδης εἴη καὶ * γλυκὺς προσφέρεσθαι. εἰ δὲ ἁλμυρὸν εἴη τὸ προσπεπλασμένον φλέγμα, σκόπει πάλιν πόθεν ἐστὶν ἁλμυρόν. φαίνεται γὰρ ἔσθ' ὅτε καὶ διὰ ἐπιμιξίαν ὀρρώδους οὐσίας ἁλμυρόν. ἔστι δὲ ὅτε οὐ διὰ τοῦτο, ἀλλὰ καὶ θερμὴν δυσκρασίαν ὀπτῶσαν αὐτό. πάντοτε γὰρ τὸ φλέγμα θερμαινόμενον, καὶ ἁλμυρὸν καὶ παχύτερον γίνεται. εἰ μὲν οὖν ἁλμυρόν σοι φαίνοιτο διὰ θερμὴν δυσκρασίαν γεγονός, ὑγραινούσῃ καὶ εὐκράτῳ μᾶλλον ἀγωγῇ κέχρησο. ὑπὸ γὰρ τῶν θερ-

μαινόντων, οὐ διαλύεται, ἀλλ' ὑπὸ τῶν ὑγραινόντων, καὶ ψυχόντων, ὥσπερ καὶ ἅλες, καὶ νίτρον. ταῦτα γὰρ ὡς ὑπὸ θερμότητος ἐσχηκότα τὴν πῆξιν, οὐχ ὑπὸ τοῦ πυρός, ἀλλ' ἐκ τοῦ ὕδατος ἀναλύεσθαι δύνανται. οὕτω μὲν εἰ φλέγμα πεπλασμένον εἴη, θεραπεύεσθαι δεῖ. Θεραπεία ὀρρώδους καὶ λεπτοῦ χυμοῦ ἐμπλασθέντος ἐν τῷ στομάχῳ. Εἴπερ ὀρρῶδες εἴη καὶ λεπτόν, καὶ μὴ ἄγαν ἐμπεπηγὸς ἐν τῇ γαστρί, οὐ χρὴ πολυπραγμονεῖν, ἀλλ' ἀρκεῖ καὶ μόνῳ χρήσασθαι ἐμέτῳ διὰ πλείονος εὐκράτου πόσεως, ἢ χυλῷ πτισάνης ἀπέριττον ἐργάσασθαι τὴν γαστέρα. εἰ δὲ ὑπὸ τῆς πολλῆς ὑγρότητος ἀσθενέστερόν σοι φανείη καὶ ἔκλυτον, καὶ οἱονεὶ παρὰ τὸ στόμα γεγονὸς τῆς κοιλίας, καὶ διὰ τοῦτο ἀσθενεῖν καὶ πλεῖον ἐθέλειν ἐμεῖν τὴν τροφήν, τηνικαῦτα τοῖς ἠρέμα ὑποξηραίνουσι κέχρησο, καὶ στύφειν ἠρέμα δυναμένοις. οἷόνπερ ἐστὶ καὶ τὸ κυδώνιον μῆλον αὐτὸ καθ' αὑτὸ ἐσθιόμενον ὀπτόν, περιπλασθὲν ζύμῃ, καὶ τὸ σιώτεζον ἐξ αὐτοῦ σκευαζόμενον, ὥσπερ ἀντὶ πλακοῦντος ἅπαντες κέχρηνται, καὶ διαφόρως αὐτοῦ σκευασίας ποιοῦσιν. οἱ μὲν γὰρ μόνον ἐπιβάλλουσι πέπερι, οἱ δὲ καὶ ζιγγίβερι καὶ πετροσέλινον καὶ κόστον, ἄλλοι δὲ καρυόφυλλον. ἀλλὰ ταῦτα μὲν πλέον τοῦ δέοντος φαρμακώδη. χρήσιμον δὲ τὸ λαμβάνον πέπερι, καὶ ζιγγίβερι. ἀρκεῖ γὰρ καὶ ταῦτα ῥῶσαι καὶ θερμᾶναι τὸ μόριον, ὧνπερ ἀμφοτέρων τὸ θερμόν ἐστι καὶ δριμὺ τὸ ἐπισημαινόμενον ἐν τῷ στομάχῳ καὶ ἐν τῇ γαστρὶ περίττωμα. εἰ δὲ λεπτὸν ἄγαν καὶ δριμὺ φαίνοιτό σοι τὸ πλεονάζον εἶναι, φείδου μὲν τῶν θερμῶν, πειρῶ δὲ προσφέρειν ὅσα ῥωννύειν καὶ στύφειν οἶδε, μηδὲν ἔχοντα σαφῶς θερμαίνειν δυνάμενον. οἷόν ἐστι τὸ διὰ κυδωνίων μήλων τὸ ἁπλοῦν, ὅπερ ἀπὸ τοῦ χυλοῦ μόνου τοῦ κυδωνίου μήλου, καὶ μέλιτος σκευάζεται. πάνυ γὰρ οἶδε τοῦτο καὶ ῥωννύειν καὶ ἐπικιρνᾶν ἅπαντα τὰ χολώδη καὶ δριμέα περιττώματα. καὶ διὰ τοῦτο κατάλληλον ἀτονοῦντι, καὶ θερμῷ, καὶ εἰς χολὴν μεταβάλλοντι. τούτοις καὶ τὰ κάστανά ἐστιν ἐπιτήδεια, καὶ μέσπιλα, καὶ οὖα πάνυ πέπειρα, καὶ κύαμοι ἑψηθέντες ἐν ὀξυκράτῳ, καὶ ἄλιξ, καὶ τὸ ἀπὸ τοῦ φασίου πιστάκιον, καὶ ἁπλῶς, τὰ ῥωννύειν ἠρέμα καὶ ὑποστύφειν σὺν τῷ ὑποξηραίνειν δυνάμενα, οὐ μόνον ἐν τροφῇ, ἀλλὰ καὶ ἐν φαρμάκοις.

ιδ'

Περὶ φλεγμονῆς στομάχου.

Περὶ μὲν οὖν διαγνώσεως καὶ θεραπείας τῶν τε κατὰ ψιλὴν δυσκρασίαν ἐμπεριεχομένων ἐν τῇ γαστρὶ χυμῶν, ἢ ἐπιρρεόντων, ἱκανὰ ταῦτα. λοιπὸν δὲ καὶ περὶ τῶν ἄλλων ὄγκων ἐφεξῆς ἀναγκαῖον εἰπεῖν. ἐπειδὰν ὁ στόμαχος ὑπομείνῃ φλεγμονήν, ἀκριβείας χρῄζει πολλῆς· ὅτι πλείστην νόσον καὶ μεγίστην χρείαν παρέχει τῷ σώματι. μικτὴν οὖν τὴν θεραπείαν ἐπ' αὐτοῦ μάλιστα δεῖ ποιεῖσθαι, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν ἀκυρωτέρων, ἐκλύτῳ καὶ χαλαστικῇ δεῖ κεχρῆσθαι ἀγωγῇ. κίνδυνος γὰρ οὐ μικρὸς ἀκολουθήσει, καὶ ἀτροφία, μηκέτι ὀρέγεσθαι δυναμένου τοῦ κάμνοντος. προσπλεκέσθω τοίνυν ἅμα τοῖς χαλῶσι καὶ τῶν τονούντων τι, οἷον, ἀψινθίου μικρόν, ἢ μαστίχης. δεῖ δὲ προσέχειν τίνος ἐστὶ χρεία, καὶ αὐτοῦ μᾶλλον ἐπιτείνειν τὴν ποσότητα. εἰ οὖν τῶν χαλώντων χρεία, πρόσπλεκε τῇ ἐπιβροχῇ καὶ χαμαίμηλον. εἰ δὲ πυρέττοιεν σφοδρῶς, καὶ γλύκιον, καὶ στέαρ χήνειον, καὶ ἕψημα. εἰ δὲ καὶ ἀτονία τις εἴη καὶ ἔκλυσις, μὴ πάνυ τι τῶν * χαλώντων προσπλέκειν τῇ ἐπιβροχῇ, ἀλλὰ μᾶλλον ἀπὸ μηλίνου καὶ οἴνου τὴν ἐπιμέλειαν ποιοῦ, εἰς ὃν οἶνον ἀποβρέχων τὸ ἀψίνθιον, καὶ τὰ ῥόδα, καὶ τὴν

οἰνάνθην, καὶ μῆλα, καὶ φοίνικας, καὶ ἁπλῶς πρὸς τὸ κατεπεῖγον τὴν ἐπίτασιν τῶν τονούντων καὶ χαλώντων, ἄλλοτε ἄλλην ποιούμεθα. οὐ μόνον δὲ ἐπιβρεχῶν, ἀλλὰ καὶ καταπλασμάτων καὶ φαρμάκων, οὕτως ἐπινοεῖν δεῖ. Περὶ ἐπιθεμάτων φαρμάκων, τὸ γαλήνειον. Μετρίας μὲν οὔσης τῆς φλεγμονῆς, ἀρκεῖ καὶ ἡ Γαληνοῦ κηρωτὴ, λαμβάνουσα ταῦτα, κηροῦ Γο γ', μαστίχης Γο α', ἀλόης Γο S''. εἰ δὲ χρεία ἐστὶ τῶν τονούντων ἐπὶ πλέον, καὶ σὺ τὴν ἀλόην ἐπίτεινον, ἢ χυλὸν ἀψινθίου παράπλεκε, ἢ οἰνάνθης, ἢ χυλὸν ἑλίκων ἀμπέλων. εἰ δὲ μὴ πάνυ φαίνοιτο καταβεβλημένος ὁ στόμαχος, ἢ ἀτονῶν τὸ * νείλωνος, ἢ τὸ φιλάγριον καθ' ἑαυτὸ, ἢ μετὰ τῶν διὰ ψιχῶν ἐπίβαλλε. εἰ δὲ σκληροτέρα φαίνοιτό σοι ἡ φλεγμονὴ, καὶ τῶν ἔτι μαλαττόντων χρήζουσα, καὶ τὴν διὰ μελιλώτων. τονοῦντι δὲ ἅμα καὶ μαλάσσοντι κέχρησο τῷ ὑπ' ἐμοῦ συνήθως σκευαζομένῳ φαρμάκῳ. ἔχει δὲ οὕτως ἡ γραφὴ αὐτοῦ, λιβάνου, ἀψινθίου ἀνὰ Γο δ', ἐν ἄλλῳ < δ', ἀμμωνιακοῦ θυμιάματος Γο S'', στύρακος Γο ς', κηροῦ Ж α', ναρδοστάχυος Ж α', οἴνου φαλερίνου ὅσον ἂν * ἐπιδέχηται. τὰ ξηρὰ πρὸ μιᾶς εἰς τὸν οἶνον ἀπόβρεχε. εἶτα τρίψας εὐτόνως, μετὰ ταῦτα ἐπίβαλλε τῇ νάρδῳ τὴν κηρωτὴν, καὶ χρῶ ὡς θαυμαστῷ φαρμάκῳ, καὶ μαλάττειν ἅμα καὶ τόνον ἐντιθέναι τῷ στομάχῳ δυναμένῳ. Ἄλλο τὰ αὐτὰ ποιεῖν δυνάμενον. Μαστίχης Γο δ', ἐν ἄλλῳ Γο α', νάρδου Ж α', ἀλόης, κρόκου ἀνὰ Γο α', ζιγγιβέρεως, κηροῦ ἀνὰ Γο ς', ἀψινθίου χυλοῦ Γο β', στύρακος Γο δ', ἐν ἄλλῳ Γο S''. εἰ δὲ συμβῇ χρονιωτέραν εἶναι τὴν ἐν τῷ στομάχῳ φλεγμονὴν, κέχρησο τοῖς καλουμένοις κοπίοις. ταῦτα γὰρ εὐδοκιμεῖ μᾶλλον πρὸς τὰς χρονιωτέρας φλεγμονάς. Κοπίον πρὸς σκληρίαν στομάχου. Προπόλεως Γο ς', στύρακος Γο β', ἐν ἄλλῳ Γο ς', μαστίχης Γο α', τερεβινθίνης Γο α' S'', ἐν ἄλλῳ Γο S'', τρυγὸς νάρδου τὸ ἀρκοῦν. Ἄλλο μάλαγμα καλὸν, ποιοῦν πρὸς σκληρίαν στομάχου, καὶ ῥευματισμὸν, καὶ ὀδύνην, ὥστε εἰς τρεῖς ὥρας ἀνώδυνον γενέσθαι τὸν κάμνοντα, καὶ σαφῶς αἰσθάνεσθαι ὠφελείας. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτω. Κηροῦ ποντικοῦ Γο ς', τερεβινθίνης Γο γ', ζιγγιβέρεως, ὀποπάνακος ἀνὰ Γο β', * ἐν ἄλλῳ οὐ ζιγγιβέρεως Γο α', ἀλόης Γο γ', σμύρνης Γο α', χαλβάνης Γο α'. τὴν σμύρναν οἴνῳ λείωσον, καὶ τοῖς τηκτοῖς παράπλασσε τὰ ξηρά. τὸ δὲ σπλήνιον ἔστω τετραδακτυλιαῖον.

Περὶ τῶν ἐχόντων ἀπὸ ψυχροῦ χυμοῦ φλεγμονήν.

Πρὸς τὰς ἐν τῷ στομάχῳ ψύξεις ἅμα καὶ φλεγμονὰς κάλλιστόν ἐστι βοήθημα τὸ εὐῶδες καλούμενον, οὗπερ αἱ σκευασίαι εἰσὶ πολλαί. ἀλλ' ἧς ἐγὼ ἔσχον πεῖραν, ἔστιν αὕτη, κρόκου Γο * κολοφωνίας Ж β', ἐν ἄλλῳ Ж β' S'', ὀποβαλσάμου, φοινίκων ἀνὰ Γο ς', ἀλόης, σμύρνης ἀνὰ Γο β', φύλλων Γο δ', προπόλεως, τερεβινθίνης, λιβάνου ἀνὰ Γο γ', ἐν ἄλλῳ λιβάνου Γο β', ναρδοστάχυος Γο α', καρδαμώμου Γο β', ἡδυχρόου μάγματος Γο α' S'', ἀμμωνιακοῦ θυμιάματος Γο ς'. τούτου δὲ μηδὲν προτιμήσῃς, ἐφ' ὧν ἐστι ψυχρὰ δυσκρασία πολλὴ, καὶ σκληρία τις ἐνοχλοῦσα, καὶ φλέγμα, καὶ ὀδύναι, καὶ διατάσεις γίνονται. οὐ μόνον δὲ κατὰ τοῦ στομάχου, ἀλλὰ καὶ κατὰ τοῦ ἥπατος καὶ ἐντέρων φυσωμένων καὶ κοιλιακὰς ὀδύνας ὑπομενόντων ἐστὶν ἐπιτήδειον. Περὶ τοῦ διὰ μηλιλώτων καὶ ἱερατικοῦ φαρμάκου. Καὶ τούτου τὴν γραφὴν ἐξεθέμην ἐνταῦθα, διὰ τὸ εὐχερῶς εὑρίσκειν τοὺς ζητοῦντας, ἅμα δὲ καὶ παρὰ τῆς τῶν πλειόνων παραθέσεως ἐκλέγεσθαι τὸ οἰκειότερον πρὸς τὴν κρατοῦσαν χρείαν. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτω * νάρδου κελτικῆς, κυπέρου ἀνὰ < ι', καρδαμώμου < η', κρό-

κου < η', ἀμμωνιακοῦ θυμιάματος < η', * κυφίου ἱερατικοῦ < ιβ', ζιγγιβέρεως < ι', τερεβινθίνης < η', κηροῦ μν. α', * ἐλαίου εὐώδους κοτ. λ'. ποιεῖ καὶ τοῦτο οὐ μόνον στομαχικοῖς, ἀλλὰ καὶ πρὸς τὰς τοῦ ἥπατος ὀδύνας, καὶ πρὸς ἄλλα πολλά. Ἄλλο μάλαγμα πολυάρχιον. ποιεῖ περιπνευμονικοῖς, ἡπατικοῖς, ὑδρωπικοῖς, σπληνικοῖς, νεφριτικοῖς, πρὸς τὰς περὶ κύστιν καὶ μήτραν διαθέσεις, καὶ πρὸς πᾶσαν νευρικὴν συμπάθειαν. κηροῦ μν. α', κυπέρου, ζιγγιβέρεως ἀνὰ < κε', ἀμμωνιακοῦ θυμιάματος < κδ', ἐν ἄλλῳ < κθ', λιβάνου < κε', ἐλαίου κυπρίνου ξε. α', οἴνου ἰταλικοῦ ὅσον ἐξαρκεῖ. χρῶ ποτὲ μὲν ἀκράτῳ, ποτὲ δὲ ἀνειμένῃ κηρωτῇ διὰ κυπρίνου. Ἄλλο. Ἀψινθίου χυλοῦ, οἰνάνθης, νάρδου ἀνὰ ℥ γ', μαστίχης ℥ δ', κηροῦ ℥ ς', τῆκε κηρὸν, νάρδον, καὶ τὰ ἄλλα λεαίνων, ἀναλάμβανε κηρωτῇ ξεομένῃ. Ἄλλο ἐπίθεμα ὀδύνης στομάχου. Θείου ἀπύρου, μαστίχης ἀνὰ ℥ β', κηροῦ λίτρ. α' S. τὸ θεῖον καὶ τὴν μαστίχην ἀποτριβήσας, τὰ τηκτὰ τήξας, καταῤῥαινε τῷ θυίᾳ, καὶ ἀναμαλάξας, χρῶ. Πρὸς πᾶσαν φλεγμονὴν στομάχου, καὶ πᾶσαν σκληρίαν, καὶ μάλιστα ἐφ' ὧν κατάψυξις, ἢ ὑδερικὴ γενᾶται διάθεσις, καὶ ἁπλῶς εἰπεῖν, ἐφ' ὧν ἐμπνευμάτωσις γίνεται ἐν τοῖς ὑποχονδρίοις. Στύρακος ἰσαυρικοῦ, ἀλόης ἡπατίτιδος ἀνὰ ℥ γ', τερεβινθίνης ℥ α', λαδάνου ℥ δ', βδελλίου διαυγοῦς ℥ γ', εὐφορβίου νεαροῦ ℥ α', ὀξυγγίου νεαροῦ, χηνείου καθαροῦ ℥ γ', ἀφροῦ ℥ γ', νάρδου λιβύου ℥ β', κηροῦ ποντικοῦ ℥ ιβ', σκόρδων καθαρῶν ℥ γ', εὐώδους οἴνου τὸ ἀρκοῦν. Περίχρισμα στομάχου, καὶ ἄλειμμα πρὸς ψυχρὰν δυσκρασίαν, τὸ μυρκιάτον. Πολλὰ μὲν οὖν εἰσι καὶ ἄλλα πρὸς ψυχρὰν δυσκρασίαν εὐδοκιμοῦντα βοηθήματα, καὶ ἐν τοῖς ἁπλοῖς, καὶ ἐν τοῖς συνθέτοις, ἀλλ' ἔχει τι πλέον καὶ τὸ καλούμενον μυρκιάτον, καὶ ὑπὲρ τὸ δεκάμυρον, καὶ πεντάμυρον, εὐωδέστερόν ἐστι, μετὰ τοῦ μαλάττειν, εἴπου τις εἴη σκληρία, καὶ τονοῦν τὸν στόμαχον. ἔχει δὲ αὐτοῦ ἡ σκευασία οὕτω, στύρακος καλαμίτου ℥ δ', κηροῦ ℥ γ', μυελοῦ ἐλαφείου ℥ S, τερεβινθίνης ℥ α', ἐν ἄλλῳ δ', ὑσσώπου ὑγροῦ ℥ α', ὀποβαλσάμου ℥ α' S, ἐὰν ᾖ νέον, εἰ δὲ μή γε, καὶ δύο. δεῖ δὲ μιγνύειν καὶ νάρδου ℥ γ'.

Σκευασία μυρκιάτου καλοῦ. Στύρακος καλαμίτου ℥ γ', μυελοῦ ἐλαφείου ℥ γ', ἀλόης ἡπατίτιδος ℥ β', μαστίχης ℥ β', νάρδου ℥ η', ἐν ἄλλῳ τῆς νάρδου ℥ ιβ', ἢ ιη', ὀποβαλσάμου ℥ γ', κηροῦ ℥ ε', σκεύαζε καὶ χρῶ καλλίστῳ πάνυ βοηθήματι, καὶ ὀλίγοις ἐγνωσμένῳ. Ἄλειμμα μυρόκοπον. Ἔστι μὲν οὖν ταὐτὸ τούτοις ποιεῖν δυνάμενον τὸ μυρόκοπον τοῦτο. πλέον δὲ τὸ δύνασθαι θερμαίνειν ἔχει, ὥστε ὅπου μᾶλλον ἐπικρατεῖ ψυχρὰ δυσκρασία, τούτῳ μᾶλλον ἁρμόζει κεχρῆσθαι. δεῖ δὲ σκευάζειν καὶ αὐτὸ οὕτως, κρόκου, μύρου συριακοῦ, ὀποβαλσάμου ἀνὰ ℥ α', μέλιτος ℥ γ', ζιγγιβέρεως ℥ γ', ἀμμωνιακοῦ θυμιάματος, τερεβινθίνης ἀνὰ ℥ α' S, εὐφορβίου ℥ α'. Πρὸς κατεψυγμένον στόμαχον ἔμβαμμα. Ἀρκευθίδων, πεπέρεως ἀνὰ ℥ β', ζιγγιβέρεως < δ', πετροσελίνου < α', μέλιτος τὸ ἀρκοῦν. χρῶ ὡς κάλλιστα.

Περὶ ἀντιδότων στομαχικῶν. Τροχίσκος ὁ τῶν ἀμαζόνων.

Οὗτος ὁ τροχίσκος πολλὴν πεῖραν δέδωκεν, ἐφ' ὧν ὀδύναι περὶ τὸν στόμαχον ἰσχυραὶ γίνονται καὶ πόνοι. παραμυθεῖται γὰρ αὐτὰς ἰσχυρῶς πινόμενος, μετὰ καὶ τοῦ ὠφελεῖν. ἔχει δὲ οὕτω, σελίνου σπέρματος < β', ἀνίσου < α', ἀψινθίου < δ', σμύρνης < β', * ζιγγιβέρεως < β', κινναμώμου, πεπέρεως μακροῦ ἀνὰ < β', κασσίας < β', ὀπίου < β', ἀνάπλαττε δι' ὕδατος, καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ < α', καὶ δίδου στομαχικοῖς,

χικοῖς, μετὰ προπόματος κυ γ', χολερικοῖς, καὶ τοῖς ἐμοῦσι τροφήν, μετὰ ψυχροῦ· κοιλιακοῖς, καὶ δυσεντερικοῖς, μετὰ μύρτων ἀφεψήματος· τοῖς δὲ σπληνικοῖς, μετὰ ὀξυμέλιτος. καὶ πρὸς ἄλλα πολλὰ ποιεῖ τοῦτο ὁ τροχίσκος, καὶ μάλιστα τοῖς ἐμοῦσι, καὶ δακνομένοις ὑπὸ μοχθηρῶν τὸν στόμαχον καὶ τὴν κοιλίαν παθῶν ἀρκεῖ. καὶ ταῦτα κάλλιστα πολλὴν δεδωκότα πεῖραν. λοιπὸν δὲ καὶ τοῦτο χρὴ γινώσκειν εἰς πᾶσαν σκληρίαν, εἴτε στομάχου, ἢ ἥπατος, ἢ σπληνός, ἢ ἄλλου τινὸς μορίου, ὑπὸ διαφόρων, καὶ οὐχ ὑπὸ μιᾶς αἰτίας γινομένην * καὶ γὰρ ξηρότης, ἢ θερμότης προηγησαμένη καὶ παχύνουσα τοὺς χυμούς, σκληρότερον τὸν ὄγκον ἐργάζονται, καὶ ψύξις ὡσαύτως. δεῖ οὖν ἀκριβῶς περιεργαζομένους, εἶτα διαγνόντας ἐκ τῶν προηγησαμένων καὶ τῶν συνεδρευόντων σημείων, καὶ μάλιστα τῆς κράσεως, οὕτω προσφέρειν τὰ βοηθήματα. εἰ μὲν γὰρ λῦπαι καὶ φροντίδες προηγήσαντο, καὶ κόποι, καὶ δυσθυμίαι, καὶ ὀλιγοσιτίαι, καὶ θερμότεραι τροφαί, καὶ πόματα, γινώσκειν δεῖ τὴν τοιαύτην σκληρίαν, ὅτι μᾶλλον ἐξ ὑπεροπτήσεως χυμῶν γέγονεν. ἀνάγκη γοῦν τοῖς χλιαρὰν τὴν διάθεσιν, ἢ εὔκρατον ἔχουσι ποιότητα, σπουδάζειν ἰᾶσθαι βοηθήμασι, καὶ μὴ τοῖς θερμαίνουσι, καὶ ἰσχυρὰν ἔχουσιν ἐπαγγελίαν εἰς τὸ μαλάττειν δύνασθαι. ταῦτα γὰρ τοῖς ἀπὸ ψύξεως ἐσκιρρωμένον ἔχουσι τὸν ὄγκον πεποίηται. καὶ οὐ δεῖ τὸ τοιοῦτον ἀμφιβάλλειν· εἴρηται γὰρ παρὰ Ἀριστοτέλους καὶ ἄλλων ἀρίστων ἀνδρῶν παλαιῶν, * ὡς ἕκαστον τῶν παγέντων καὶ σκιρρωθέντων, ἀπὸ τοῦ ἐναντίου τὴν πῆξιν ἐργασαμένου διαλύεται, οἷον, ἀπὸ θερμότητος πολλῆς καὶ ξηρότητος, ἀνάγκη ὑπὸ τῶν ὑγραινόντων αὐτὰ καὶ ψυχόντων διαλυθῆναι, καθάπερ ἐστὶν ἰδεῖν ἐπί τε νίτρου καὶ ἁλῶν γινομένων. ἅπαντα γὰρ ταῦτα μᾶλλον ὑπὸ θερμότητος ὀπτῶνται, καὶ σκληρυνοῦνται, ὑπὸ δὲ ὕδατος διαλύονται· ὥσπερ πάλιν ὅσα τὴν πῆξιν ὑπὸ ψύξεως ἔσχεν, ὑπὸ πυρὸς διαλύεται. ἔνεστι δὲ τοῦτο θεάσασθαι γινόμενον ἐπί τε κρυστάλλου καὶ χιόνος, ἀπό τε ἡλίου καὶ πυρὸς διαλύεσθαι. διόπερ παραινῶ προσέχειν, καὶ μὴ ὡς πολλοὶ τῶν ἰατρῶν, ἀκρίτως προσφέρειν τὰ βοηθήματα, ταῖς ἐπαγγελίαις αὐτῶν μόναις προσέχοντες. ἐγὼ γοῦν οἶδα σκληρίαν σπλάγχνων τοῖς ὑγραίνουσι καὶ εὐκράτοις ἰασάμενος, οἷον λουτροῖς καὶ ἐλαίῳ χρησάμενος. ὁμοίως δὲ καὶ λουτροῖς εὐκράτοις, ὥσπερ ἐπὶ ἄλλων, ταῖς διὰ νάρδου καὶ γλευκίνου καὶ ἀνηθίνου ἐλαίου ἐπιβροχαῖς, καὶ μελικράτου, καὶ τοῖς ὁμοίοις τούτων, καὶ διαίτῃ θερμαινούσῃ, οἷον, πέπερι ταῖς τροφαῖς ἐμβάλλων, καὶ ἄνισον, καὶ τὰ ἄλλα ὅσα τῆς αὐτῆς εἰσι δυνάμεως, καὶ πόματος διὰ ναρδοστάχυος, καὶ ἀσάρου, καὶ τῶν ἄλλων ἀντιδότων ὅσαι τὸ λεπτύνειν καὶ θερμαίνειν ἔχουσιν. ἐπεὶ οὖν οὐκ ὀλίγα ὑπὸ τῶν ἐναντίων συμβαίνειν εἴωθε, προσέχειν ἀκριβῶς δεῖ. καὶ γὰρ ὀξίδες ἐν τῷ στομάχῳ πολλάκις γίνονται, οὐ μόνον διὰ ψύξιν, ἀλλὰ καὶ διὰ θερμότητα. ἴσμεν δὲ ὅτι πολλοὶ τῶν ἰατρῶν ὑπὸ ψύξεως ἅπαξ ὀξίδα δοξάζουσι γίνεσθαι μόνον, ὅθεν ἀεὶ τὰ θερμαίνοντα τούτοις προσφέρουσιν. ὁρῶ δὲ πολλοὺς ὅτι καὶ ὑπὸ τῶν ἐμψυχόντων ἐδεσμάτων ὠφελήθησαν, ὑπὸ τῶν θερμαινόντων ἰσχυρῶς βλαπτόμενοι πρότερον. ὁ γὰρ οἶνος ὠξύνετο μᾶλλον αὐτοῖς ἐπὶ πλέον, ἢ τὰ θερμότερα τῶν προπομάτων, ὅσα διὰ πεπέρεως ἢ ἀνίσου, ἢ ἄλλης τινὸς τοιουτοτρόπου δυνάμεως τὴν σκευασίαν ἔχοντα. διὸ παραιτησάμενοι τὰ τοιαῦτα, τοῖς ἐναντίοις χρησάμενοι, εὐκράτῳ πλείονι, καὶ τροφαῖς εὐχύμοις, καὶ δυσμεταβλήτοις, οἷον, βούλβῃ καὶ στερνίῳ, ἢ χηνῶν κοιλίαις, καὶ * μαλοποδίοις σὺν ὀξυκράτῳ, καὶ ὀρ-

φίῳ ἰσικῷ, καὶ κτενίοις, καὶ ὀστρέοις ἀνέφθοις, τάχιστα τῆς τοιαύτης διαθέσεως ἀπηλλάγησαν, ὡς μηδὲ ὀξυρεγμίαν, μηδὲ ἄλλην ἀπεψίαν ὑπομεῖναι τοῦ λοιποῦ. ἐκ τῶν τοιούτων οὖν ἁπάντων ἐστὶ στοχάσασθαι ὡς τὸ αὐτὸ σύμπτωμα πολλάκις ὑπὸ τῶν ἐναντίων αἰτίων γίνεται, καθάπερ ὑπὸ τῆς ὀξώδους ἐρυγῆς, οὕτω πάλιν δεῖ πολυπραγμονεῖν καὶ ἐφ' ὧν πικρίαν ὁ κάμνων αἰτιᾶται, καὶ μὴ πάντως εὐθὺς τοῖς ὑγραίνουσι καὶ ἐμψύχουσι χρήσῃ. καὶ γὰρ ἐνδέχεται γλίσχρους πλεονάζειν χυμοὺς, ἐφ' ὧν ἡ χολὴ βασταζομένη περὶ τὰ ἄνω μέρη, τοιαύτην συναίσθησιν, εἰ καὶ μὴ πολλή τις εἴη, πάνυ παρέχει τῷ κάμνοντι. πάντας οὖν τοὺς ἰκτεριῶντας ἐστὶ θεάσασθαι πικρίας αἰσθανομένους, ἀλλ' ὅμως οὐχ οἱ πάντες ὑπὸ τῶν ἐμψυχόντων ὠφελοῦνται. πολλοὶ γὰρ καὶ σκόρδοις χρησάμενοι πλείοσιν, ἀπηλλάγησαν τοῦ ἰκτέρου, καὶ τοῦ πικρίας ἔχειν τοῦ λοιποῦ συναίσθησιν. εἰκότως δὲ τοῦτο συμβαίνει. οὐδὲ γὰρ ὑπὸ τῆς αὐτῆς αἰτίας γίνονται, ἀλλ' οἱ μὲν διὰ φλεγμονὴν τοῦ ἥπατος, οἱ δὲ ὑπὸ τῆς δυσκρασίας τῆς γαστρός, ἕτεροι δὲ ὑπὸ γλίσχρων χυμῶν, οὓς ἀδύνατον ἰάσασθαι, εἰ μὴ τοῖς λεπτύνουσι καὶ θερμαίνουσιν, ὥσπερ πάλιν δεῖ λογίζεσθαι καὶ ἐπὶ τῶν ἀποπτυόντων πλείονα, καὶ ψυχρὸν οἰομένων ἔχειν τὸν στόμαχον. οὐ γὰρ πάντως ὑπὸ πολλῆς ὑγρότητος γίνεται τὸ τοιοῦτον. ἐνδέχεται γὰρ καὶ διὰ θερμότητα συμβαίνειν. νηστεύοντες γὰρ καὶ ὀλιγοσιτοῦντες πάσχουσι τοῦτο πολλάκις, καὶ οὐ παύονται σιελίζοντες καὶ ἀποπτύοντες πολλά, ἕως οὗ τροφὴν προσενέγκωνται. δῆλον δὲ ὅτι τῆς θερμασίας ἀναλυούσης τὰ ἐν τῷ βάθει ὑγρά, συνέβαινε τοῦτο. ἐπειδὰν γὰρ ἡ φύσις ἡ πέττουσα τὴν τροφὴν ἀναλώσῃ τὴν προσενεχθεῖσαν, ἀναγκάζεται τηνικαῦτα πάλιν ἀναλύειν ἃ προσέθηκε. καὶ διὰ τοῦτο πλείονα πτύουσι, τηκομένης αὐτῆς τῆς ἐν τῷ βάθει ὑγρότητος. ὅτι δὲ διὰ θερμότητα γίνεται τὸ πτυαλίζειν αὐτοὺς πλέον, ἔνεστιν ἰδεῖν κἀπὶ τῶν καιομένων ξύλων. ἀποστάζουσι γὰρ καὶ αὐτὰ ὑγρόν, δηλονότι τοῦ πυρὸς ἐκκενοῦντος τὸ ἐν τῷ ξύλῳ περιεχόμενον ὑδατῶδες. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ὀπτωμένων κρεῶν μάλιστά ἐστι συμβαῖνον θεάσασθαι. Περὶ θεραπείας. Θεραπεύειν οὖν χρὴ τοὺς διὰ θέρμην πολλὰ πτύοντας, διά τε τῶν ἐμψυχόντων καὶ δυσκατεργάστων τροφῶν, ὥσπερ πάλιν τοὺς δι' ὑγρότητα, τοῖς θερμαίνουσιν. ἀνδρὸς οὖν τετριμμένου κατὰ τὴν τέχνην χρεία πανταχοῦ, τοῦ δυναμένου τὴν ἀκριβῆ κρῖναι αἰτίαν. καὶ γὰρ ὑπὸ τῶν ἐναντίων αἰτιῶν, ὡς εἰρήκαμεν, τὸ αὐτὸ γίνεται σύμπτωμα. ῥιγοῦσιν οὖν οἱ πολλοὶ καὶ ψύχονται τὸ σῶμα, τινὲς μὲν ὑπὸ τῶν πλεοναζόντων ὠμῶν χυμῶν, ἕτεροι δὲ διὰ ξηρότητα καὶ ἀσιτίαν, καὶ ἄλλοι διὰ χολήν. καθάπερ ἄλλοι πάλιν ψύχονται τὰ ἐκτὸς διὰ φλεγμονὴν μεγάλην, εἰς ἑαυτὴν ἐπισπωμένην πᾶν τὸ θερμὸν αἷμα. πολλὰ γοῦν καὶ ἄλλα παραδείγματα παράγειν ἐστὶν, ὅτι τὸ αὐτὸ πρᾶγμα ὑπὸ τῶν ἐναντίων, ὡς εἴρηται, πολλάκις αἰτιῶν ἀποτελεῖται, ἀλλ' ἀρκεῖ καὶ ταῦτα. ἐπὶ πλέον γὰρ ἐν ταῖς τῶν πυρετῶν θεραπείαις ῥηθήσεται. καὶ γὰρ ὑπ' αὐτῶν ἡ μεγίστη γίνεται πλάνη τοῖς ἰατροῖς.

ιε'

Περὶ λυγμοῦ.

Καὶ τὸν λυγμὸν στομαχικὸν ὑπάρχοντα πάθος, ἐνταῦθα προσήκει συνάψαι, ἵνα πᾶς ὁ τῶν στομαχικῶν συνεζευγμένος πρὸς αὐτὸν εἴη λόγος. φαίνεται γὰρ σπασμωδῶς ὅλος ὁ στόμαχος κινουμένων τινῶν σπώμενος, ὡς ἔοικε, τῆς ἐκεῖσε ἀποκριτικῆς αὐτοῦ δυνάμεως ἐπὶ πλέον ἐπεγειρομένης, εἰς τὸ ἀπώσασθαι τὰ ἐγκείμενα καὶ βαρύνον-

τα, καὶ

τα, καὶ δάκνοντα περιττώματα. ὁμοίως δὲ καὶ ἐπὶ κενώσεως ἑπομένη αὕτη δηλονότι ὑπὸ ξηρότητος· καθάπερ ἐπὶ τῶν δυσεντερικῶν, ἢ ὁπωσοῦν ἄλλως ἐπὶ πλέον κενωθέντων, καὶ τῶν ἀμέτρως πυρεξάντων ἐστὶ θεάσασθαι τὸ τοιοῦτον γινόμενον. συμβαίνει δὲ ὑπό τινος δριμείας ποιότητος λύζειν τὸν ἄνθρωπον, ὡς ἐπὶ τῶν προσαραμένων ὑδρόγαρον, ἢ ἄλλο τι τοιοῦτον δῆξιν φέρον, καὶ μᾶλλον ἐφ' ὧν ἐστὶ καὶ ὁ στόμαχος αἰσθητικώτερος. καὶ αὗται μὲν αἱ αἰτίαι τοσαῦται καὶ τοιαῦται τοῦ λυγμοῦ. θεραπευτέον δὲ αὐτὸν οἰκείως πρὸς τὴν ποιοῦσαν διάθεσιν. εἰ μὲν γὰρ γλίσχρα καὶ παχέα τυγχάνουσιν ὄντα τὰ αἴτια, δῆλον ὅτι τοῖς λεπτύνουσι καὶ τέμνουσι χρηστέον. τέμνει δὲ καλῶς καὶ μόνον ὄξος ὀλίγον ἐπιρροφούμενον, καὶ μάλιστα τὸ σκιλλητικὸν καλούμενον, καὶ τὸ ἐξ αὐτοῦ κιρνώμενον ὀξύμελι. παρεθέμην δὲ καὶ τούτου τὴν σύνθεσιν καλλίστην, ἀνάγουσαν πρὸς πᾶσαν, καὶ πολλὰ ποιεῖν δυναμένην διάθεσιν, καὶ μάλιστα τοῖς περὶ τὸν στόμαχον παθήμασι, καὶ πρὸς ἐμπνευματώσεις, καὶ ὀξυρεγμίας. ἔστι δὲ αὕτη.

Οξυμέλιτος σκευασία. Σκίλλης τῶν ἐντὸς τῶν ἁπαλῶν ℔ β', ὄξους δριμέος λευκοῦ ξε ιε', πεπέρεως Γο β', δαύκου κρητικοῦ σπέρματος < η', μαράθρου σπέρματος < η', κυμίνου < δ', σελίνου σπέρματος < η', πετροσελίνου Γο β', σιλφίου Γο ϛ', ζιγγιβέρεως Γο α', πυρέθρου Γο α', νάρδου κελτικῆς < δ', λιβυστικοῦ < δ', ὑσσώπου < α', γλήχωνος * Γο ϛ', ἡδυόσμου χλωροῦ * δέσμην α', σελίνου χλωροῦ, καρδαμώμου ἀνὰ < ϛ', πηγάνου χλωροῦ κλῶνας ε', μέλιτος ξε β', φύλλου < δ', κόστου Γο α', ἑψήματος ξε ϛ', ἀγαρικοῦ Γο α', ναρδοστάχυος, ἀμώμου ἀνὰ Γο α'. πάντα ταῦτα κόψας, ἐπιμελῶς ἔχε κατ' ἰδίαν. καὶ βαλὼν εἰς τὸ ὄξος τὴν σκίλλαν, ἔασον ἐμβραχῆναι ἡμέρας ἑπτά, ἔπειτα λαβὼν τὴν σκίλλαν, ῥίπτε. τὰ ἄλλα δὲ πάντα τὰ κοπέντα συλλειώσας ἰσχυρῶς, καὶ βαλὼν εἰς τὸ ὄξος, ἔασον ἄλλας ἡμέρας ζ'. ἔπειτα δι' ὀθονίου πυκνοῦ ἐκθλίψας χρῶ, καὶ πρὸς τὴν εἰρημένην διάθεσιν, λοιπὸν καὶ ῥαφανίδας ἐμβάπτειν εἰς αὐτό. προσήκει καὶ ἔμετον ποιεῖν. καὶ τὸ μελίκρατον δέ, καὶ τὸ ζέμα τοῦ ναρδοστάχυος καὶ τοῦ πηγάνου πινόμενον ὠφελεῖ, καὶ ἄρτος εἰς κονδῖτον ἐσθιόμενος. πάντα γὰρ ἐποίησα ταῦτα καὶ ἐπὶ μεγάλου λυγμοῦ τοσοῦτον, ὡς ὑπονοεῖν ἐκτὸς κλίνης ἐξάλλεσθαι τὸν κάμνοντα. ἐχρώμην δὲ καὶ κατὰ τοῦ στομάχου πρὸς τούτοις ἔξωθεν καστορείῳ, καὶ στύρακι, καὶ μαστίχῃ, συνεψῶν ἐλαίῳ, καὶ πυριῶν αὐτοῦ τὸν στόμαχον σφόδρα. ἐκίνουν δὲ ἐν τῷ ἕψεσθαι τὸ ἔλαιον πηγάνῳ. τὸ δὲ καστόρειον καὶ πινόμενον, καὶ ὀσφραινόμενον ἐπὶ τούτων καλῶς ποιεῖ, καὶ νάρδος κελτικὴ, καὶ ἄσαρ, καὶ ναρδόσταχυ, καὶ ἄνισον, καὶ κύμινον, καὶ λιβυστικόν. εἰ δὲ δακνώδη καὶ διεφθαρμένα εἴη τὰ περιττώματα, δῆλον ὅτι τοῖς ἐπικιρνῶσι καὶ ἅμα ἀπορρίπτειν τὸ δακνῶδες δυναμένοις ἀναγκαῖον κεχρῆσθαι. ἓν δὲ οἶνον ἐπὶ τούτων ἀνακουφίζειν δεῖ, καὶ πάντα τὰ δριμέα ἀποζέματα. τῷ δὲ εὐκράτῳ καταχρηστέον, καὶ ἄρτῳ ἀποβεβρεγμένῳ ἐν αὐτῷ, καὶ τῇ πτισάνῃ πολλῇ, καὶ ἰχθύϊ ὀλίγον ὄξους ἔχοντι, καὶ νεοσσοῖς περιστερῶν, καὶ μὴ καθαίρειν τούτους οὐδὲν ἄτοπον. εἰ δὲ καὶ διὰ κένωσιν ἢ πυρετὸν ὁ λυγμός ἐστι, δηλονότι καὶ ἐπιμόνως εἴη γεγενημένος· τηνικαῦτα γὰρ ἐπὶ ξηρότητι συμβαίνει τὸ πάθος ἀμέτρῳ· κινδυνώδης μὲν εἰκότως ὁ τοιοῦτος. δεῖ οὖν τοῖς ὑγραίνουσι καὶ ψύχουσιν ἐπὶ τῶν τοιούτων κεχρῆσθαι βοηθήμασι, καὶ μάλιστα συνεχεστάτῳ εὐκράτῳ καὶ ἀλοιφῇ, καὶ πᾶσι τοῖς ἐπὶ κενώσει. οἶδα δέ τινα τῶν ἐπὶ ταύτῃ τῇ δυσκρασίᾳ λυζόντων, ψυχρὸν ἐπιρροφήσαντα καὶ παυθέντα. ἀλλ' ἐπὶ φλεγμονῆς φεύγειν δεῖ τὰ ἐνεργείᾳ ψυχρά. μᾶλλον δὲ τὸ συνε-

χεῖ κεχρῆσθαι χλιαρῷ, κατ' ὀλίγον ἐπιῤῥοφοῦντα. βρέχειν δὲ δεῖ θερμοτάτων χειρῶν ἄκρα συνεχέστερον, καὶ τοὺς πόδας ἐπιδεσμεῖν καὶ διακατέχειν οὐδὲν ἄτοπον, καὶ πταρμοὺς ἐπιτηδεύειν, ἐφ' ὧν μάλιστα τῷ στομάχῳ ἐμπέπλασται ὑγρά. οὕτω γὰρ ἀπωθεῖται τὸ πνεῦμα στενοχωρούμενον, καὶ βίᾳ προσπταῖον, περιεχόμενον κατὰ τὸν στόμαχον, * καὶ καταιονήσεσιν. ἐφ' ὧν μάλιστα ἐστὶ φλεγμονὴν ἐν ἥπατι ἢ στομάχῳ κατανοήσας εἴη, προφλεβοτομήσας, εἰ μὴ παντελῶς τὰ τῆς δυνάμεως ἀντιπράττει. τοῖς τοιούτοις οὖν χρηστέον ἐμμεθόδως καὶ τεχνικῶς προσέχοντα καιρῷ, καὶ τάξει, καὶ ποιότητι, καὶ τοῖς ἄλλοις ἅπασιν οἷς οἱ δοκιμώτατοι τῶν ἰατρῶν προσεῖχον. εἰ δὲ πολλῶν καὶ πολλῶν γινομένων, ἀπαραμύθητος ὁ κάμνων εἴη, μηδενὸς τῶν ἀπὸ τῆς τέχνης ἰσχυόντων βοηθῆσαι τῇ δυστροπίᾳ τοῦ νοσήματος, καὶ τοῖς φυσικοῖς περιάπτοις οὐδὲν ἄτοπον κεχρῆσθαι, χάριν τοῦ σῶσαι τὸν κάμνοντα. καὶ γὰρ ἀσεβές ἐστι τοιοῦτον παραλιπεῖν, καὶ γινέσθαι κώλυσιν τῶν εἰς σωτηρίαν συντελούντων τῷ κάμνοντι, ὁπότε καὶ ὁ θειότατος γαληνός, καὶ οἱ περὶ αὐτοῦ τούτοις ἐχρήσαντο. ὁ μὲν οὖν σοφώτατος δίδυμος εἶπεν ἐν τῇ ὀκτατόμῳ αὐτοῦ βίβλῳ οὕτω καλουμένῃ. Ἄλλο. Κάρφος, ἢ λιθάριον, ἢ κόπριον ἐκ τῆς γῆς ἄρας, ἔνθες ἐν τῇ κεφαλῇ τοῦ λύζοντος, λαθὼν αὐτόν, καὶ εὐθέως παύεται. ἐν δὲ κυρώῃ ἐστὶ τοῦτο ἔμαθον. Ἄλλο. Λύζων κρατείτω ἐν τῇ ἀριστερᾷ χειρὶ * μ', καὶ κατὰ τῆς κεφαλῆς ἐπιτιθέτω· καὶ εὐθέως παύσεται. κασόριον δὲ περιαπτόμενον παύει ταχέως. πρὸς τούτοις δὲ καὶ κύμινον δήσας ἐν ῥάκει λινῷ, περίαψον ἐπὶ τὸν καρπὸν τῆς ἀριστερᾶς χειρός. οὕτω λέγουσι ποιεῖν τοὺς πρὸς νότον αἰθίοπας. κρῆτας κρατεῖν ψῆφον ταῖς χερσὶ τρεῖς, καὶ προσφέρειν τοῖς μυκτῆρσι. τινὲς δὲ ἐκ κλάσαντες ἄρτον, καὶ ψιχίον λαβόμενοι εἰς τὸ οὖς ἐπιτιθέασι τοῦ λύζοντος σιγῇ, καὶ ὀσφραίνονται τοῦ ἀποκλάσματος, καὶ ἀπαλλάσσονται. ἄλλοι δὲ πήγανον μετὰ οἴνου ἑψήσαντες ἢ μελικράτου, πίνειν διδόασιν. ἕτεροι σέλινον, ἢ κασόριον, ἢ δαῦκον κρητικόν, ἢ ἄσαρ, ἢ νάρδον κελτικήν, ἕκαστον ἰδίᾳ ἢ ὁμοῦ παρακελεύονται σὺν μελικράτῳ, ἢ ἀποζέσαντας διδόναι πίνειν, ἢ σίλφιον ὀσφραίνεσθαι. ἐξαιρέτως δὲ ποιεῖ καὶ ἀναγαργαρισμός, καὶ κατοχὴ τῶν ὤτων, καὶ τοῦ στόματος. πολλὰ δὲ μὴ καταφρονεῖν, ἀλλὰ πάντα προσάγειν μετὰ καὶ τῆς ἄλλης θεραπείας, ἣν ἡ τέχνη παρακελεύεται πράττειν.

ις'

Περὶ χολέρας.

Ὅτι μὲν ἡ χολέρα τῶν ὀξυτάτων ἐστὶ παθῶν, καὶ συγκοπὴν ἀξίαν ἐπιφέρουσα, καὶ κατάλυσιν ἄμετρον τῆς δυνάμεως, ἅπασιν ὡμολόγηται. διὰ τοῦτο οὖν εἰκότως ἀκριβοῦς τε διαγνώσεως καὶ ταχίστης θεραπείας χρεία. ἀναβολὴ μὲν γὰρ ἐπὶ πάντων τῶν ὀξέων νοσημάτων κακόν. ἐπὶ δὲ τοῦ πάθους τούτου καὶ ἡ τυχοῦσα τῆς θεραπείας ὑπέρθεσις * ἀβλαβής, ἀλλὰ καὶ παντελῆ φθίσιν ἐπιφέρει πολλάκις. χρὴ οὖν γινώσκειν ὅτι χολέρα ἐστὶν ἡ ἄμετρος ἐκτάραξις ἡ διὰ γαστρὸς καὶ ἐμέτων γινομένη, ἐπ' ἀνατροπῇ καὶ κακώσει τοῦ στομάχου. μὴ ὑπολάβῃ δέ τις χολέραν καλεῖσθαι τὸ πάθος, ὅτι ὑπὸ χολῆς εἴωθε γίνεσθαι πάντως, ἀλλ' ἐπειδὴ διὰ τῶν ἐντέρων ἐθεώρουν ἐκκρινομένην τὴν διὰ γαστρὸς προσφερομένην ὕλην. τὰ δὲ ἔντερα, χολάδας ἐκάλουν οἱ παλαιοί, ὥς φησι
„ καὶ ὅμηρος, λέγων, Κέχυντο χαμαὶ χολάδες. τούτου χάριν καὶ τὸ πάθος χολέραν ἐκάλεσαν. τοῦτο δὲ οὐ μόνον μιᾶς χάριν αἰτίας, ἀλλὰ πολλῶν ἕνεκα. καὶ γὰρ διὰ πλείονα τροφὴν προσε-

προσενεχθείσης, καὶ τῷ μὴ δυνηθῆναι πεφθῆναι διαφθαρείσης, καὶ διὰ ποιότητα δὲ μοχθηρῶν χυμῶν ἢ ἐδεσμάτων, ἢ πομάτων, καὶ μάλιστα τῶν κακούντων τὸν στόμαχον, οἷός τέ ἐστιν ὁ πέπων, καὶ τὰ λιπαρὰ, καὶ γλυκέα, καὶ κνισώδη τῶν ἐδεσμάτων. γίνεται δὲ καὶ διὰ πλῆθος χολῆς ἄνω ἢ κάτω πρὸς ἔκκρισιν ἐρεθιζούσης τὴν φύσιν, καὶ διά τινας ψυχούσας προσφορὰς, οἷον ἐπιθεμάτων τινῶν, ἢ ψυχρῶν ὑδάτων κατάχρησιν, πιόντων, ἢ νηξαμένων ἐπὶ πολύ. τούτων οὕτως ἐχόντων, ἀναγκαῖόν ἐστι καὶ περὶ τῆς θεραπείας εἰπεῖν πρὸς ἑκάστην αἰτίαν τῶν τοιούτων ἁρμοζομένης. Θεραπεία τῶν διὰ πλῆθος σιτίων * ἀπεπλησμένων, καὶ ἐμπεπλωκότων εἰς τὸ τῆς χολέρας πάθος. Εἰ μὲν οὖν ἐν ἀρχῇ φαίνοιτό σοι τὰ τῆς φθορᾶς, καὶ μηδὲν ἀξιόλογον ὁ κάμνων ἐκκρίνων διὰ γαστρὸς, ἢ δι' ἐμέτων, ἀλλὰ ναυτιῶν τε καὶ ἀπαρατιλλόμενος, σπουδάζειν δεῖ τηνικαῦτα παραχεῖν αὐτοῖς ὅσα μᾶλλον προτρέψαι τὸν ἔμετον ἐπὶ πλέον δύναται, οἷόν ἐστι τὸ μελίκρατον ἀμφότερα ποιεῖν δυνάμενον ἀλύπως, καὶ τὴν γαστέρα, καὶ τὸν ἔμετον παρορμᾶν. εἰ δὲ μὴ ἔχοιεν ἡδέως τὸ μελίκρατον, εὔκρατον αὐτοῖς ἐπιδοτέον πλεῖον. καὶ ἀναγκάζειν δεῖ αὐτοὺς ἐμεῖν, ἢ τοὺς δακτύλους, ἢ πτερὰ χηνῶν εἰς ὑδρέλαιον καθιέντας, ἕως ἂν τῶν διαφθαρέντων ἱκανὴ δόξῃ σοι γεγονέναι κένωσις. καὶ εἰ μὲν οὕτω σοι φανῇ, ὡς μηδὲν ἐπὶ πολὺ διαλιμπάνεσθαι περιττὸν ἐκ τῶν ἤδη φθασάντων ἐν τῇ γαστρὶ διαφθαρῆναι, ὕπνου τούτοις ἐπιτρέπειν ἐστὶν ἀναγκαῖον, ἡσυχίαν τε καὶ θάλπειν τῶν καθ' ὑποχόνδρια μορίων. ἀσθενούντων οὖν τούτων, γλυκὺ ἔλαιον θερμὸν ἐπιβαλλόμενον ὠφελήσει, εἴ γε καὶ ἀμφανείη, καὶ νάρδινον, ἢ γλεύκινον, ἢ μενκιάτον. παυσαμένης δὲ τῆς κενώσεως μετὰ τὸν ὕπνον, μηδὲ πυρετοῦ παρόντος, ἐπὶ τὸ λουτρὸν ἄγειν σπουδάζειν αὐτοὺς, ἀνατρέφειν τε αὐτοὺς κατ' ὀλίγον, φυλαττομένους ἀπεψίαν μόνον. εἰ γάρ τι μὴ συμβῇ γενέσθαι παρεμποδὼν, τάχιστα πάλιν εἰς τὸ κατὰ φύσιν ἐπανέρχονται, οἷα μηδὲ τοῦ στομάχου πεπονθότος, ἀλλὰ διὰ πλῆθος σιτίων φθορᾶς ἐπιγινομένης, ὅθεν οὐδὲ κυρίως ὀνομάζουσι τὸ τοιοῦτον εἶδος χολέραν.

Θεραπεία τῆς διὰ κάκωσιν στομάχου συμβαινούσης χολέρας.

Εἰ δὲ μὴ διὰ πλῆθος σιτίων, ἀλλὰ διὰ κένωσιν, ἢ δι' ἀτονίαν γένοιτο τοῦ στομάχου προηγησαμένην, ἥτις καὶ κυρίως χολέρα καλεῖται, κένωσις ἄμετρος οὖσα διὰ γαστρὸς καὶ ἐμέτων, ὡς εἰρήκαμεν, κακωθέντα καὶ ἀσθενῶς ἔχοντα τὸν στόμαχον τοῖς ῥωννύουσι καὶ ἀνακαλέσασθαι δυναμένοις, εἰ δύνασαι, καταπεπωκότα προσανακτήσασθαι, διὰ τῆς διαίτης καὶ φαρμακείας τοῦτο πράττοντα. εἴπωμεν οὖν πρότερον περὶ διαίτης ἥτις τοῦτο ποιεῖν πέφυκε· καὶ οὕτω περὶ τῶν ἔξωθεν ἐπιτιθεμένων βοηθημάτων.

Περὶ διαίτης. Ἄρτος μὲν οὖν ἐπιτήδειος τούτοις πρό γε πάντων εἰς οἶνον διδόμενος, ἢ μυρτίτην, ἢ ὄμφακα, ἢ * παλματίαν, χωρὶς σαρεφθίνου, καὶ μάλιστα εἰ μὴ πυρέττοι ὁ κάμνων, ἀλλὰ καὶ κατεψυγμένος εἶναι φαίνοιτο, καὶ ἀσθενὴς τὴν δύναμιν, καὶ βεβρωκὼς πλείονας πέπονας. οὗτοι γὰρ ἔχοντες ἐπὶ πλέον τὸ κακοστόμαχον, καὶ ἐμετικὸν, ἀμέτρως βρωθέντες, τὸ τῆς χολέρας ἐργάζονται πάθος. ὅτι δὲ τὸ ἐμετικὸν ἔχουσι καὶ κακοστόμαχον, ἔνεστι τῇ πείρᾳ τοῦτο γνῶναι. εἰ γὰρ ξηροῦ σπέρματος ἐπιδώσεις δύο γράμματα πίνειν τῷ γε χρείαν ἔχοντι ἐμέτου, θεάσῃ παρ' αὐτὰ τὸν πεπωκότα, ναυτιῶντα καὶ ἀπαρατιλλόμενον, καὶ εἰς ἔμετον εὐθὺς τρεπόμενον. εἰ δὲ πυρέττει μὲν ὁ κάμνων, ἀκμαστικὸς δὲ τὴν ἡλικίαν, καὶ μήτε ἀπὸ ψυχρῶν, ἀλλὰ μᾶλλον ἀπὸ λιπαρῶν, ἢ γλυκέων, ἢ κνισωδῶν ἀναβαπτεὶς τὸν στόμαχον, καὶ ἐρυγαὶ κνισώδεις ἐπιγί-

νονται, οὐ δεῖ τὸν ἄρτον αὖθις εἰς οἶνον παρέχειν, ἀλλ' εἰς ὀμφακόμελι, ἢ εἰς τὸ κυδωνιακὸν ὑδρόμηλον, ἢ εἰς ὀξύκρατον, ἢ εἰς ὑδροροσάτον, ἐπιβλέπειν τε ἐπιρροφᾶν κατ' ὀλίγον ἐκ τούτων. εἰ δὲ ἐπιμείνῃ τὰ τῶν ἐμέτων ἐπὶ πλέον γινόμενα, καὶ τοῦ ἡδυόσμου ζέμα δοτέον αὖθις, ὡς μέγιστον βοήθημα. καὶ γὰρ * τὸ εὐστόμαχον, καὶ φυσικὴν ἐπιτηδειότητα πρὸς τὸ πάθος τοῦτο κέκτηται. εἰ δὲ κατεπείγει τὰ τῆς δυνάμεως, καὶ τῶν ἄκρων καταψύξεις τε καὶ σπασμοὶ καὶ συστολὴ γίνοιτο, καλὸν ἐστὶ καὶ οἴνου προσπλέκειν τῷ ζέματι. πλέον γὰρ ἁπάντων ὀξέως τε καὶ ταχέως ἀνακαλεῖσθαι οἶνος οἶδε καταπεπτωκυῖαν δύναμιν· καὶ πολλοὺς εἶδον ἐκ μόνης τῆς τοῦ οἴνου πόσεως ὑπὲρ ἐλπίδα τὸν τοῦ θανάτου κίνδυνον ἐκφυγόντας. Περὶ ἀλείμματος. Χρὴ δὲ καὶ ἀνατρίβειν τὰ κατεψυγμένα μόρια, ἰρίνῳ μύρῳ, ἢ γλευκίνῳ, ἢ ναρδίνῳ, ἢ αἰγλείνῳ, ἢ σικυωνίῳ, ἢ τινι τῶν ἐχόντων μάλιστα τὸ καστόρειον, καὶ τὸν ἐλάφειον μυελόν. ταῦτα γὰρ ἅπαντα τοῖς λειποσωμένοις καὶ καταψύχεσθαι κινδυνεύουσιν, εἰσὶ πάνυ κατάλληλα. Περὶ ἐπιπλασμάτων. Δεῖ δὲ καὶ ἐπιπλάσμασι κεχρῆσθαι εἰσὶ μὲν οὖν ἐπιτήδεια καὶ μάλιστα πρὸς τοὺς μὴ κατέχοντας τὴν τροφήν, ὅ, τε ἄρτος ὁ σιλιγνίτης εἰς οἶνον ἑψόμενος, εἰσβαλλομένου ἐλαίου μηλίνου. ὁμοίως δὲ καὶ τὰ ἄλφιτα εἰς τὸν μυρτίτην οἶνον ἑψόμενα. εἰ δὲ μὴ παρῇ μυρτίτης, εἰς ἕνα τῶν εἰρημένων, ἢ παλματιανόν, ἢ τύριον, ἢ σαρεφθινόν. προσαποζεννύσθω δὲ τὸ ποντικὸν ἀψίνθιον, καὶ ῥόδα, καὶ μῆλα, καὶ κυδώνια, καὶ φοίνικες, καὶ σχοίνανθα ξηρά, καὶ οἰνάνθη. εἰ δὲ ἔχει ὁ καιρός, καὶ οἱ ἕλικες τῶν ἀμπέλων, εἶθ' οὕτως ἑψείσθωσαν τὰ ἄλφιτα. ἐπιβαλλέσθω δὲ ἐν τῇ ἑψήσει καὶ μαστίχη καὶ μήλινον ἔλαιον. ταῦτα γάρ εἰσιν ἅπαντα ἐπιτήδεια καὶ ῥῶσαι, καὶ μὴ συγχωρεῖν ἕτερον εἰς αὐτὴν ἐπιρρεῖν. Περὶ τῶν ἐπιθεμάτων. Πολλὰ μὲν εἰσιν εἰρημένα πρὸς τὰς τοιαύτας διαθέσεις. ὧν δὲ ἡμεῖς ἔχομεν πεῖραν, εἰσὶ ταῦτα. Ἐπίθεμα τὸ δι' οἰνάνθης κάλλιστον. Οἰνάνθης < β', ὀμφακίου < δ', στύρακος < δ', ἀκακίας < η', ῥόδων ξηρῶν < η', κηκῖδος ὀμφακίτιδος < δ', φοινίκων < ιϛ', οἴνου αὐστηροῦ, ἐλαίου μυρσινάτου, πίσσης ἀνὰ < ιϛ'. τοῦτο καὶ πρὸς τὰς ἡπατικὰς δυσεντερείας ἄριστον, καὶ πρὸς τοὺς ἐμοῦντας, καὶ τὴν τροφὴν μὴ δυναμένους κατέχειν. Ἐπίθεμα τὸ διὰ τῶν μήλων. Εἰ δὲ στρόφοι καὶ διατάσεις ἐπιγίνονται πολλῶν ἀθροισθέντων ἐν τῇ γαστρὶ πνευμάτων, εὔλογόν ἐστι καὶ σικύας ἐπιβάλλειν. αὗται γὰρ οὐ παραμυθοῦνται μόνον, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελοῦσι. συμβάλλονται δὲ καὶ τοῖς μὴ κατέχουσι τὴν τροφήν, εὐθὺς μετὰ τὸ τραφῆναι τὸν κάμνοντα τιθέμεναι κατὰ τοῦ στομάχου. βιαίως γὰρ ἀνθέλκουσαι κωλύουσιν ἐπιγίνεσθαι ἔμετον. ἔτι δὲ καὶ χρονίζουσαι καὶ πέττεσθαι ποιοῦσι, καὶ τὴν γαστέρα δὲ πλέον φερομένην ἐπέχουσι. καλὸν δὲ θερμοτέραις κεχρῆσθαι, ἐκτὸς κατασχασμοῦ. εἰ δὲ φλεγμονή τις εἴη χρονία καὶ σκιρρώδης περὶ τὰ ὑποχόνδρια γινομένη, τότε μετὰ κατασχασμοῦ κεχρῆσθαι οὐδὲν ἄτοπον.

ιζ' Περὶ τῶν διὰ χολῆς πλῆθος ὑπομεινάντων τὸ τῆς χολέρας πάθος.

Εἰ δὲ πλεονάσασα ἡ χολή, καὶ φερομένη ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω, τὸ τῆς χολέρας ἐργάζοιτο πάθος, ἔσται σοι δῆλον ἔκ τε τῆς δήξεως καὶ θερμότητος περί τε τὴν γαστέρα καὶ τὰ ὑποχόνδρια πολλῆς αἰσθάνεσθαι· ἔτι δὲ καὶ τὰ διὰ γαστρὸς φερόμενα καὶ διὰ τῶν ἐμέτων ἅπαντα χολώδη, καὶ διψᾶν σφοδρῶς, καὶ τὴν γλῶτταν ἔ-

χειν τρα-

χειν τραχεῖαν. εἰ δὲ θέρος εἶναι τύχοι, καὶ τὸν νοσοῦντα νέον, τῇ θερμοτέρᾳ διαίτῃ πρότερον χρησάμενον, πολὺ πλέον ἐκ τούτων ἡ διάγνωσις ἀληθεστέρα καὶ φανερά, ὡς διὰ τὸ πλεονάζειν τὸν χολώδη χυμόν, τεχθῆναι συνέβη τὸ προκείμενον πάθος.

Θεραπεία. Θεραπεύειν οὖν χρὴ πρὸς τὴν ποιοῦσαν αἰτίαν ἀποβλέποντα, τοῖς ἐναντίοις ἀεὶ χρώμενον, τοῖς ἐμψύχειν καὶ ὑγραίνειν δυναμένοις, καὶ σιτίοις καὶ πόμασι, καὶ ἐπιθέμασι τῆς αὐτῆς οὖσι δυνάμεως. πτισάνης τοίνυν χυλὸς ψυχρισθεὶς, ἐπιτήδειός ἐστι τούτοις, καὶ θριδακίνη ὡσαύτως ψυχρισθεῖσα, καὶ προσλαβοῦσα ὄξους βραχέος. ὁμοίως δὲ καὶ ἴντυβον, καὶ τὸ ἔξιμον, καὶ ἄρτος ἐξ ὕδατος, καὶ τῶν ὀστρακοδέρμων τὰ κτένια, καὶ τὰ κηρύκια πλυθέντα πολλάκις, καὶ βόλβα, καὶ στέρνιον, καὶ ἀστακὸς δίεφθος, καὶ τῶν ἰχθύων οἱ σκληροί, καὶ ὁ ἐξ αὐτῶν ἰσικός, χηνῶν τε καὶ τῶν κατοικιδίων ὀρνέων αἱ κοιλίαι. Περὶ ὀπωρῶν. Καὶ τῶν ὀπωρῶν ἡ μὴ πάνυ πέπειρος, καὶ μετρίαν ἔχουσα στῦψιν, καὶ μάλιστα μῆλα καὶ ἄπιοι, καὶ ῥοιαί, καὶ κρεμαστὴ σταφυλή. Περὶ τραγημάτων. Τῶν δὲ τραγημάτων τὰ κάστανα, καὶ ἡ σταφίς. Περὶ πόματος. Πόμα δὲ τούτοις ἁρμόζει πλέον ἁπάντων, τὸ ψυχρὸν ὕδωρ, πινόμενον μὴ ἀθρόως, ἀλλὰ κατὰ μικρόν, καὶ ἐν μέσῳ τῆς τροφῆς. εἰ δὲ ἐκ τῶν ὀχλησάντων ἐπὶ πολὺ συμπτωμάτων, ἀσθενεστέραν συμβῇ γενέσθαι τὴν δύναμιν, οὐδὲν ἄτοπον, καὶ ὑδρόμηλον, καὶ ὀμφακόμελι τούτοις ἐπιδιδόναι, ἢ βραχέος οἴνου, ἢ σαβίνου, ἢ κνιδίου. εἰ δὲ καὶ ἀγρυπνία πολλὴ παρενοχλεῖν διὰ τὴν ἐκ τῆς κενώσεως συμβαίνουσαν ξηρότητα, δέον ἐστὶ καὶ τῆς διὰ κωδειῶν αὖθις διδόναι, τῆς διὰ τοῦ κρητικοῦ σκευαζομένης, εἰς δὲ ὕπνον τρεπομένοις, ἐπιμιγνύντας ὀλίγον ἐξ αὐτῆς, τοῖς εἰρημένοις πόμασι. Περὶ τῶν ἔξωθεν ἐπιτιθεμένων. Ἐπιτιθέσθωσαν δὲ κατὰ τοῦ στομάχου καὶ τῶν ὑποχονδρίων, ἀείζωόν τε καὶ θριδακίνη, μετὰ ψιχῶν καὶ ῥοδίνου ἀναληφθέντα. καὶ κηρωτὴ δὲ καλῶς σκευασθεῖσα τὰ μέγιστα ὠφελεῖ. εἰ δὲ ὁ καιρὸς ἔχει, ἐπιμιγνύειν αὐτῇ χυλὸν ἐκ τῶν ἑλίκων τῶν ἀμπέλων, ἢ ὄμφακος, ἢ πολυγόνου. κάλλιον γὰρ ἔσται καὶ ἰσχυρότερον πρὸς ἅπερ βουλόμεθα. καὶ γὰρ ἐμψύξαι καὶ τονῶσαι καὶ ἀποκροῦσαι τὸ συρρέον ἐν τῷ στομάχῳ, ἐπισχεῖν τε τὴν κάτω γαστέρα, καὶ εἰς εὐκρασίαν μεταβάλλειν τὸ πᾶν, καὶ τὴν ὄρεξιν ἐπεγεῖραι, ταῦτα πάντα, καὶ ἄλλα πλείονα ποιῆσαι δύναται. οὕτω μὲν οὖν αὐτοὺς θεραπεύειν δεῖ, ἐφ᾽ ὧν οἵ τε ἔμετοι πλείονές τε καὶ συνεχέστεροι γίνονται, καὶ ἡ γαστὴρ ἀμετρότερα ἐκκρίνουσα φαίνεται, σπασμούς τε καὶ συγκοπὰς ἐπιφέρουσα, ὥστε κινδυνεύειν ἀπολέσθαι τὸν κάμνοντα, τῆς τε διὰ τῶν ἐμέτων καὶ διὰ γαστρὸς ἐκκρίσεως ἀμετροτέρας γινομένης.

Περὶ τῆς ἀλύπως κινουμένης χολέρας. ιη´

Εἰ δὲ ὀργῶσα μὲν ἡ χολὴ φαίνοιτο, καὶ ἐρεθίζουσα τὴν φύσιν, μηδὲν δὲ ἄξιον λόγου ὑποχωρῇ, μήτε διὰ τῆς κάτω γαστρός, μήτε διὰ τῶν ἐμέτων, οὐδέν ἐστιν ἄτοπον τηνικαῦτα καὶ καθαρσίῳ κεχρῆσθαι τῷ δυναμένῳ καθαίρειν τὸν χολώδη χυμόν, καὶ μάλιστα εἰ καὶ νέον εἶναι συμβῇ τὸν κάμνοντα, καὶ εἰωθότα κατὰ τὸν ἔμπροσθεν χρόνον καθαίρεσθαι· νῦν δὲ παυσάμενος εἴη. μάλιστα οὖν τοῦτο ποιεῖν δύναται ἀλύπως ὁ τῆς σκαμμωνίας ὀπὸς εἰς φοῦσκαν ἐπιδιδόμενος, μετ᾽ ὀλίγου πάνυ ἡδυόσμου, ἢ ὑδροροσάτου, ἢ ὑδρομήλιτος. εἰ δὲ καὶ δόξει ἀναπεπῶσθαι ἐν τοῖς γαστρὸς χιτῶσι τὴν χολήν, καὶ τὴν πικρὰν αὐτοῖς ἐπιδοτέον, προσπλέκοντας αὐτῇ τὸ δακρύδιον, πρὸς τὴν

δύναμιν ἀφορῶντας τοῦ κάμνοντος. τούτοις δεῖ κεχρῆσθαι πρὸς τὴν κάθαρσιν. κενώσεως οὕτω γινομένης, καὶ τοῦ ὅλου λοιπὸν ἀπείρου ὄντος, καὶ μηδενὸς ἐπιῤῥεῖν δυναμένου περὶ τὴν γαστέρα, ταχέως αἱ τ' ἐναντίαι παύσονται, καὶ ἡ προσφερομένη τροφὴ ἀδιάφθορος ἔσται, τῆς κακοχυμίας ἤδη νικηθείσης, καὶ ἐλάττονος γινομένης, καὶ πρὸς τὸ πᾶν ἀναδοθήσεται σῶμα, καὶ θρέψει χρηστῶς αὐτό, ὥστε τοῦ λοιποῦ ἄνοσόν τε καὶ ὑγιεινὸν φυλαχθῆναι τὸν κάμνοντα. εἰδέναι δὲ δεῖ ὡς πλέον ἀπολύτων τοῖς τὴν χολέραν ὑπομένουσιν ἡ διὰ τῶν χειρῶν τρῖψις συμβάλλεται, ἡσυχῇ καὶ θερμῇ καὶ πραεῖα. προσέτι καὶ ἡ ἐπίδεσις τῶν ἄκρων. καὶ εἰ μὲν τῆς γαστρὸς κατεπείγει, πλείονες ἐπὶ τοὺς βραχίονας καὶ καρποὺς ἐπιβαλλέσθωσαν οἱ δεσμοί. εἰ δὲ τὰ τῶν ἐμέτων, οἵ τε μηροὶ καὶ τὰ σφυρὰ ἀποσφιγγέσθωσαν, καὶ πρὸς βραχὺ λύοντα αὐτούς, πάλιν ἐπιδεσμεῖν δεῖ. εἰ δὲ θεάσῃ ψυχομένους τοὺς πόδας ἢ σπωμένους, καὶ εἰς θερμὸν αὐτοὺς καὶ ὕδωρ ἐπιτρέπειν ἐμβάλλειν, καὶ ἀντλεῖν μέχρις οὗ θερμανθῇ τὰ μόρια, καὶ σφόδρα ἐρυθρὰ γένηται. μετὰ δὲ τὴν προσάντλησιν, καὶ ἐρίοις ἐπιβαλλέσθωσαν, ὡς μὴ ἀποψύχεσθαι. μᾶλλον δὲ ταῦτα ποιητέον ἐστὶ μᾶλλον, ὅταν καὶ τὰ τῶν ἐμέτων κατεπείγῃ, καὶ ἡ ὕλη πρὸς τὰ ἄνω ὁρμῶσα φαίνοιτο, ὥσπερ εἴπομεν, τοὺς βραχίονας σφοδρῶς δεῖ πάλιν ἐπιδεῖν καὶ καταντλεῖν, ἐὰν καὶ τὰ τῆς γαστρὸς κατεπείγῃ. ἵνα ἀεὶ πρὸς τὸ ἐναντίον ἀντισπῶμεν τὴν ὕλην. καὶ τὰ ἄλλα δεῖ πράττειν ἐπιμελῶς ἅπερ εἴρηται. καὶ οὕτω μὲν οὐκ ἀποδείξῃ τοῦ τὴν χολέραν θεραπεύειν. ὀξυτάτη γὰρ εἰ τυγχάνει, ἀθρόως ἐπιφέρει κίνδυνον.

ιθ' Περὶ τῆς ἥπατος φλεγμονῆς.

Ὅτι μὲν ὥσπερ ἅπασα φλεγμονὴ ἐκ ζέοντος αἵματος ἔχει τὴν γένεσιν, οὕτω καὶ ἡ ἐν τῷ ἥπατι, ἅπασιν ὡμολόγηται. ὅπως δὲ χρὴ διαγινώσκειν αὐτήν, σπουδάζειν δεῖ, καὶ διακρίνειν αὐτήν, εἴτε κυρίως αὐτῷ συνέβη γενέσθαι τὴν φλεγμονὴν τῷ ἥπατι, εἴτε ἐν τοῖς χιτῶσιν, εἴτε ἐν τοῖς ἔξωθεν περικειμένοις μυσί. εἰ δὲ καὶ φλεγμαίνει τὸ ἧπαρ, ἐπισκέψασθαι δεῖ πάλιν, καὶ ζητεῖν ἆρά γε τὰ κυρτὰ πεπόνθασι μᾶλλον, ἢ τὰ σιμά, ἢ καὶ τὸ συναμφότερον. ἐὰν γὰρ γνωσθῇ καὶ διακριθῇ καλῶς, καὶ ἡ θεραπεία ταχεῖα καὶ ἀνεμπόδιστος γενήσεται. Διάγνωσις τοῦ εἶναι εἰς τὰ κυρτὰ τὴν φλεγμονήν. Εἰ μὲν οὖν ἡ φλεγμονὴ περὶ τὰ κυρτὰ συσταίη, ῥᾳδίαν ἔχει τὴν διάγνωσιν, καὶ μάλιστα ἐὰν ᾖ μεγάλη. κατὰ περιγραφὴν γὰρ ὁρᾶται τηνικαῦτα τὸ τοῦ * περιγραφῆς εἶδος φερόμενον, καὶ πυρετὸν ἐπιφέρει καυσώδη, καὶ ἔμετον χολώδη, καὶ ἰώδη πολλάκις, καὶ κατασπᾷ τὴν κλεῖν, καὶ βηχία κινεῖ, καὶ στενοχωρεῖ τὸ διάφραγμα, καὶ μᾶλλον βάρους * ἡδονῆς συναίσθησιν ποιεῖ. εἰ γὰρ ἐν τοῖς χιτῶσιν, ἢ τοῖς πέριξ ἀγγείοις συσταίη, ὀξυτέραν τὴν ὀδύνην ἐργάζεται. εἰ μὲν οὖν μεγάλη σύμπασα περὶ τὸ ἧπαρ φλεγμονή, οὕτως αὐτὴν διαγινώσκειν δεῖ, καὶ τοῖς ὀφθαλμοῖς αὐτοῖς, καὶ τῇ ἁφῇ, καὶ τοῖς ἄλλοις τοῖς εἰρημένοις σημείοις. εἰ δὲ μὴ μεγάλην τύχῃ εἶναι τὴν φλεγμονήν, ἀλλὰ μικράν, δυσδιάγνωστος ἐστί. οὔτε γὰρ πάντα εὐθὺς ἐπιφέρει, εἰ μή τι ἀξιόλογον ἐπικτήσηται μέγεθος, οὔτε τοῖς ὀφθαλμοῖς ταῦτα θεάσασθαι, οὔτε τῇ ἁφῇ σαφῶς ἐπιστῆναι δυνατόν, ἀλλ' ἔστιν αὐτὴν γνωρίζειν ἐξ ἄλλων. ἐὰν γὰρ ἐπιτρεψάντων ἡμῶν ἀναπνεῦσαι μεγάλως τῷ κάμνοντι, φαίη τινὸς αἰσθάνεσθαι βάρους καὶ ὀδύνης, γινώσκειν δεῖ φλεγμονὴν μικρὰν ἔνδοθεν εἶναι περὶ τὰ σπλάγχνα τοῦ ἥπατος. Περὶ τοῦ εἶναι εἰς τὰ σιμὰ τὴν

φλεγμο-

φλεγμονήν. Εἰ δὲ περὶ τὰ σιμὰ τοῦ ἥπατος συσταίη φλεγμονή, διαγνώσεις ἐκ τοῦ πρῶτον περὶ τὰ κάτω μᾶλλον ὁρᾶσθαι τὸν ὄγκον, ἢ ἐν τοῖς ἄλλοις μέρεσι, καὶ ἐκ τούτου λειποθυμίας ἐπιγίνεσθαι, ἀλλὰ καὶ ἀτροφεῖν τὸ σῶμα, καὶ ἄχροον καὶ λεπτὸν φαίνεσθαι, ὥστε τῷ χρόνῳ καταψυχομένου αὐτοῦ, καὶ ὑδερικὴν λοιπὸν παρέχουσιν ὑφίστασθαι. οὕτω μὲν καὶ τὴν ἐν τοῖς σιμοῖς φλεγμονὴν διακρίνειν δεῖ τῆς ἀπὸ τῶν κυρτῶν. τὴν δὲ ἐν τοῖς μυσὶν εὐκαίρως γνωρίζειν ἐστίν. οὐδὲν γὰρ ὑποφέρουσι τῶν εἰρημένων συμπτωμάτων, καὶ προσέτι κατ' εὐθεῖαν ὁρᾶται σχηματιζομένη τοῖς μυσὶν ἡ φλεγμονή, καὶ ἔξωθεν φανερῶς ὑποπίπτει, οὐχ ὥσπερ ἐν τοῖς σιμοῖς ἔνδον ἐγκειμένη. θεραπεύειν δὲ δεῖ τοῦ ὅλου σώματος προνοουμένους. εἰ γὰρ αἷμα πλεονάζει ἐν τῷ παντὶ σώματι, χρὴ συντόμως ποιεῖσθαι τὴν θεραπείαν, καὶ μὴ ἀναβάλλεσθαι· χαλεπὸν γάρ· ἀλλὰ τέμνειν δεῖ τὴν φλέβα τὴν ἐν ἀγκῶνι, τὴν ὑπὸ μασχάλην. εἰ δὲ μὴ δυνατόν ἐστί σοι ταύτην τέμνειν, ἐκ τῶν ἄλλων ποίει τὴν κένωσιν πάντως. ὅσοι γὰρ ἠμέλησαν τοῦ ποιήσασθαι κένωσιν, καὶ τὸ ὅλον ἀπέριττον ἐργάσασθαι, οὗτοι μεγίστων αἴτιοι κακῶν ἐγένοντο τοῖς κάμνουσιν. ἢ γὰρ εἰς πῦον συνέβη μεταβληθῆναι τὴν ὕλην ἐκ τῶν ἀκαίρως προσφερομένων βοηθημάτων, ἢ σκιρρώδη καὶ δυσδιαφόρητον γενέσθαι, χρονίσασαν. διὰ ταῦτα οὖν πάντα φεύγειν δεῖ, καὶ καταπλάττειν καὶ καταιονεῖν, πρὶν τὸ ὅλον σῶμα ἀπέριττον ἐργάσασθαι. φλεβοτομεῖν οὖν δεῖ, καὶ μετὰ τὴν φλεβοτομίαν, τὴν δίαιταν ἐργάσασθαι ἀπέριττον καὶ πραεῖαν, μηδὲν ἔχουσαν δριμύ, καὶ μάλιστα ἐν ἀρχαῖς. ζέουσα γὰρ ἡ φλεγμονὴ οὐδενὸς ἀνέχεται τοιούτου. διὸ κάλλιον ἀπέχεσθαι καὶ βρωμάτων τοιούτων, καὶ μὴ θέλοντα χρήσασθαι τοῖς δοκοῦσιν ἐκφράττειν * ῥευματίζειν καὶ ἐπαύξειν μᾶλλον τὰ φλεγμαίνοντα. χυλὸς τοίνυν πτισάνης τούτοις ἐστὶν ἐπιτήδειος, ἔχων καὶ τὸ ἐκφράττον, καὶ τὸ ῥύπτον, μετὰ τοῦ μηδὲν ἀνιᾶν, ἢ θερμαίνειν τὰ πάσχοντα. ὁμοίως δὲ ὁ τοῦ βρώμου ἐπιτήδειος. τοῖς δὲ ἀνορέκτως ἔχουσι πρὸς ταῦτα, καὶ τοῦ χόνδρου, καὶ τῶν ἀμυγδάλων. τὰ δὲ ὠὰ παραιτεῖσθαι δεῖ, διὰ τὸ παχύχυμον αὐτῶν καὶ φυσῶδες. τοὺς δὲ * ἢ ἑψηθέντας, ἢ πλυθέντας λαμβάνειν, ἀλλὰ μὴ πολλούς. τὰ δὲ ἄλλα πάντα σιτώδη παραιτεῖσθαι δεῖ, οἷον, σεμίδαλιν, ἴτριον, καὶ τὸν καλούμενον πολτόν, καὶ τοὺς πλακοῦντας, καὶ τὰ λιπαρά, καὶ τὰ ὀστρακόδερμα, πλὴν ἐχίνου, καὶ ὀλιγάκις πλὴν κτενίων, καὶ τότε διδόναι ἡνίκα χολώδης εἴη φαίνοιτο καὶ διψώδης, καὶ ἀγρυπνητικός, καὶ ἡ φλεγμονὴ ζέουσα, καὶ ἐρυσιπελατώδης. τούτοις καὶ τὰ ἴντυβα καὶ τὰ τρώξιμα ἐπιτήδεια, καὶ κιχώρεια, καὶ σόγχοι, καὶ ἁπαλὰ σεῦτλα, καὶ περιστερά, καὶ ἰχθῦς ἀπὸ ζέματος. τὰ δὲ γλυκέα πάντα καὶ τὰ περιττὰ παραιτοῦ. αὐξανόμενα γὰρ ἐπὶ πλέον ἐκ τούτων, αἰρόμενα εἰς ὄγκον ἐστὶ θεάσασθαι τὰ σπλάγχνα, οὐ μόνον ἐπὶ ὀρνέων καὶ συῶν, καὶ πάντων τῶν ἀλόγων ζώων. ὥστε διὰ τοῦτο φεύγειν τὰ γλυκέα καὶ τὰ στύφοντα ὁμοίως δεῖ. καὶ γὰρ τὸ πιλεῖν καὶ συνάγειν τοὺς ὄγκους δυσφορήτους ἐργάζεται, ὥστε οὐδὲ ῥοιάς, οὐδὲ ἄλλην ὀπώραν, ἀλλ' οὐδὲ οἶνον μάλιστα, διὰ τὸ παντοίως πάσῃ ζεούσῃ φλεγμονῇ ἐναντιώτατον εἶναι. ὁ δὲ ἄστυφος ὠφελιμώτατός ἐστιν ἐφ' ὧν ἔμφραξις μόνη ἄνευ φλεγμονῆς ὑπάρχει. τοσαῦτα περὶ διαίτης βοηθήματα. δεῖ οὖν προσφέρεσθαι πρότερόν τινα τῶν ἁπλουστέρων, ἐξ ὧν ἐστὶ τὸ ἀπόβρεγμα τῆς ῥίζης τοῦ σελίνου, καὶ τὸ ὀξύμελι δέ, ἀρχομένης πέττεσθαι τῆς φλεγμονῆς. καὶ γὰρ δι' οὔρων ὑποκλέπτεται, καὶ σμικρύνεται ὁ ὄγκος. ἐὰν οὖν φαίνηταί σοι καὶ τὰ τῶν πυρετῶν παραύ-

περα γινόμενα, καὶ τὰ τῆς πέψεως σημεῖα ἀσφαλέστερα, θαρρῶν παρέχε καὶ τὰ ἐπὶ πλέον τέμνειν καὶ ἐκφράττειν δυνάμενα, ἐξ ὧν ἐστὶ καὶ τὸ ἄσαρον, καὶ τὸ μῆον, καὶ ἡ νάρδος ἡ κελτική. σύνθετα δέ εἰσι πεποιημένα καλῶς ταῦτα, λύειν τε ἅμα τὰς φλεγμονὰς, καὶ τὰ σκληρὰ διαμαλάττειν δυνάμενα, καὶ τὰς μεγάλας ἐμφράξεις τὰς ἄνευ πυρετοῦ διαλύειν· ὧν καὶ τὴν σκευασίαν ἀναγκαῖον ἐκθέσθαι.

κ' Περὶ ἐμφράξεως ἥπατος.

Αἱ δὲ ἐμφράξεις τοῦ ἥπατος ἅπασαι δῆλαι γίνονται, ἐκ τοῦ μήτε πυρετὸν παρεῖναι, μήτε ζέσιν ἐν τοῖς τόποις· βάρους δὲ συναίσθησιν γίνεσθαι καὶ διατάσεως μόνης ἐν τοῖς περὶ τὰ σιμὰ μέρεσι τοῦ ἥπατος. διαγνοὺς οὖν ἔμφραξιν εἶναι, θαρρῶν τοῖς τέμνειν καὶ λεπτύνειν δυναμένοις κέχρησο βοηθήμασιν, οἷς καὶ ἐπὶ τῶν ἀρχομένων σκιρροῦσθαι μορίων, συμβουλεύω κεχρῆσθαι. καὶ οἱ σκίρροι μετὰ τὸ προμαλαχθῆναι καλῶς, καὶ διαλυθῆναι τὴν ἐσφηνωμένην ἐν αὐτοῖς ὕλην, δέονται τῶν ἐκφράττειν δυναμένων τοιούτων φαρμάκων. ὅσοι γὰρ ἦλθον ἐπὶ τὰ ἐκφράττειν δυνάμενα πρὶν μαλάξαι τὸν ὄγκον, οὗτοι πρὸς αὐτὰ μὲν ἔδοξαν ὠφελεῖν, εἴ τι λεπτὸν ἦν, διαφορήσαντες μόνον, ὕστερον δὲ ἔβλαψαν. ἀποξηρανθέντες γὰρ οἱ χυμοὶ καὶ ὑπεροπτηθέντες, ἐνέμειναν ὥσπερ λίθοι, καὶ εἰς τὸ μηκέτι δύνασθαι διαφορηθῆναι κατέστησαν. λέγωμεν οὖν περὶ ἑνὸς ἑκάστου, ποῖα μὲν ἁρμόζει πρὸς φλεγμονὴν μόνον, ποῖα δὲ πρὸς ἔμφραξιν, τίνα δὲ τὰ σκληρύνεσθαι ἀρχόμενα διαλύειν καὶ μαλάττειν δύναται. Περὶ θεραπείας φλεγμονῆς ἥπατος. Κατάπλασσον μὲν τοὺς ἔχοντας φλεγμονὴν ἐν τῷ ἥπατι, μήλοις κυδωνίοις μετὰ ἀλεύρου κριθίνου καὶ τήλεως ἑψημένοις. καὶ γὰρ μετὰ τοῦ τόνον ἐντιθέναι, καὶ διαφορεῖ, καὶ μαλάττει σκληρείας. πρὸς δὲ τὰς μεγίστας φλεγμονὰς, ἐφ' ὧν καὶ ὁ στόμαχος πέπονθε, καὶ αἱ πλευραὶ διατεταμέναι εἰσὶ, φοίνικας δίχα τῆς ἐντεριώνης κόψαντας ἐπιμελῶς μετὰ ἴσης κηρωτῆς ῥοδίνης, ἐν ὅλμῳ γνησίως ἑνώσας, μικρὸν προσστάξας ῥόδινον, ἐπιτίθει. καὶ ἡ κηρωτὴ δὲ καλῶς ποιεῖ, λαμβάνουσα ταῦτα· ἀμμωνιακοῦ καὶ κηροῦ ἀνὰ < η', κρόκου < δ', κυπρίνου < δ', ὄξους Κο, τὴν κηρωτὴν ἀναξύσας, προσέπλεκε τοῖς λοιποῖς. Ἄλλο πρὸς τὰς μὴ πάνυ ζεούσας φλεγμονάς. Σαμψύχου χλωρᾶς, κηροῦ, πιτυΐνης ἀνὰ < η', κυπρίνου < ς', ἐν ἄλλῳ < η', μέλιτος Κο δ', τὰ τηκτὰ κατὰ τῶν ξηρῶν λειωθέντων καλῶς ἐν τῇ θυίᾳ. πρὸς δὲ τὰς ζεούσας φλεγμονὰς οὐ μόνον τῶν μυῶν, ἀλλὰ καὶ τοῦ ἥπατος αὐτοῦ. πάνυ διὰ πολλῆς πείρας ἐστίν. ἀψινθίου, κόμμεως, νάρδου κελτικῆς, ἀσάρου, κρόκου ἀνὰ Γο α', ἴρεως, μυρσίνης, στύρακος, βδελλίου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ Γο β', μυελοῦ μοσχείου Γο δ', κηρωτῆς χηνίνης λί δ'. καὶ τὸ Ἀπολλοφάνους δὲ ἐπίθεμα καλῶς πάνυ ποιεῖ, εἴ τις αὐτὸ δεόντως κατασκευάσειεν. ἔχει δὲ οὕτως. Ἀπολλοφάνους μάλαγμα, πρὸς ἡπατικούς. Κηροῦ, ἴρεως ἰλλυρικῆς, βδελλίου ἀνὰ < η', ἀμμωνιακοῦ θυμιάματος < η', ῥητίνης τερεβινθίνης < μ', μάννης λιβάνου < μ', ἰρίνῳ ἀνάκοπτε, καὶ ὑπάλειφε * τὸν ὀμφαλόν. Ἐπίθεμα πρὸς φλεγμονὴν ἥπατος. Ἀλόης Γο γ', μαστίχης Γο α'. εἰ δὲ μᾶλλον τονωτικώτερον βουληθείης εἶναι, μίγνυε τὴν ἀλόην ἐξ ἴσου τῇ μαστίχῃ. οὕτω καὶ στομάχῳ καὶ ἥπατι μετρίαν ἔχοντι φλεγμονὴν ἐστὶ κατάλληλον βοήθημα, ὥσπερ καὶ ἡ διὰ ψιχῶν, καὶ ἡ ἀνηθίνη, καὶ ἡ ἀμβροσία, καὶ ἡ διὰ μηλιλώτων, μιγνυμένη τούτοις καὶ ἡ διὰ χαμαιμήλων.

Πρὸς τὰς σκιρρώδεις φλεγμονάς. Πρὸς δὲ τοὺς ἄνευ πυρετῶν ὄγκους, καὶ μάλιστα χρονίους καὶ σκιρρώδεις, καλῶς ποιεῖ καὶ ἡ ἀνεμώνη τὸ φάρμακον, καὶ ἡ ἀριοβαρζάνιος, καὶ τὸ καλούμενον ἰνδικὸν, καὶ τὰ κοπτὰ πάντα. καὶ τούτων τὰς γραφὰς ἐστὶν εὑρεῖν ἐν πολλοῖς κείμενα. διὰ δὲ τὸ εὑρίσκειν ἑτοίμως τὸν ἀναγινώσκοντα, καὶ μὴ εἰς ὑπέρθεσιν ἔρχεσθαι, καὶ ὧδε τὰς γραφὰς ὑμῖν ἐξεθέμην, καὶ μάλιστα ἐκείνων ὧν πεῖραν εἰλήφαμεν. Ἡπατικὸν κάλλιστον. ποιεῖ καὶ σπληνικοῖς, καὶ τοῖς τὸν στόμαχον διατεταμένον ἔχουσιν. ἄριστόν ἐστι φάρμακον, καὶ προσηνῶς μαλάττον, ὡς μὴ ἔχειν σύγκρισιν. Κηροῦ < οε', σαμψύχου < ν', τήλεως πεφωγμένης < ν', πεπέρεως λευκοῦ Γο α', τερεβινθίνης < οε', κυπρίνου Κ α', κόψας, σήσας τὰ ξηρὰ καὶ φυράσας ἐν οἴνῳ ἕνωσον ἄχρι τελείων. εἶτα τήξας τὰ τηκτά, κατάχεε κατὰ τῶν ἐν τῇ θυείᾳ, καὶ μαλάξας ἐπιμελῶς, ἀπόθου. ἐπὶ δὲ τῆς χρείας μίγνυε τοῦ φαρμάκου μέρος ἕν, καὶ οὕτως ἐπιτίθει. Ἐπίθεμα τὸ εὐῶδες, ποιοῦν πρὸς ἥπατος φλεγμονὰς καὶ στομάχου, καλόν. Κρόκου Γο α' S'', βδελλίου Γο θ', ἐν ἄλλῳ η', ἀλόης, ζιγγιβέρεως ἀνὰ Γο β', φύλλου Γο α', προπόλεως Γο γ', ἐν ἄλλῳ Γο β' S'', λιβάνου Γο β', στύρακος Γο γ', μαστίχης Γο β' S'', νάρδου, καρδαμώμου ἀνὰ Γο β', ἡδυχρόου μάγματος Γο ϛ', φοινίκων Γο ϛ'. οὐκ οἶδα εἰ τούτου κάλλιόν ἐστιν ἐπὶ σκληρῶν καὶ ψυχροτέρων διαθέσεων. Κοπτὸν πρὸς σκληρίαν καλόν, καὶ διαλύσεων στομάχου καὶ ἥπατος. Προπόλεως Γο ϛ', στύρακος Γο β', μαστίχης Γο α', τερεβινθίνης Γο S'', ἐν ἄλλῳ τρυγὸς νάρδου τὸ ἀρκοῦν.

Περὶ ἀντιδότων ἡπατικῶν. Τοιαῦτα περὶ φαρμάκων. λοιπὸν δὲ καὶ ὧν πεῖραν ἔχομεν ἀντιδότων καὶ ξηρίων μνημονεύσωμεν. Ἡπατικὴ ἀθανασία καλουμένη, ἥτις πρὸς νεφριτικοὺς καὶ ἰκτερικοὺς ποιεῖ, κινεῖ δὲ καὶ ἱδρῶτας. Κινναμώμου, νάρδου, σμύρνης, σχοίνου ἄνθους ἀνὰ < α', μέλιτι ἀναλάμβανε ἀττικῷ. ἡ δόσις κυάμου αἰγυπτιακοῦ τὸ μέγεθος, πυρέσσουσι μεθ' ὑδρομήλου. οὐχ ἁρμόττει τῶν θερμαῖς δυσκρασίαις, ἀλλὰ μᾶλλον ταῖς ψυχραῖς ἅμα καὶ ὑγραῖς. Τροχίσκος ἡπατικὸς ποιῶν ἅμα καὶ ἰκτερικοῖς. Ἀνίσου, σελίνου σπέρματος, ἀσάρου, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ἀψινθίου ἀνὰ < α', σκεύαζε δι' ὕδατος καὶ ἀνάπλαττε, καὶ δίδου < α' μεθ' ὕδατος. Ἀντίδοτος ἡπατικὴ πρὸς τὰς μεγάλας ἐμφράξεις τοῦ ἥπατος, καὶ σκιρρώδεις διαθέσεις, διὰ πείρας. Πεπέρεως Γο α' S'', ναρδοστάχυος ℥ γ', ἐν ἄλλῳ ℥ ϛ', τήλεως ℥ ϛ', εὐπατορίου Γο α' S'', μαστίχης ℥ ϛ', μέλιτος ℔ α' S''. ἡ δόσις Κ α', μετὰ κονδίτου. τοῦτο ποιεῖ ἐφ' ὧν μὴ ἐστι θερμὴ δυσκρασία, ἀλλὰ καὶ γλίσχροι χυμοὶ μᾶλλον τὴν ἔμφραξιν εἰργάσαντο. Πρὸς ἥπατος ἔμφραξιν ξηρίον δόκιμον, ὅπερ πολλάκις δέδωκα. Κόστου, εὐπατορίου ἀνὰ μέρη β', πεπέρεως μέρος α', δίδοθι ἐπὶ ἡμέρας τρεῖς, καὶ εἰς οἴνου ἀσκαλωνίτου τὸ * S''. ὁ δὲ λαμβάνων ἀνακείσθω εἰς τὸ δεξιὸν πλευρόν, ὅσον ὥρας τὸ S''. καὶ ἑσπέρας ὁμοίως λαμβανέτω. ἀπεχέσθω ὁ λαμβάνων τὸ βοήθημα, ὄξους, * βαλάνων, ὀσπρείων, λαχάνων, γογγύλης, καὶ τῶν ἄλλων ὅσα πνεύματα τίκτειν δύνανται.

Πρὸς ἥπατος καὶ σπληνὸς μεγάλην ἔμφραξιν, ὥστε καὶ σκληρίας μαλαχθῆναι μεγάλας.

Ἀμμωνιακοῦ θυμιάματος Γο α', λιβάνου ℥ α'. δίδοται εἰς κονδίτου ἐπὶ ἡμέρας γ', καὶ ποιεῖ καλῶς. ἀλλὰ γὰρ αἴτια διὰ τῆς γαστρὸς κινήσεως, καὶ ὑδερικὰ μέλλοντας ἐκφεύγειν ἁλῶναι τῇ νόσῳ. τούτου πεῖραν ἔχω ἐγὼ πολλάκις.

Πρὸς ἧπατος ἔμφραξιν.

Καππάρεως μέρη β', κόστου μέρος α', ἐν ἄλλῳ μέρη β', δίδου ἀπυρέτοις μετὰ οἴνου, πυρέττουσι δὲ, μετὰ εὐκράτου. Ἄλλο διὰ πείρας τὸ διὰ λαγωοῦ. Κόστου, τήλεως, πεπέρεως, λαγωοῦ κόπρου, πάντα διακόψας, σήσας τε καὶ λειώσας καλῶς, δίδου κοχλ. α', δίδου ἀπυρέτοις μετ' οἴνου, πυρέττουσι δὲ, εἰς εὔκρατον· κέλευε δὲ εἰς τὸ δεξιὸν ἀνακεῖσθαι πλευρόν. Ἄλλο τὸ διὰ βακάνου. * Βάκανόν ἐστιν ἡ πυρίνη τοῦ ῥεφάνου· κόστου, βακάνου ἀνὰ γο α', φύλλου γρ η', πεπέρεως γρ ς', μέλιτος τὸ ἀρκοῦν. δίδου κοχλ. μετὰ κράσεως κονδίτου ἐν λουτρῷ. καὶ τοῦτο διὰ πείρας, μάλιστα πρὸς τὰς ὑπὸ γλίσχρων καὶ παχέων γινομένας ἐμφράξεις. ὅπως δὲ ἐστὶ καὶ δυνατὸν συντιθέναι φάρμακον, οἷ βούλεται ἁρμόζειν δυνάμενον πρὸς τὴν ὑποκειμένην διάθεσιν, καὶ πρὸς τὴν τοῦ κάμνοντος δύναμιν, καὶ κρᾶσιν, καὶ ἡλικίαν, καὶ πρὸς ἕκαστον τῶν ἄλλων ἀποβλέπων, εἰς ὅσα καὶ ὁ σοφὸς γέρων ἐδίδαξεν ἀποβλέπειν, ἐξεθέμην ἁπλᾶ βοηθήματα, ὡς καὶ αὐτῶν εὐπορεῖν συντόμως, καὶ ἄλλα δὲ συντιθέναι ἐξ αὐτῶν, ὡς ἂν ἕλοιτό τις εὐχερῶς δύνασθαι.

Ὅσα πρὸς ἧπαρ ἁπλᾶ βοηθήματα.

Ἄγνου σπέρμα ἧπαρ ἐσκιρρωμένον ὠφελεῖ, καὶ ἐμπεφραγμένον, κενταυρείου τοῦ μικροῦ χυλὸς πινόμενος, καὶ ἔξωθεν ἐπιτιθέμενος, ἀρνογλώσσου ξηροῦ ῥίζαι καὶ τὰ φύλλα, καὶ πολὺ μᾶλλον ὁ καρπὸς, ἀσπάραγος μὴ ἀκάνθινος, καὶ μάλιστα αἱ ῥίζαι, καὶ τὸ σπέρμα γλυκυσίδης ἡ ῥίζα ὁμοίως, δάφνης τῆς ῥίζης ὁ φλοιὸς ἐν οἴνῳ εὐώδει πινόμενος, στρόβιλος, ἐρέβινθοι, ἐρυθροδανοῦ ἡ ῥίζα, εὐπατορίου, μετὰ τοῦ καὶ τόνον ἐντιθέναι αὐτῷ μορίῳ· θέρμων πικρῶν τὸ ἀφέψημα μετὰ πηγάνου καὶ πεπέρεως πινόμενον, καὶ ἔξωθεν ἐπιτιθέμενον. ἶρις, πιστακίου ὁ καρπὸς, πράσιον, ἀμύγδαλα, δρακοντίου ἡ ῥίζα καθαίρει τὰ σπλάγχνα τούς τε παχεῖς καὶ γλίσχρους λεπτύνει χυμοὺς, καρπήσιον, πόλιον, χαμαίδρυς ἐκφράττει καὶ πάχος ἐκτέμνει, ἀμπελόπρασον ὁμοίως ἀνθεμίσιον, καὶ χαμαίμηλον, ὑποχονδρίοις ὠφελιμώτατον, εἴπερ τι καὶ ἄλλο.

κα' Περὶ ἀτονίας ἡπατικῆς καὶ δυσεντερίας.

Εἰρηκότες ὅπως δεῖ θεραπεύειν φλεγμονὴν καὶ ἔμφραξιν, ἢ σκίρρον, εἴπωμεν καὶ ὅταν τούτων μηδὲν ἔχῃ, ἀσθενὲς δὲ μόνον εἴη διὰ δυσκρασίαν, ὅπως δεῖ θεραπεύειν αὐτὸ καὶ διαγινώσκειν. Διάγνωσις. Εἰ μὲν οὖν ἡ ἑλκτικὴ δύναμίς ἐστιν ἀσθενὴς, τὰ διαχωρηθέντα εὑρίσκεται χυλοποιηθέντα μὲν καλῶς, διὰ τὸ μηδὲν ἔχειν πάθος τὴν γαστέρα, ὑγρότερα δὲ, διὰ τὸ τὴν ἀνάδοσιν ἐλλιπεστέραν εἰς τὸ ἧπαρ γεγενῆσθαι. εἰ δὲ καὶ ἡ ἀλλοιωτικὴ δύναμις ἀσθενήσει, ὅμοια ἀποπλύματι κρεῶν νεοσφαγῶν ὄψει τὰ διαχωρούμενα. καὶ καλεῖται τὸ πάθος τοῦτο, ἡπατικὴ δυσεντερία. οἱ μὲν οὖν πολλοὶ τῶν ἰατρῶν ἐπειδὰν θεάσωνταί τι τοιοῦτον, μηδὲν πολυπραγμονοῦντες, * μὴ διαγινώσκειν δυνάμενοι ὅθεν ἡ ἀσθένεια γέγονεν, εὐθὺς ὅσα πρὸς ἧπαρ εἰσιν ἀναγεγραμμένα βοηθήματα προσφέρουσι, καὶ μάλιστα τόνον ἐντιθέναι καὶ ῥωννύειν δυνάμενα, ἔξω μὲν ὅσα δι' ἀλόης, καὶ βαλαυστίων, καὶ σιδίων, καὶ σμύρνης, καὶ οἰνάνθης καταπλάσματα, ἔσωθεν δὲ, τὸ ῥέον τὸ βαρβαρικὸν, καὶ τὸ ξυλομάκερ λεγόμενον, τήν τε θηριακὴν, καὶ ἄλλας τινὰς τῶν ἀντιδότων. τινὲς δὲ αὐτῶν θεραπεύειν τὴν γαστέρα οὐκ

ὀκνοῦσι,

ὀκνοῦσι, στύμμασι καὶ τροχίσκοις ἔξωθεν τὰ μέγιστα βλάπτοντες. διαφθείρουσι γὰρ μᾶλλον διὰ τῶν τοιούτων, καὶ ἀσθενέστερον ἀποτελοῦσι καὶ δύσκρατον τὸ σπλάγχνον. οὐχ οὕτω δὲ δεῖ, ἀλλὰ πρότερον χρὴ ζητεῖν καὶ ἐρευνᾶν, τίς ἐστιν ἡ ποιοῦσα τὴν αἰτίαν δυσκρασία· καὶ ταύτην ἀκριβῶς διεγνωκότα, οὕτω ποιεῖσθαι τὴν δίαιταν πρὸς τὴν ὑπαγορευομένην ὑπὸ τῆς διαγνώσεως διάθεσιν. καὶ γὰρ οὐ διὰ θερμὴν δυσκρασίαν μόνον ἄτονον γίνεται τὸ ἧπαρ, ἀλλὰ καὶ διὰ ψυχρὰν καὶ ὑγρὰν ποιότητα, καὶ διὰ τὸ συναμφότερον. πολλάκις δὲ καὶ διὰ μοχθηρὰν ὕλην βαρυνόμενον κακοῦται, καὶ δι' ἔμφραξιν, ἔσθ' ὅτε καὶ φλεγμονὴ συναναμίγνυται τῇ ψυχρᾷ δυσκρασίᾳ, καὶ γίνεται μικτὴ διάθεσις καὶ ποικίλη. λέγωμεν οὖν οὕτως, ὅπως ἕκαστον αὐτῶν χρὴ διαγινώσκειν τὸν ἄριστον ἰατρόν.

Περὶ θερμῆς δυσκρασίας.

Τοὺς διὰ θερμὴν δυσκρασίαν νοσοῦντας τὴν ἡπατικὴν διάθεσιν ἔστι διαγινώσκειν διὰ πολλῶν, μάλιστα δὲ ἔκ τε τοῦ διψᾶν πολὺ τὸν κάμνοντα, καὶ ἐμεῖν χολήν. πολλάκις δὲ καὶ ἰώδη καὶ τὰ διαχωρήματα τοιαῦτα φαίνεσθαι, καὶ γλῶτταν τραχεῖαν ἔχειν, καὶ τὸ σῶμα ξηρόν, καὶ λεπτότερον ὁρᾶσθαι, ὡς συντηκομένου τοῦ ἥπατος καὶ συμφθειρομένου εἰς ἰχῶρας αἱματώδεις. χρονίζουσι δὲ αὖθις, καὶ ἐξ αὐτῆς τῆς οὐσίας τελευταῖον ὁρᾶται καὶ μόρια καταφερόμενα δυσωδέστατα πάνυ. οὕτω μὲν οὖν διαγινώσκειν δεῖ τοὺς διὰ θερμὴν δυσκρασίαν. δεῖ δὲ λοιπὸν καὶ ἐκ τῆς κράσεως τοῦ κάμνοντος, καὶ τῆς ἡλικίας, καὶ τῆς ὥρας, καὶ τῆς προηγησαμένης διαίτης. ἔνεστι λοιπὸν πρὸς ἀσφάλειαν λαμβάνειν, καὶ ἐκ τούτου διαγινώσκειν. θερμοὶ γὰρ τὴν κρᾶσιν εἰσί, καὶ λεπτοὶ τὴν ἕξιν, καὶ τὰς τρίχας ἔχουσι δασείας, καὶ φρενιτικοί, καὶ ὀργίλοι τὴν ψυχήν.

Περὶ ψυχρᾶς δυσκρασίας.

Εἰ δὲ διὰ ψυχρὰν δυσκρασίαν, οὔτε διψῶσι σφοδρῶς, οὔτε χολὴν ἐμοῦσιν, οὐδὲ πικρίας αἰσθάνονται, ἀλλὰ μᾶλλον ὀξίδος, καὶ τὰ διαχωρούμενα οὔτε χολώδες, οὔτε δυσώδες ἔχουσί τι πολύ, οὔτε συντήξεώς τι, ἀλλ' οἷον αἷμα παχύτερον καὶ μέλανι ἐοικός. τούτοις καὶ ἡ ὄψις ἀσύμπτωτος, καὶ τὸ ὅλον σῶμα μᾶλλον ὁρᾶται, καὶ ἡ κρᾶσις ἐπὶ τὸ ψυχρότερον ῥέπουσα. καὶ ἡ προλαβοῦσα δίαιτα διασκοποῦσί σοι, εὑρίσκεται τοιαύτη, καὶ ἀργότερος ὁ βίος, καὶ λουτρὰ πλείονα, καὶ ἄκαιρα, καὶ μετὰ τροφήν. ἐκ τούτων καὶ τῶν ἄλλων τῶν συστοίχων τούτοις τὴν ψυχρὰν διαγινώσκειν δυνήσῃ δυσκρασίαν τοῦ ἥπατος.

Περὶ ξηρᾶς δυσκρασίας.

Η δὲ ξηρὰ δυσκρασία ξηρότερον τὸ σῶμα δείκνυσι καὶ λεπτότερον, καὶ δίψαν ἐργάζεται μᾶλλον, καὶ τὰ διαχωρήματα ὀλίγα, καὶ παχύτερα φαίνεται.

Περὶ ὑγρᾶς δυσκρασίας.

Η δὲ ὑγρὰ δυσκρασία οὔτε δίψαν ἐργάζεται, οὔτε ξηρότητα, ἀλλὰ μᾶλλον καὶ ὑγρότητα τῆς γλώττης. ἄδιψοι γάρ εἰσι καὶ ἀσύμπτωτοι ἄχρι πολλοῦ τὸ πρόσωπον καὶ τὸ πᾶν σῶμα. ὕστερον δὲ τούτοις διαχωρήματα πλεῖστα φαίνεται. εἰδέναι δὲ δεῖ ὅτι μετὰ τῶν δραστικῶν ποιοτήτων ἀναμιγνύμεναι αἱ ὑλικαὶ ποιότητες ταῦτα τὰ σημεῖα ἐπιδείκνυνται.

Περὶ θεραπείας θερμῆς δυσκρασίας ἥπατος.

Τὴν οὖν θερμὴν δυσκρασίαν ἰᾶσθαι δεῖ διὰ τῶν ἐμψυχόντων. ἐπιλέγεσθαι

δὲ πάντως ἐκεῖνα τὰ ψύχοντα, ὅσα μετὰ τοῦ ψύχειν καὶ τοῦ ῥύπτειν, ἔτι καὶ ἐκφράττειν καὶ ῥωννύειν τὸ ἧπαρ δύνανται, καὶ τὴν ἀνάδοσιν ταχεῖαν ἐργάζονται. χυλὸς τοίνυν πτισάνης ἐπιτήδειος τοῖς τοιούτοις, καὶ ἄρτος ἔχων ῥίζαν σελίνου ἐν τῇ ἑψήσει, ἴντυβόν τε, καὶ χώελον, καὶ σόγχος, καὶ ἔτι μᾶλλον τούτων τὸ τρώξιμον, ἐπειδὴ καὶ τὸ πικρὸν καὶ τὸ ἐκφρακτικόν ἐστιν ἐν τοῖς λαχάνοις, τούτοις κεχρῆσθαι δεῖ. τοῦτο γὰρ καὶ τὰς θερμὰς δυσκρασίας ὠφελεῖ πάνυ, καὶ τὰς ψυχρὰς οὐ βλάπτει. οὐ γὰρ ἐπιτεταμένην ἔχει τὴν ψύξιν, ἀλλὰ πραεῖαν καὶ ἀπολλυμένην ἤδη τοῦ μέσου, ὥστε ἀβλαβῶς αὐτῷ καὶ θαρρούντως δύνασθαί τινα χρῆσθαι. πάντα γὰρ ἔχει ὧν μάλιστα χρεία ἐπὶ τῶν ἐχόντων τὸ ἧπαρ ἀσθενὲς οὕτως, ὡς μηδὲ κατέχειν, μηδὲ ἀλλοιοῦν ἀκριβῶς, ἢ καὶ ἀναδίδοσθαι τὴν ἀναδιδομένην τροφήν. ἐγὼ γοῦν οἶδα πολλοὺς ἡπατικὰς διαφυγόντας δυσεντερίας, τούτῳ πάνυ χρησαμένους τῷ λαχάνῳ. οὐ γὰρ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἐσθίειν ἐξ αὐτοῦ κατ' αὐτὴν τὴν ἡμέραν δεῖ, καὶ πρωΐ, καὶ δείλης, καὶ ἀπὸ ζέματος, καὶ ἄρτυτον λαμβανόμενον. δεῖ δὲ καὶ κοριανὸν αὐτοῦ ἐν τῇ ἑψήσει μιγνύειν. εἰ δὲ καὶ ἐμφράξεώς τις ὑπόνοια εἴη περὶ τὰ κυρτὰ ἢ τὰ σιμά, συνεψεῖν τότε κάλλιόν ἐστι καὶ σέλινον. μετὰ γὰρ τοῦ ἡδέος, πέττεται, καὶ ἀναδίδοται μᾶλλον εἰς τὸ ἧπαρ. τὰ δὲ ᾠὰ φεύγειν δεῖ ἐπὶ πασῶν τῶν τοιούτων διαθέσεων, καὶ μάλιστα τὰ σκληρά, καὶ τὸν ἄλικα. εἰ μή τις διὰ * κατάπτωμα, ἢ δι' ἀνορεξίαν, ἀνάγκη παρασκευάσει κεχρῆσθαι. καὶ τοῦτο δὲ τηνικαῦτα καλὸν συνεψεῖν ῥίζαν τοῦ σελίνου. βέλτιον μὲν οὖν ἐὰν μή τις ἀνάγκη παρείη, μηδέποτε διδόναι τὸν ἄλικα, μηδὲ χόνδρον, ἢ τύφον, ἀλλὰ πάντων ἐδεσμάτων προτιμᾶν τὴν πτισάνην, καὶ τὸν ἄρτον, καὶ τὰ προειρημένα λάχανα. εἰ δὲ μὴ παρείη τι τῶν προλεχθέντων λαχάνων, καὶ τὴν θριδακίνην διδόναι χρὴ καὶ ἀπὸ ζέματος, καὶ ἀρτυτήν, μετὰ ῥίζης σελίνου καὶ σεύτλου, δίεφθον λαμβανομένην. χρήσιμον γάρ ἐστι καθ' αὑτό, καὶ μετὰ μαλάχης ἡδύτερον γὰρ καὶ ὠφελιμώτερον, προσλαμβάνον καὶ ὄξους ἐν τῇ ἑψήσει. τῶν δὲ πτηνῶν ἡ ὄρνις ἡ κατοικιδία μᾶλλόν ἐστιν αἱρετωτέρα, καὶ ἀπὸ ζέματος ἐσθιομένη, καὶ σὺν τοῖς λαχάνοις ἑψομένη. τοὺς δὲ πολλοὺς ζωμοὺς ἀεὶ φεύγειν, μάλιστα τοὺς λιπαροὺς καὶ ἔχοντας, ἢ κυμίνου, ἢ ὀρύζης, ἢ ἄλλης τινὸς καρυκείας. ἐμποδίζουσι γὰρ αἱ τοιαῦται σκευασίαι, καὶ τῇ ἑψήσει καὶ τῇ ἀναδόσει, καὶ ἔτι χολώδους χυμοῦ πλεονάζοντος. καὶ ἡ τοῦ πέρδικος τροφὴ τούτοις ἐπιτηδεία, καὶ τῶν φασιανῶν τὰ μὴ λιπαρά, καὶ χηνῶν αἱ κοιλίαι, καὶ τῶν ἀγρίων τινά, οἷον ἀτταγῆναι, καὶ ὀλιγάκις κίχλαι ἢ τρυγόνες, καὶ τῶν μικρῶν στρουθίων τινά. τὰς δὲ νήσσας φεύγειν δεῖ καθόλου, καὶ πάντα τὰ ἐν τοῖς ἕλεσι διαιτώμενα, καὶ ὅσα ξηρὰν καὶ μελαγχολικὴν ἔχει τὴν σάρκα, σπανίως, ἢ οὐδ' ὅλως δεῖ προσφέρεσθαι. τὰς δὲ θερμὰς δυσκρασίας, οὐδὲν τούτων ἐσθιόμενον ὠφελεῖ. τῶν δὲ ἰχθύων μάλιστα τῶν θαλαττίων προσφέρεσθαι δεῖ τοὺς πετραίους, ἐν καθαρᾷ θαλάσσῃ διαιτωμένους, οἷον κίχλαν, σκάρον, ψῆσσαν, τρίγλαν, χρύσοφρυν. τοῖς δὲ ἔχουσι καὶ ἐλαφροτέραν τὴν θερμασίαν, καὶ ἰσχυρὰν δύναμιν, καὶ λάβρακα, καὶ ὀρφόν, καὶ κνείδα, καὶ τὸν ἐξ αὐτῆς ἰσικὸν προσφέρεσθαι δεῖ, μὴ μέντοι γάρου, ἢ κνίσσης, ἢ ἄλλων τινῶν. ὁ γὰρ ἰσικὸς οὕτως μετὰ τοῦ μηδὲν ὠφελεῖν, ἔτι μᾶλλον βλάπτει τὰ μέγιστα τοὺς ἐσθίοντας. τῶν δὲ τετραπόδων προσφέρεσθαι δεῖ τοὺς πνεύμονας * καὶ χόρδας. οὕτω γὰρ αὐτὰ καλοῦσιν οἱ πιπράσκοντες κάπηλοι. ἀλλ' ἔνιοι καὶ σπλῆνα, καὶ καρδίας αὐτοῖς προσμιγνύουσιν, ὡς δυσέφθαρτα καὶ ἀπομάχεσθαι δυνάμενα πρὸς θερμὴν δυσκρασίαν, ὅπου οὐκ ἔστι πολλὴ δυσκρασία πάνυ καὶ χολώδης, καὶ κακο-

χυμία δίχα τινὸς ἐμφράξεως μεγάλης ἢ φλεγμονῆς. ἐπὶ τούτων δεῖ προσφέρειν τὰς δυσμεταβλήτους καὶ ἰσχυρὰς τροφὰς πάνυ. διδόναι δὲ δεῖ τούτοις, εἴπερ εἴη καιρὸς ὀπώρας, καὶ τῶν πεπόνων τῶν γλυκέων τὴν σάρκα, καὶ τὰ πάνυ γλυκέα τῶν μήλων, καὶ τῶν κυδωνίων τῶν πάνυ πεπείρων. δεῖ δὲ καὶ ὀπτηθέντα καλῶς, ἢ ἑψηθέντα μετὰ ὀρνιθίου παρέχειν. ὅπως δὲ τὰ ὀπτώμενα μῆλα μήτε καίεσθαι μέλλῃ, ἀλλὰ πλείονα χρόνον ἐξαρκεῖν τῇ ὀπτήσει, ζύμην ἔξωθεν αὐτοῖς περιπλάττειν πανταχόθεν, καὶ οὕτω βάλλειν ἐν τῷ φούρνῳ. καὶ τῶν ῥοιῶν δὲ τοὺς κόκκους διδόναι δεῖ, καὶ μετὰ τροφῆς ὀλίγης, καὶ μετὰ ἄρτου. πάνυ γὰρ ἀσθενὲς ἧπαρ, καὶ καταπεπτωκότα στόμαχον ῥωννύειν εἰσὶν ἱκανοί, εἰ καὶ μάλιστα διψώδης ὁ κάμνων εἴη. τηνικαῦτα γὰρ καὶ σταφυλὴν τὴν σκληρόσαρκον, καὶ κίτρειον ἁπαλὸν αὐτοῖς διδόναι, καὶ κερασίων συμφέρει, καὶ ἀπιδίων, ἢ μεσπίλων, ἢ ἅπαξ ἢ δίς. ἡ γὰρ συνεχὴς χρῆσις τῶν στυφόντων ἁπάντων καὶ ξηραίνειν πέφυκε, καὶ τὴν κάτω κοιλίαν ἐμφράττειν. κωλύειν τε τὸ κόπριον εὐκόλως φέρεσθαι. φεύγειν οὖν τὰ στύφοντα λόγῳ τροφῆς προσφέρειν συνεχῶς, καὶ ἔξωθεν καταπλάττειν. ἐπὶ πολὺ δὲ τῶν τραγημάτων πρόσφερε τὰς σταφίδας, μάλιστα τὰς λεγομένας * λαειστηνάς. οὐδὲν γὰρ οὕτως ταῖς ἡπατικαῖς δυσεντερίαις ἐπωφελὲς, ὡς ἡ σταφὶς ἔχουσα ἅπαντα τὰ ἀγαθὰ, τὸ ἄσηπτον, καὶ τὸ ῥωστικὸν, καὶ πρὸς τῷ εἶναι φάρμακον ἀγαθὸν, καὶ τρέφειν δύναται, καὶ μεταβάλλειν εἰς χρηστὸν, ὅταν ἂν εὕρῃ μοχθηρὸν καὶ κακόηθες. τὰ δὲ ἄλλα πάντα, κάρυα, καὶ πιστάκια, καὶ στροβίλους φεύγειν δεῖ, ὡς πολέμια. καὶ κάστανα δὲ προσφέρεσθαι δεῖ οὐδὲν ὑφορώμενον. καὶ γὰρ * ἐντέρων εὔχυμά εἰσι, καὶ οὐ διαφθείρονται ταχέως ὑπὸ τῶν θερμῶν δυσκρασιῶν. τοσαῦτα καὶ περὶ ἡπατικῆς δυσεντερίας εἰρήσθω διὰ θερμὴν δυσκρασίαν γινομένης. καθόλου δὲ μᾶλλον ἐπιλέγεσθαι δεῖ τῶν ἐδεσμάτων ἐκεῖνα ὅσα ἀναδίδοται καλῶς, καὶ τόνον οἶδεν ἐντεῖναι καὶ εὐκρασίαν, καὶ τῶν σπλάγχνων ἔχει τὸ ῥυπτικὸν ἐκφράττον ἐν ἑαυτῷ. εἰ δὲ μὴ ἔχει τοιοῦτον, ἄλλως δὲ εὔκρατόν ἐστι, προσπλέκειν αὐτῷ δεῖ τοῦτο, ὥστε διεξέρχεσθαι καλῶς τῶν ἐν τῷ ἥπατι. εἴπωμεν δὲ τὸν χυλὸν τῆς πτισάνης ἐπιτήδειον εἶναι. πολλάκις δὲ καὶ τοὺς κόκκους αὐτοῦ, καὶ τὰ λάχανα. μάλιστα δὲ καὶ ἴντυβα, καὶ ἔτι μᾶλλον τούτων τὰ τρώξιμα, διὸ καὶ καθ᾽ ἑαυτὰ, καὶ μετὰ ὄρνιθος, ἢ πέρδικος, ἢ κοιλίας χηνός. εἰ δὲ καὶ μετὰ κρέατός τινος δεήσει συνεψεῖν αὐτοῖς, δεῖ τὰ λάχανα ταῦτα καὶ προσφέρειν ἑψηθέντα, ἢ ἀνέφθα, πρὸς ὃ καὶ ὁ πάσχων ἡδέως ἔχει, καὶ ἡ χρεία καλή.

Περὶ ἡπατικῆς δυσεντερίας ἀπὸ ψυχρᾶς δυσκρασίας. κϐ

Ὅτι ἡ καθόλου ἴασίς ἐστι διὰ τῶν θερμαινόντων, ἅπασι τοῦτο δῆλον· ἀλλὰ καὶ ποῖα ἐπιλέγεσθαι δεῖ μᾶλλον τῶν κατὰ μέρος, ἐπίστασθαι δεῖ ταῦτα τὸν ἰατρόν. καὶ δὴ ποιούμεθα τοῦτο ἀπὸ τῶν κατὰ δίαιταν ἀρξάμενοι. ψυχρᾶς τοίνυν τῆς δυσκρασίας οὔσης, ἁρμόζει καὶ ἄρτον θερμὸν διδόναι καθ᾽ ἑαυτὸν, * καὶ προεσθίειν, ἢ τυρείου, ἢ * βηρυτίου, ἢ σαρεφθίνου, ἢ κνιδείου. πολλάκις δὲ καὶ μετὰ ἀρυσίνου, ἡνίκα καὶ πυρέττῃ ὁ κάμνων, καὶ ψυχρὰ δυσκρασία πολλὴ φαίνοιτο, ἥπατός τε καὶ στομάχου κατακρατήσασα. ἐγὼ γοῦν οἶδα ἐπί τινος στοχασάμενος καταψυχθέντος τὰ σπλάγχνα, καὶ τὸν στόμαχον, κονδῖτον δεδωκὼς μετὰ ἄρτου, ἢ τίφης, καὶ τὰ μέγιστα ὠφελήσας. δεῖ οὖν τὸ μᾶλλον καὶ τὸ ἧττον τῶν θερμαινόντων πρὸς τὸ μέγεθος τῆς ἐπικρατούσης ψύξεως ὁρίζειν. τῶν δὲ λαχάνων ἁρμόζει μᾶλλον ἐσθίειν τὴν κράμβην τρισέφθον γινομένην, ποτὲ εἰς οἶνον ἀποβρέχοντα, ἄλλοτε ἄρτῳ τινὶ ἐσθίοντα, ἢ καθ᾽ αὐτὴν, ἢ μετὰ τῶν ἰντύβων,

ἢ προξίμου. ἐσθιέτωσαν δὲ καὶ μετὰ ὄρνιθος, ἢ πέρδικος, ἢ ἀτταγήνων, ἢ κιχλῶν. ἐσθίειν δὲ δεῖ καὶ τὰς κοιλίας τῶν χηνῶν, καὶ ἰσικὸν, καὶ κρέας ὀπτὸν, ἀλλὰ ἀσθμίως, ὅταν ἀνορέκτως ἔχοιεν πρὸς τὰ ἄλλα τῶν ἐδεσμάτων οἱ κάμνοντες. φεύγειν γὰρ δεῖ τὰ πάνυ δυσμετάβλητα τῶν ἐδεσμάτων προσφέρειν ἐπὶ τῶν ἐχόντων ψυχρὰν δυσκρασίαν. κατὰ δεύτερον δὲ λόγον καὶ ἡ κέγχρος πολὺ ἑψηθεῖσα, καὶ πολτὸς ὁμοίως ἐπιτήδειος. τὰ δὲ ὀστρακόδερμα τούτοις οὐ δεῖ προσάγειν· ταῖς γὰρ θερμαῖς κράσεσι τὰ τοιαῦτά εἰσιν ἐπιτήδεια. τῶν δὲ ἰχθύων συμφέρει διδόναι κίχλαν, κόσσυφον, κνεῖδα, χρύσοφρυν, καὶ πλέον πάντων τρύγλαν. αὗται γὰρ καὶ ὀπταὶ προσφερόμεναι, πᾶσιν ἐπιτήδειαι, καὶ μᾶλλον ἐπὶ * βισάλων ὀπτηθεῖσαι. καὶ τὰ κάστανα δὲ ὀπτὰ συμμέτρως ἐσθιόμενα, καὶ μὴ πάνυ συνεχῶς, ὠφελοῦσιν. οὐδὲν γὰρ ἔχουσι ψυχρὸν, οὕτως ἐσθιόμενα. καὶ προσέτι τοὺς ῥευματισμοὺς ἀμβλυώουσιν, ἔχοντα τὸ μέτριον παχύχυμον καὶ ἄδηκτον. δίδου δὲ καὶ τὰς σταφίδας· ἐπεὶ καθόλου παντὶ ἀσθενοῦντι καθ' οἱανδήποτε δυσκρασίαν, ἐκτὸς φλεγμονῆς, οἰκεῖόν ἐστιν ἔψημα· ῥωννυούσας τὸ ἧπαρ, καὶ εἰ κακόηθές τι περιεχόμενον ἐν αὐτῷ εἴη, εἰς χρηστὸν μεταβαλλούσας. τὰ δὲ πιστάκια, καὶ τὰ ἀμύγδαλα φεύγειν δεῖ ἐπὶ τῶν ἡπατικῶν δυσεντεριῶν. εὔφθαρτα γὰρ καὶ ἐλαιώδη εἰσὶ, καὶ ἑτοίμως εἰς χολὴν τρέπεται, καὶ τὸ περίττωμα ταχύτερον ἐργάζεται, ὥστε διὰ τοῦτο καὶ τοὺς ἐρεθισμοὺς τοὺς εἰς τὴν γαστέρα, πλείονας καὶ συνεχεστέρους γενέσθαι. τοιαῦτα καὶ περὶ ἡπατικῆς δυσεντερίας εἰρήσθω διὰ ψυχρὰν δυσκρασίαν γινομένης. τὰς δὲ ὑλικὰς ποιότητας, οἷον ξηρότητας καὶ ὑγρότητας, διὰ τῶν αὐτῶν ἰᾶσθαι δυνατὸν ἐδεσμάτων, ἐὰν ἐκεῖνα ζητῶμεν προσφέρειν ὅσα μήτε θερμαίνειν σαφῶς, μήτε ψύχειν πέφυκεν, ἀλλὰ μέσα πως ὄντα, καὶ κατὰ τὰς δραστικὰς ποιότητας ὑγραίνειν ἢ ξηραίνειν. εἴπωμεν δὲ καὶ ὅσα ἐν φαρμάκοις ἢ ἐν ἀντιδότοις τοῦτο ποιεῖν δύναται).

Ὅσα συμφέρει τῇ διὰ θερμὴν δυσκρασίαν ἡπατικῇ δυσεντερίᾳ. Κιτρίου χυλὸν δίδου κοτ. α′, μετὰ τοῦ μελικράτου, ἢ σέρεως χυλὸν ὁμοίως, ἢ κιχωρίου. εἰ δὲ μὴ ἔστι θερμὴ δυσκρασία πάνυ, καὶ μετ' οἴνου λεπτοτέρου δίδου πίνειν τοὺς χυλοὺς τῶν λαχάνων. ἔχουσι γὰρ καὶ τὸ ῥυπτικὸν, καὶ ἐκφράττουσι γενναίως. διὸ εἰ μὴ παρείη χυλὸς ὑγρὸς, ξηρὸν ἐπιπάττων. καταπότια δὲ ἐξ αὐτῶν δεῖ ποιεῖν πρὸς τὰς τοιαύτας διαθέσεις. ἔχουσι δὲ οὕτω, κιχωρίου < η′, ἐν ἄλλῳ < α′, χαμαιπίτυος τῆς ῥίζης < δ′. κόπτε καὶ ἀναλάμβανε μέλιτι ἑφθῷ, καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος μεθ' ὕδατος θερμοῦ πίνειν κοτ. γ′. τοῖς δὲ πάνυ ἔχουσι θερμὴν δυσκρασίαν ἐν τῷ σπλάγχνῳ, καὶ ῥόδινον, ἢ μήλινον δίδου πίνειν, ἢ ὑδροροσάτον, ἢ σέρεως χυλὸν ποτιζέσθω ὅσον κοτ. β′, καθ' ἡμέραν. Ἀντίδοτος κυφοειδής, ποιοῦσα πρὸς ψυχρὰν δυσκρασίαν ἥπατος.

Κρόκου κινναμώμου ἀνὰ < β′, ζιγγιβέρεως < β′, βδελλίου < η′, ἀσφάλτου < γ′, σχοίνου ἄνθους < γ′, καλάμου < β′, κασίας < α′, νάρδου < α′, τερεβινθίνης < ιϛ′, μέλιτος κοτ. ἥμισυ, σταφίδος σαρκὸς < ρξϛ′. οἴνῳ χρῶ εἰς τὸ βρέξαι τὴν σταφίδα καὶ τὸ βδέλλιον, καὶ τὴν σμύρναν, καὶ τὴν ῥητίνην τήξας, μίξον μέλιτι, εἶτα συμμίξας πάντα καὶ λεάνας, ἀπόθου. κάλλιστόν ἐστι βοήθημα τοῦτο, καὶ πλείστην αὐτοῦ ἔσχον πεῖραν ἐπὶ τῶν ἡπατικῶν δυσεντεριῶν. καὶ γὰρ ξηραίνει, καὶ ῥωννύει, καὶ διαφορεῖ, καὶ τῶν ἐπανορθουμένων ἐστὶ τοὺς μοχθηροὺς ἰχῶρας καὶ σηπεδόνας. σύγκειται γὰρ ἐξ ἀρωμάτων, καὶ σταφίδος, ἥτις καὶ τρέφει, καὶ τὴν φυσικὴν ἔχει πρὸς τὸ ἧπαρ ἐπιτηδειότητα. Ἐπίθεμα τονωτικὸν ἥπατος, συμπέττον φλεγμονάς. Ἀμμωνιακοῦ θυμιάματος, μελιλώτου ἀνὰ Γο γ′, οἰνάνθης, κασίας, σμύρνης, κρόκου, ἀλόης, ἀψινθίου χυλοῦ, νάρδου φύλλου ἀνὰ Γο α′,

χίας ℥ β', στύρακος ℥ β', ἀμώμου ℥ β', κηροῦ Ҳ β', νάρδου τὸ ἀρκοῦν. Ποτὸν ἐφ' ὧν ἀσθενέστερά ἐστι μετὰ ἐμφράξεως. Κράμβης ἀπόζεμα, καὶ ἐρίου συριακὸν λειοτριβήσας εἰς λεπτὸν, καὶ μίξας, δὸς πιεῖν, καὶ θαυμάσεις.

Κεφάλαια τοῦ ὀγδόου βιβλίου.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

α' Περὶ ὑδέρου.

Ὕδερος, ἔν τι ἐστὶ καὶ αὐτὸς τῶν χρονίων παθῶν, ἐπὶ καταψύξει τοῦ ἥπατος γινόμενος, ὡς μηκέτι δύνασθαι αὐτὸ μεταβάλλειν τοῦ λοιποῦ εἰς αἵματος γένεσιν, ἀλλ' εἰς ἀλλόκοτον ποιότητα, ἢ εἰς ὕδωρ, ἢ εἰς φλέγμα, ἢ εἰς πνεῦμα. καὶ διὰ τοῦτο τριττὸν εἰρήκαμεν ὕδερον συνίστασθαι· καὶ καλοῦσι τὸν μὲν ὑπὸ λεπτοῦ καὶ ὀῤῥώδους γινόμενον, ἀσκίτην· τὸν δὲ ὑπὸ πνεύματος ἐν ὅλῳ τῷ σώματι συνιστάμενον, τυμπανίαν· καὶ τὸν ὑπὸ φλεγματικοῦ χυμοῦ ἐν ὅλῳ τῷ σώματι συνιστάμενον, ἀνὰ σάρκα· οἱ δὲ λευκοφλεγματίαν ὠνόμασαν. δῆλον δὲ ὅτι καὶ τούτοις θεραπεύειν δεῖ, διαγινώσκοντας πρότερον, εἴπερ ἄρα ὀρθῆς θεραπείας πηδάλιόν ἐστιν ἡ διάγνωσις.

β' Περὶ ἀσκίτου.

Τὸν μὲν οὖν ἀσκίτην διαγινώσκειν χρὴ ἔκ τε τοῦ κλύδωνας γίνεσθαι, διὰ τὸ ὡς ἐν ἀσκῷ τινι περικυκλεῖσθαι τὸ περιεχόμενον ὑγρόν· τὸν δὲ τυμπανίαν, διὰ τὸ πληττόντων ἡμῶν, κτύπον τινὰ δοκεῖν ἀποτελεῖσθαι, ὥσπερ ἐπὶ τῶν τυμπάνων· τὸν δὲ ἀνὰ σάρκα, διὰ τὸ παραπλησίας ἔχειν τὰς σάρκας νεκρῷ σώματι, ὡς ὅλον τὸ σῶμα οἰδαίνειν, καὶ πιεζόντων ἡμῶν τῷ δακτύλῳ, κοιλότητα ἐπιγίνεσθαι, καὶ παυσαμένων αὖθις ἐπανέρχεσθαι. γίνεται τούτων ἕκαστος τῶν ὑδέρων, ἢ κατὰ πρωτοπάθειαν, ἢ κατὰ συμπάθειαν. καὶ γὰρ ἐπὶ σπληνὶ κακοχύμῳ ὄντι, καὶ κακοπραγοῦντι, καὶ κώλῳ, καὶ μεσεντερίῳ, ὑστέρᾳ τε καὶ νεφροῖς, καὶ κύστει, καὶ γυναικείῳ ῥῷ, καὶ ἐπισχέσει καταμηνίων, καὶ καταψύξει τοῦ πνεύμονος, καὶ διαφράγματι, καὶ ἐπὶ πολλοῖς ἄλλοις μορίοις· ὧν ἕκαστον διαγινώσκειν χρὴ πρότερον· εἶτα οὕτως ἐπιχειρεῖν ἐθέλειν θεραπεύειν. τοῖς μὲν οὖν ἐπὶ καταψύξει τοῦ ἥπατος ἢ πνεύμονος γινομένοις ὑδέροις, ὡς ἐπίπαν συμβάλλουσι βῆχες, καὶ ἀναπτύουσιν οὐδὲν ἄξιον λόγου, ἀλλὰ προθυμοῦνται μόνον. συμβαίνει δὲ καὶ ἐπίσχεσις τῆς γαστρὸς, διὰ τὸ τὴν φλεγμονὴν τοῦ σπλάγχνου ἀνικμᾶσθαι τὴν τῆς γαστρὸς ὑγρότητα * κύστεώς τε καὶ μεσεντερίου. κατά γε τῶν ἰδίων ἔσται σημείων, ὅτι τὴν γαστέρα μᾶλλον διαῤῥοίαις ἁλίσκεσθαι καὶ φθοραῖς συνεχέσι, καὶ δήξεσι τῶν ἐντέρων. καὶ γὰρ ἕπονται δήξεις, χολῆς ἐκκρινομένης. ἐκτίκτεται γὰρ αὐτοῖς εἰκότως καὶ χολῆς περιττώματα, ἐκκενουμένων τῶν σιτίων ὑπὸ τῆς ἐν ἐντέροις φλεγμονῆς οὔσης. ὧν δὲ ἐπὶ πνεύμονι πασχόντων ἐστὶ τεκμήρια, τὸ μάλιστα βῆχας γίνεσθαι καὶ καταψύχεσθαι τὴν καρδίαν, καὶ ὅλον τὸ σῶμα, καὶ τοὺς πόδας οἰδαίνειν πλέον ἁπάντων. γίνονται δὲ οὗτοι οἱ ὕδεροι μάλιστα τοῖς φθινώδεσι. διαγνώσῃ δὲ τοὺς ἐπὶ σπληνὶ κακοπραγοῦντι, ἐχρίμως δὲ καὶ τοὺς ἄλλους ἐπὶ φθίσει γινομένους εὑρήσεις, ἀκολουθῶν ἑκάστοτε ταῖς διαγνωστικαῖς μεθόδοις.

Περὶ θεραπείας.

Θεραπεύειν δὲ χρὴ πάντας, ἀπὸ κενώσεως ἀρχομένους, ἀλλὰ καὶ τὸν μὲν ἀσκί-

τὴν καλούμενον, ἢ τὸν τυμπανίαν, διὰ μόνης καθάρσεως· τὸν δὲ ἀνὰ σάρκα, διὰ φλεβοτομίας, ἔσθ' ὅτε χρήζει. διὰ πλῆθος γὰρ αἵματος ψυχροῦ γίνεται· καὶ ὅσον μὲν ἐπὶ τῇ ψύξει, οὐ χρήζει φλεβοτομίας· ἀλλ' ἐπεὶ ἀφαιρούμενον τὸ πλῆθος ἐπικουφίζει τὴν φύσιν, ὥστε τοῦ ἐλάττονος αὐτὴν ἑτοίμως περιγενέσθαι, οὐκ ἄτοπον, ἀλλ' εὔλογον ἐνταῦθα καὶ φλεβοτομίᾳ χρῆσθαι. ὁρῶμεν γὰρ ὅτι καὶ τὸ ἐκτὸς πῦρ ἀπὸ χλωρῶν ἀποσβεσθῆναι κινδυνεῦον ξύλων, ἀναλάμπει πάλιν, ἀφαιρουμένων ἐκείνων τῶν καταπνιγόντων αὐτό. τὸν μὲν οὖν ἀνὰ σάρκα, καὶ φλεβοτομεῖν ἔσθ' ὅτε δεῖ καὶ καθαίρειν· λεγομένου οὖν αὐτῶν καὶ τὴν κατὰ μέρος ἐπιμέλειαν, καὶ πότε, ἀνατρίβειν, δεῖ, καὶ καταβρέχειν, καὶ ἐπιπλάττειν, καὶ πότε δεῖ κεχρῆσθαι φαρμάκοις, καὶ ὁποίοις. μετὰ φλεβοτομίαν οὖν· περὶ πάσης γὰρ τῆς ἄλλης θεραπείας αὐτοῦ, ὡς εἶπον, παραλαμβάνειν δεῖ, ἐὰν τὰ τῆς δυνάμεως ἐπιτρέπῃ· εἰ γὰρ ἀσθενὴς εἴη, φεύγειν δεῖ τηνικαῦτα τὴν τοῦ αἵματος ἀφαίρεσιν, εἰ καὶ ἄλλως φαίνοιτο χρήζων. δυνατὸν γάρ ἐστιν ὕστερον εὐκαίρως ἀφαιρεῖν, ἀναρρωσθείσης τῆς δυνάμεως, καὶ τοῦ μοχθηροῦ πλήθους ἐπικουφισθέντος ἐξ ὀλίγου δι' ἑτέρων τινῶν, καὶ μάλιστα διὰ τῆς πικρᾶς καλουμένης. τὸ γὰρ φάρμακον τοῦτο ἅμα τε τὸ ἐκφράττειν ἔχει, καὶ τὸ ῥωννύειν τὰ σπλάγχνα δυνάμενον, οὗ καὶ μάλιστα χρήζομεν. μετὰ δὲ τὴν χρῆσιν τῶν ἐκφράττειν δυναμένων, καὶ ἀναπετεῖς ἐργάζεσθαι τοὺς πόρους, καὶ εὔρουν ποιῆσαι τὴν ὕλην, ἔλθε λοιπὸν ἐπὶ τὰ κατὰ μικρὸν ἰσχυρότερον καθαίρειν δυνάμενα. δεῖ δὲ μὴ ὑφ' ἓν τοῦτο ποιεῖν, ὥστε μὴ καταβληθῆναι τὴν δύναμιν. καὶ γὰρ εἰ καὶ περιττόν ἐστι τὸ κενούμενον, ἀλλ' εἰς τὴν ἀθρόαν μεταβολὴν, μᾶλλον βλάπτει. βέλτιον οὖν ἐστι κατὰ μικρὸν καὶ ἀσφαλῶς κενῶσαι, ἢ σπουδάζοντα καὶ θορυβούμενον, ἅμα τῇ νόσῳ συναναιρεῖν καὶ τὸν κάμνοντα. καλῶς μὲν οὖν καθαίρουσιν ὅ, τε τῆς ἀκταίας χυλὸς μετὰ κνιδίου πινόμενος, καὶ λαθυρίδες, καὶ ἡ τοῦ χαλκοῦ λεπίς. ἀλλ' οὐδὲν οὕτως ὡς τὸ λαμβάνειν καὶ τῆς χαμαιλαίας φύλλα, χαλκοῦ καὶ ἀνίσου ἀνὰ < έ. δίδου σὺν ὕδατι, κατὰ μὲν τὰς ἀρχὰς < ά, μετὰ δὲ τὸ ἀναλαβεῖν τὴν δύναμιν, καὶ δύο δίδου <, καὶ πλέον, καὶ ἔλασσον κατὰ μικρὸν, καὶ ὅλην τὴν δόσιν, καὶ ἁπλῶς πρὸς τὴν δύναμιν ἀποβλέπων στάθμιζε καὶ τὴν δόσιν τοῦ βοηθήματος. καὶ πάλιν μετὰ τὴν κάθαρσιν, πρόσεχε τὰ ἐκφράττειν δυνάμενα, καὶ μάλιστα τὸν διὰ τῶν ἀμυγδάλων τροχίσκον. οὕτω γὰρ ἀνύπως ἐκφράττειν ἐρχομένους οἶδα, ὅτι πωθεὶς, συνεχῶς διέλυσε σκίρρους ἥπατος. ἡ δὲ σκευασία ἐστὶ τοιαύτη. Σκευασία τοῦ διὰ τῶν πικρῶν ἀμυγδάλων. Ἀνίσου, σελίνου σπέρματος, ἀμυγδάλων πικρῶν, ἀψινθίου, κόμμεως ἀνὰ < δ', ὕδατος αὐτάρκους. τούτῳ μὲν τῷ τροχίσκῳ κέχρησο πρὸς τὰς τῶν παχέων χυμῶν καὶ γλίσχρων ἐμφράξεις, καὶ ἐφ' ὧν οὐ σφοδρά τις ὀδύνη γίνεται περὶ τὸ σπλάγχνον. εἰ δέ τινες ὀδύναι εἶεν περὶ τὰ ἔντερα, καὶ τὴν γαστέρα, καὶ τὰ ὑποχόνδρια, καὶ τῷ τῶν ἀμαζόνων καλουμένῳ· καὶ γὰρ ἀνώδυνός τέ ἐστι, καὶ τὸ ἐκφράττειν ἔχει καὶ τὸ προσηνεικόν. συνεχέστερον δὲ ἐπὶ τῶν τοιούτων, καὶ τῷ ἀποζέματι κέχρησο τῆς σεσέλεως, ἢ τῆς κασίας, ἢ τοῦ ναρδοστάχυος, ἢ ἀσάρου. καὶ καταπλάσμασι τοῖς ἔχουσι τὸ τήλινον ἄλευρον καὶ κρίθινον, καὶ ἀψινθίαν πλείστην κεκομμένην. ὑπὲρ πάντα γὰρ αὕτη ὠφελεῖ. καὶ γὰρ τόνον ἐντίθησι τῷ σπλάγχνῳ, καὶ ἀδήλως ὑποξηραίνει τὰ ἐν τῷ βάθει ὑγρά. ἐχέτω δὲ καὶ κύμινον κεκομμένον, καὶ ἄνισον, καὶ μαστίχην, καὶ νάρδον κελτικὴν, καὶ τὸ τοῦ πηγάνου σπέρμα, καὶ μέλι. ἐν οἴνῳ δὲ ἑψήσθω τὰ σπέρματα. οὕτω γὰρ ἔσται πολλῷ κάλλιον. περὶ μαλα-

ρωθέντων δὲ τῶν σπλάγχνων, καὶ ἀραιωθέντων ἐπὶ ἡμέρας ε' ἢ ζ', κέχρησο καὶ ἐπιθέματι μικτὴν ἔχοντι δύναμιν, ὡς καὶ ῥωννύειν καὶ μαλάττειν δύνασθαι τὸ σπλάγχνον· ἐξ ὧν ἐστὶ καὶ τοῦτο λαμβάνον οὕτω, κρόκου < ι', ἐν ἄλλῳ < η', ἀλόης, μαστίχης, ἀμμωνιακοῦ, βδελλίου ἀνὰ < η', στύρακος < δ', ἐν ἄλλῳ < ς', κηροῦ < ζγ', στέατος χηνείου < ις', ὑσσώπου ὑγροῦ < λβ', κυπρίνου τὸ ἀρκοῦν. εἰ δὲ θέρος εἴη, καὶ πυρέττοι ὁ ἔχων τὸν ὕδερον, καὶ ῥοδίνου καὶ οἴνου προσβαλλέσθω πρὸς τὴν τῶν ξηρῶν ἕνωσιν. εἰ δὲ μὴ μόνον τὸ ἧπαρ, ἀλλὰ καὶ ὁ σπλὴν καὶ ὁ στόμαχος ὄγκον σοι φαίνοιτο καὶ σκληρίαν ἔχειν, ἄφελε θαῤῥῶν ὀλίγου αἵματος, καὶ μάλιστα εἰ καὶ πλῆθος ὑπάρχοι ἐν ταῖς φλεψὶ μοχθηρόν, καὶ μηδὲν ἡ δύναμις ἀντιπράττοι, ἀλλὰ καὶ ὁ πάσχων ἀκμάζων φαίνοιτο τὴν ἡλικίαν, καὶ ὁ καιρὸς εἴη μὴ σφόδρα ψυχρός. οὕτω δεῖ ποιεῖν τὴν κένωσιν, καὶ οὕτω κατὰ βραχύ, ἵνα ἀναπαύσῃ ἡ φύσις βαρυνομένη ὑπὸ πλήθους. αἱ γὰρ λειποθυμίαι, μετὰ τοῦ καταβάλλειν τὴν δύναμιν, ἔτι καὶ ψύξιν ἄλλην ἐναποτίθενται τῷ σπλάγχνῳ. διὸ πολλὰ δεῖ καὶ ἀκριβῶς ἐπισκεψάμενον, οὕτω τολμᾶν εἰς τὸ ὠφελεῖν ὑδεριῶντος αἷμα. φέρει μὲν γὰρ κίνδυνον καὶ ἐπὶ τῶν ἄλλων ἡ ἄκαιρος φλεβοτομία· ἐπὶ δὲ ὑδεριῶντος ἔσθ' ὅτε καὶ θάνατον. ἐφ' ὧν οὖν καὶ ἔμφραξίς ἐστι μεγίστη, καὶ φλεγμονὴ σκιῤῥώδης, καὶ ἡ δύναμις ἔῤῥωται, ἐπὶ τούτων παράλαμβανε κένωσιν αἵματος, πρό γε πάντων τῶν ἄλλων βοηθημάτων, καὶ μάλιστα τῶν ἰσχυρῶν, ὧν ἐστὶ καὶ τοῦτο. Πρὸς σπλῆνος καὶ ἥπατος σκληρίαν ἰσχυρὸν φάρμακον. Ἀμμωνιακοῦ θυμιάματος, βδελλίου, ἴρεως ἰλλυρικῆς ἀνὰ < ις', στύρακος < η', στέατος μοσχείου < ιβ', ὀποπάνακος < η', πεπέρεως κόκκους ρζ', κηροῦ < μη', ἰρίνου ὑποστάθμης ὅσον ἐξαρκεῖ, καὶ οἴνου τὸ ἀρκοῦν. οὐ δεῖ δὲ μόνον τοῖς μαλακτικοῖς κεχρῆσθαι φαρμάκοις, οὐδὲ τοῖς διαφορητικοῖς, ἀλλὰ καὶ τοῖς τὸν ὄγκον προστέλλειν δυναμένοις. ἔχει δὲ καὶ τούτων ἡ γραφὴ οὕτω, κηροῦ < ρζε', πίσσης ξηρᾶς < ρζς', στυπτηρίας ὑγρᾶς < ζς', ἀλόης < μς', νίτρου, μάννης ἀνὰ < ζς', πυρέθρου, < κη', ἀριστολοχίας < κδ', ἀμμωνιακοῦ < κδ', καρδαμώμου < κη', ἰξοῦ < κδ', ἐλαίου < κδ', ὄξους τὸ ἀρκοῦν. τὰ μὲν οὖν καταπλάσματα καὶ ἐπιθέματα τοιαῦτα ἔστωσαν ἐπὶ τῶν ἐχόντων τὸν ἀνὰ σάρκα ὕδερον, ἅμα τῷ διατετάσθαι, καὶ ἔμφραξιν καὶ σκληρίαν ἔχειν μεγίστην τὰ σπλάγχνα. ἐπὶ μὲν οὖν τῶν μετρίαν ἐχόντων ἔμφραξιν, καλῶς εἰρήκαμεν, τῷ διὰ τῶν ἀμυγδάλων τροχίσκῳ· ἐπὶ δὲ τῶν μεγίστων, καὶ ταῖς ἰσχυροτέραις ἀντιδότοις κεχρῆσθαι.

Πρὸς τὰς σκιῤῥώδεις τοῦ ἥπατος διαθέσεις.

Κρόκου, ναρδοστάχυος, κόστου, σχοίνου ἄνθους, κινναμώμου ἀνὰ < β', ζιγγιβέρεως < α', μέλιτος ἀττικοῦ ἀπηφρισμένου < κε', σίδου < α', μετ' οἰνομέλιτος. κάλλιστόν ἐστι βοήθημα τοῦτο, καὶ διακαθαῖρον ἰσχυρῶς τὰ σπλάγχνα.

γ'

Περὶ ἀσκίτου καὶ τυμπανίτου.

Αρμόζουσι μὲν γὰρ πάντα τὰ εἰρημένα βοηθήματα καὶ τοῖς ἄλλοις ὑδέροις, τῷ τε ἀσκίτῃ καὶ τῷ τυμπανίᾳ, χωρὶς φλεβοτομίας. τούτοις γὰρ μᾶλλον αἱ καθάρσεις ἁρμόζουσι, καὶ πάντα ὅσα διὰ γαστρὸς οἶδε καθαίρειν ὕδωρ. οὐδὲν δὲ ἧττον καὶ ἀνατρίψεις αἱ διὰ τῶν ἁλῶν, καὶ τοῦ ὠμοτριβοῦς ἐλαίου, καὶ σικυωνίου, καὶ κυπρίνου. τὴν δὲ ἀνάτριψιν δεῖ μετρίαν ποιεῖσθαι, ὥστε μὴ βίᾳ ἐκ τοῦ βάθους ἑτέραν ἐπισπᾶσθαι ὕλην, ἀλλὰ μόνας τὰς ἐπιπολαίους ἐν τῷ σώματι διαφορῆσαι περιεχομένας. δεῖ δὲ καὶ τοῖς

φαρμάκοις

φαρμάκοις ἐπὶ τούτων κεχρῆσθαι, μὴ μόνον τοῖς διαφορεῖν, ἀλλὰ καὶ περιστέλλειν τὸν ὄγκον δυναμένοις. καλοῦσι δὲ ταῦτα ἡπατήρια. εἴρηται μὲν οὖν τοῖς παλαιοῖς πολλὰ, καὶ ἔστι ταῦτα εὑρεῖν ἐν πολλοῖς κείμενα. κάλλιστον δέ ἐστιν αὐτῶν καὶ ἰσχυρότατον καὶ τοῦτο. ἔχει δὲ αὐτοῦ ἡ σκευασία οὕτω, ῥητίνης φρυκτῆς < τπδ΄, κηροῦ < ρϟβ΄, πίσσης ξηρᾶς < ρϟβ΄, στυπτηρίας ὑγρᾶς < ϟϛ΄, νίτρου < ϟϛ΄, θείου < ϟϛ΄, μάννης < ϟϛ΄, πυρέθρου < κη΄, βδελλίου < κδ΄, ἀμμωνιακοῦ θυμιάματος Κ κδ΄, καρδαμώμου < κη΄, ἰξοῦ < κη΄, ἐλαίου < κδ΄, ἀλόης < μϛ΄, ἀριστολοχίας < κδ΄. ὄξους τὸ ἀρκοῦν. οὐδὲν δὲ ἧττόν ἐστιν εἰς τὸ διαφορεῖν δύνασθαι καὶ περιστέλλειν καὶ τοῦτο. Ἄλλο. Χαλκάνθου, νίτρου, ἀφροῦ, ἀλόης ἀνὰ Γο γ΄, ψιμμυθίου, ἐλαίου ἀνὰ Γο ι΄, ὄξους δριμυτάτου τὸ ἀρκοῦν. λαβὼν τὰ ξηρὰ, λείου ἕως μελιτώδη γένηται. τὸ δὲ ψιμμύθιον μετὰ τοῦ ἐλαίου ἕψε, ἕως οὗ συστραφῇ καὶ ἀμόλυντον γένηται. τότε ἐπίβαλλε τὸν κηρὸν, καὶ οὕτω κατὰ μέρος ἐν τῇ θυίᾳ μαλάξας, χρῶ. ἔστι διὰ πείρας πολλῆς τοῦτο τὸ φάρμακον, οὐ μόνον πρὸς ὑδεριῶντας, ἀλλὰ καὶ εἰς ἄλλα πάθη πολλὰ χρήσιμόν ἐστι. καὶ γὰρ τὸν σπλῆνα ὑπεκτήκει, καὶ ἀποστήματα ἐκπυεῖ, δοθιῆνάς τε καὶ τὰ ἐν ἄρθροις ὑγρά. καὶ ὑδροκεφάλοις δὲ καὶ ἀθερώμασι, καὶ σκίῤῥοις, καὶ παρωτίσιν ἁρμόζει, καὶ πρὸς ἄλλα πλείονα θαυμαστῶς ἄξια. μὴ οὖν τῆς εὐτελείας τῶν εἰδῶν καταφρονήσῃς εἰς τὸν ἀσκίτην, καὶ ἐφ᾽ ὧν μή ἐστι πολλὴ σκληρία περὶ τὰ σπλάγχνα καὶ τὸ ἧπαρ. εἰ δὲ εἴη σκληρία, κέχρησο καταπλάσματι δυναμένῳ τὰ σπλάγχνα διαφορεῖν, καὶ μαλάττειν ἅπαντα τὰ ἐν βάθει τοῦ τε ἐπίπλου καὶ περιτοναίου κείμενα ὑγρά. κέχρησο δὲ αὐτῷ καὶ εἰς ἄλλα πολλὰ συμβάλλεσθαι δυναμένῳ. ἔχει δὲ αὐτοῦ ἡ σκευασία οὕτω, κηροῦ, πιτυΐνης, πίσσης * βρυτίας, νίτρου ἐρυθροῦ, δαφνίδων ξηρῶν, στέατος ταυρείου, ἀμμωνιακοῦ θυμιάματος, μάννης λιβάνου ἀνὰ ℔ α΄, τὰ τηκτὰ τήξας, ἔμπλασσε τὰ ξηρὰ τοῖς ὑγροῖς, καὶ ἑκάτερα μίξας, ἐπίβαλλε, καὶ τρίψας ἐπιμελῶς χρῶ.

Πρὸς τυμπανικοὺς καὶ σκιῤῥῶδες ἔχοντας τὸ ἧπαρ.

Πρὸς δὲ τοὺς τυμπανικοὺς καὶ σκιῤῥῶδες ἔχοντας τὸ ἧπαρ, ποιεῖ μὲν καὶ τὸ προγεγραμμένον βοήθημα. πολὺ δὲ μᾶλλον ἐκεῖνα δεῖ σκευάζειν, ὅσα δύναται καλῶς καὶ πνεῦμα διαφορεῖν καὶ μαλάσσειν τὰς σκληρὰς διαθέσεις. ἔχει δὲ τούτου ἡ γραφὴ οὕτω, φρυκτῆς ℔ α΄, πίσσης, κηροῦ ἀνὰ < ιβ΄, στυπτηρίας ὑγρᾶς, θείου, νίτρου, ἀνὰ ℔ α΄, μάννης Γο γ΄, ἐλαίου παλαιοῦ Γο β΄, μετὰ ὄξους λείου, ἕως γλοιώδη σύστασιν ἔχῃ, καὶ οὕτω τήξας τὰ τηκτὰ, καὶ ἑκάτερα ἐν τῇ θυίᾳ ἀποκινήσας ὀλίγον, ἐπίπασσε τὴν μάννην, καὶ ἐκλειώσας ἐπὶ πολὺ, χρῶ. τοσαῦτα περὶ φαρμάκων καὶ τῆς ἄλλης εἰρήσθω θεραπείας. λοιπὸν δὲ καὶ περὶ διαίτης ὑπογράψομεν, ἥτις καὶ πρώτην καὶ κυριωτάτην ἔχει τὴν θεραπείαν ἐπὶ πάντων μάλιστα τῶν παθῶν, οὐχ ἥκιστα δὲ καὶ ἐπὶ τῶν κινδυνωτάτων, ὧν εἰσι καὶ οἱ ὕδεροι. εἴτε γὰρ κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν εἴη γεγονὼς ὕδερος, οὐκ ἄνευ τοῦ πεπονθέναι τὸ ἧπαρ, δύναται συστῆναί ποτε. ἐπεὶ οὖν τὸ ἧπαρ ἐστὶ τὸ ἐξαιματοῦν τὴν τροφὴν, καὶ ὅλῳ τῷ σώματι πέμπον, διὰ τοῦτο ἅμα δεῖ προνοεῖσθαι παντοίως, ὥστε καὶ τὴν εἰς αὐτὸ μέλλουσαν ἔρχεσθαι τροφὴν, εὐανάδοτον εἶναι, καὶ μηδαμῶς ἐμποδίζεσθαι πρὸς τὴν ἀνάδοσιν. ἀρίστη οὖν αὐτοῖς ἔσται τροφὴ, ἄρτος ὁ κλιβανίτης, ἔχων τῶν ἀφύσων σπέρματα, οἷον, ἀνίσου, ἢ κυμίνου, ἢ μαράθρου, ἢ σίνωνος ὁμοίως. παραιτητέος δὲ αὐτοῖς καὶ ὁ πολὺς ἄρτος. ὅπως γὰρ

ἂν εἴη ἐξυμωμένος καλῶς, οὐ δύναται τὸ παχὺ καὶ ἐμφρακτικὸν μὴ ἔχειν. λαχάνων
δὲ δεῖ λαμβάνειν, εἰ μὲν ἀπύρετος εἴη, τὰ θερμαίνειν καὶ λεπτύνειν δυνάμενα, οἷον ἐστι,
σέλινον, πετροσέλινον, δαῦκος, εὔζωμον, γλήχων, κιγλὶς, καυκαλὶς, καὶ ὅσα τούτων λεπτο-
μερῆ καὶ θερμὰ τετύχηκεν ὄντα, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον τοῦτο ποιεῖν δυνάμενα.
τῶν δὲ ὀρνέων προτιμᾶν δεῖ τὰ ἄγρια τῶν ἡμέρων, οἷον, φάσσαν, τρυγόνα, κίχλαν·
καὶ τῶν μικρῶν στρουθίων, ὅσα μὴ λιπαρά· ἰχθύων δὲ τοὺς πετραίους. ἔστω δὲ καὶ τούτων
ὁ ζωμὸς ἀπέριττος, ἄνισον ἐν τῇ ἑψήσει, ἢ πεπέρεως ὀλίγον προσλαμβάνων. τῶν δὲ
κρεῶν ἐσθιέτωσαν συμμέτρως, καὶ τούτων μᾶλλον ὅσα μὴ λιπαρὰ, καὶ μάλιστα τὰ
ἄγρια, οἷον, ἐλάφεια, συάγρεια, αἴγεια, δορκάδεια· τὰ δὲ λαγῶα παραιτείσθωσαν. γι-
νέσθω δὲ αὐτοῖς ὁ ζωμὸς μετά τινος τῶν λεπτυνόντων ἐδεσμάτων. καὶ ὀπτῶν δὲ μάλι-
στα εἰ ἡδέως ἔχοιεν, οὐδέν ἐστιν ἄτοπον αὐτοὺς λαμβάνειν. τῶν δὲ ὀστρακοδέρμων, οἷον,
ἀστακοὺς, ἢ κηρύκια, ἢ κτένια. σπανίως τε καὶ ἐξ ὀλίγου δεῖ προσφέρειν ἡδονῆς ἕνεκα
μόνης. ὅσον γὰρ πρὸς τὴν διάθεσιν· καὶ μάλιστα ἐφ' ὧν οὐκ ἔστι θερμὴ δυσκρασία, ἢ
πυρετὸς, παραιτεῖσθαι δεῖ αὐτῶν τὴν συνεχῆ χρῆσιν. τῶν δὲ ὀσπρίων ἀπέχεσθαι δεῖ
αὐτοὺς δὴ μάλιστα τοὺς τυμπανικούς. ὁμοίως δὲ καὶ πλακούντων ἁπάντων ὅσα διὰ
γάλακτος ἔχει τὴν σκευασίαν, καὶ ἀπὸ σεμιδάλεως. τῶν δὲ τραγημάτων οὐδὲν ἄτο-
πον λαμβάνειν, ἀμυγδάλων, ἢ πιστακίων, σταφίδων δὲ καὶ φοινίκων, σπανίως· καστάνων
δὲ ἢ καρύων, εἰς τὸ παντελές. οἶνον δὲ προσφερέσθωσαν τὸν τύριον, ἢ ἀσκάλωνα, καὶ
μάλιστα τὸν παλαιὸν καὶ * ἱερουλίζοντα. οὗτος δὲ καὶ τὰ οὖρα προτρέπει. τί δ' ἂν τις
εὕρῃ τούτου τοῖς ὑδεριῶσι κάλλιον βοήθημα; τῶν δὲ πομάτων λαμβανέτωσαν,
ἀψινθιάτου, καὶ μάλιστα τοῦ ἔχοντος καὶ ναρδοστάχυος πλείονος, ἢ τοῦ * ἀπίου· τῶν δὲ
ἄλλων ἀπεχέσθωσαν. κίνησις δὲ, εἴπερ τι ἄλλο, τοῖς ὑδεριῶσι συμβάλλεται, καὶ μά-
λιστα ἡ διὰ θαλάσσης, καὶ ἵππου, καὶ λεκτικίου. τοῖς δὲ δυναμένοις καὶ ἡ διὰ
τῶν ποδῶν ἐστι χρησιμωτάτη. τὴν δὲ ἀνάτριψιν λαμβάνειν δεῖ μάλιστα ἐπὶ τῶν ὑ-
δεριώντων, ὡς τοὺς πόρους ἀραιοῦσαν, καὶ ἀπολεπτύνουσαν τὰ ὑγρὰ, καὶ διαφο-
ροῦσαν. οὐδὲν γὰρ οὕτω βλάπτει τοὺς ὑδεριῶντας, ὡς ἡ τῶν πόρων πύκνωσις οὐ συγ-
χωροῦσα διαφορεῖσθαι τὰ συναγόμενα πνεύματα καὶ ὑγρὰ, ἀλλὰ παλινδρο-
μοῦσιν εἰς τὴν γαστέρα καὶ τὸ περιτόναιον. ἀνατρίβειν οὖν τούτους δεῖ, ποτὲ μὲν ξη-
ραῖς ταῖς χερσὶν, ἄλλοτε δὲ μετὰ ἁλῶν καὶ ἐλαίου, ἔσθ' ὅτε δὲ καὶ μετὰ σικύνου, ἢ κυ-
πρίνου. δεῖ δὲ τὰς τῶν λουτρῶν εἰδέναι χρήσεις βλαβερὰς τοῖς ὑδεριῶσι, καὶ μάλι-
στα τοῖς ψυχρὰν ἔχουσι δυσκρασίαν. ἐπειδὴ καὶ αὗται, ὡς μεμαθήκαμεν, τῶν ψύ-
χειν μᾶλλον καὶ θερμαίνειν δυναμένων εἰσίν. ἡνίκα οὖν λούονται, συμφέρει κατὰ
τῶν σπλάγχνων ἐπιβάλλειν ὅσα διαφορεῖν δύνανται, καὶ λεπτύνειν, οἷόν ἐστι τὸ ὀρόβι-
νον ἄλευρον, καὶ οἱ ἅλες, ἢ νίτρον, ἢ ἄλλο τι τῶν διαφορεῖν δυναμένων. πολλὰ δὲ
εἰσὶ καὶ ἄλλα τοῖς παλαιοῖς κείμενα, διαφορεῖν δυνάμενα. καὶ δεῖ ἐπινοεῖν τοιαῦτα, καὶ
ἐξ αὐτῶν ἀναλέγεσθαι τὰ χρησιμώτατα. οὕτω μὲν δεῖ τοὺς ἄνευ πυρετῶν ὑδε-
ριῶντας σπουδάζειν διαιτᾶσθαι.

Περὶ τῶν μετὰ πυρετοῦ ὑδεριώντων.

Εἰ δὲ καὶ πυρέττουσιν οἱ ἔχοντες τὸν ὕδερον, οὐ δεῖ πάνυ τοῖς θερμαίνουσι χρῆ-
σθαι, οὔτε ἐπὶ τῶν σπλάγχνων, οὔτε ἐπὶ τῶν ἐδεσμάτων, ἢ πομάτων, ἢ ἀντιδότων, ἢ κα-
θαρτηρίων, ἀλλ' ἀρκεῖ τῶν μὲν λαχάνων λαμβάνειν τό, τε ἴντυβον καὶ τὸ τρώξιμον,
ἢ καυ-

ἢ καυκαλίδα, ἢ γιγγίδα μιγνυμένην τούτοις, καὶ κιχώριον δὲ μάλιστα, ἢ σελίνων κεφαλάς. δίδου δὲ αὐτοῖς καὶ πράσων ἀποζεσθέντων πολλάκις, καὶ τῶν ἀγρείων ἀσπαράγων. οὕτω δὲ καὶ τῶν ἀντιδότων φεύγειν δεῖ τὴν συνεχῆ χρῆσιν, καὶ μάλιστα τῶν ξηροτέρων, καὶ δριμυτέρων, καὶ καθαρτηρίων ὁμοίως τὰ πάνυ θερμὰ παραιτεῖσθαι. οὐδὲν γὰρ τῶν πάνυ θερμαινόντων αὐτοὺς ὠφελεῖν δύναται. τήν τε γὰρ δίψαν αὐτῶν ἐπιτείνουσι τὰ τοιαῦτα, καὶ τὸν πυρετὸν ἐξάπτουσι, καὶ τὰ φλεγμαίνοντα τῶν αἰτίων ἔτι μᾶλλον ἐκκαίουσι, καὶ ἐπαύξουσι τὰ κακά, ὥστε ἀπὸ τῶν ὀξέων νοσημάτων ὕδεροι οὐ δύνανται μὴ τὰς φλεγμονὰς ἔχειν παραμενούσας αὐτοῖς. οὐδὲν γὰρ οὕτως ἀδιάληπτον, ὡς ὁ πυρετός. καὶ θαυμαστὸν ὅτι οὐδὲ ὁ ὕδερος αὐτοῖς ὁ τικτόμενος ἀποσβεννύει αὐτῶν τὴν θερμασίαν. οὐδὲ ὁ πυρετὸς ἐξαλείφει πάντα τὸν ὕδερον, ἀλλ' ὑπό τε ὕδατος ἅμα καὶ πυρὸς συνέχονται, ὥστε πανταχόθεν ἄπορον γίνεσθαι τὴν θεραπείαν, εἴτε θερμαίνειν, εἴτε ψύχειν βούλοιτό τις. ἀνάγκη γάρ ἐστι τὰ ψύχοντα πάντως ἐπιτείνειν τὸν ὕδερον, τὰ θερμαίνοντα πάλιν τὸν πυρετόν. βέλτιον οὖν ἐπὶ τῶν τοιούτων μικτὴν ποιεῖσθαι τὴν θεραπείαν, καὶ πρὸς τὸ κατεπεῖγον μᾶλλον ἐνίστασθαι, ὡς οἷόν τε. καὶ ὅπου γε σφοδρότεροι φαίνοιντο οἱ πυρετοί, τηνικαῦτα δεῖ κεχρῆσθαι τοῖς ψύχουσι μᾶλλον, καὶ μὴ φοβεῖσθαι τὰ ψύχοντα τότε διδόναι. πῶς γὰρ ἂν παύσηται ὁ πυρετός, εἰ μὴ ὑπὸ τῶν ἐναντίων; ἀλλ' οὐδὲ ὁ ὕδερος ἂν παύσαιτό ποτε, εἰ μὴ παύσαιτο πρότερον ἡ παρὰ φύσιν θερμασία. καὶ γὰρ αὐτὴ χρονίζουσα δύναται τίκτειν ὕδερον. πᾶσα γὰρ εἴτε θερμὴ δυσκρασία, εἴτε ψυχρὰ χρονίζουσα καὶ ἐπικρατοῦσα, καταβάλλει τὴν δύναμιν καὶ τὴν τροφήν. ἀνάγκη τοίνυν αὐτῶν μηκέτι μεταβαλλόντων εἰς αἱματώδη τὴν ἀναδιδομένην τροφήν, εἰς ἀτμώδη τινὰ καὶ ὑδατώδη καὶ μοχθηρὰν οὐσίαν τρέπεσθαι. ὅτι δὲ καὶ διὰ τὴν σύντηξιν ὕδερος γίνεται, καὶ τῷ θειοτάτῳ Γαληνῷ ὡμολόγηται. ὁρᾶται μὲν γὰρ καὶ τῆς συντήξεως γένεσιν ὑπὸ θερμασίας, ἤπερ ὑπὸ ψύξεως μᾶλλον γινομένην. δεῖ οὖν θεωρεῖν καὶ τὰ προηγησάμενα πάντα, καὶ τὰ παρόντα νῦν, καὶ τὴν προοῦσαν δυσκρασίαν διεγνωκότα, οὕτω τολμᾶν ἔρχεσθαι πρὸς τὴν θεραπείαν, καὶ μὴ τῇ τῶν πολλῶν ἕπεσθαι δόξῃ, ὡς δεῖ τοὺς ὑδεριῶντας παντὶ τρόπῳ θερμαίνειν. οὐδὲ γάρ ἐστι τοῦτο ἀληθές. ἐγὼ μὲν γὰρ πολλοὺς καὶ ὑπὸ τῶν ἐμψυχόντων ὠφεληθέντας ἔσθ' ὅτε βοηθημάτων ἑώρακα, καὶ τοῦτο δῆλον ὅτι δυνατόν ἐστι συμβαίνειν. εἰς δυσκρασίαν γὰρ ἐπανερχομένων ἁπάντων τῶν μορίων, ἀπὸ τῆς παρὰ φύσιν γινομένης θερμασίας, ἀνάγκη ὡς καὶ τὸ ἧπαρ αἷμα χρηστὸν γεννᾶν, μηδαμόθεν ἐμποδιζόμενον. ὥσπερ οὖν εἶπον, δεῖ σπουδάζειν ἀεί, τὸ εἶδος ἀνιχνεύειν, ἀκριβῶς καταλαμβάνειν τὴν αἰτίαν τὴν τὸν ὕδερον ἐργαζομένην. αἱ γὰρ καλούμεναι μέθοδοι τῆς Ἱπποκράτους τέχνης, αὗταί εἰσιν, ὡς ἀεὶ τὰ ἐναντία τῶν ἐναντίων εἰσὶν ἰάματα. πάντας οὖν τοὺς ὑδέρους διαιτήσας καταλλήλως ἑκάστῃ καὶ πρεπούσῃ διαίτῃ, οὕτως ἔρχου ἐπὶ τὰ καθαίρειν αὐτοὺς δυνάμενα, μὴ ἀθρόως, ἀλλὰ κατ' ὀλίγον ὡς εἰρήκαμεν. τοὺς μὲν διὰ ψυχρὰν δυσκρασίαν συνισταμένους ὑδέρους, διὰ τῶν θερμαινόντων. ἀλλὰ μηδὲ τούτους διὰ τῶν ἄγαν ξηραινόντων ἐδεσμάτων, ἢ φαρμάκων δριμυτέρων εὐθὺς θεραπεύειν, ἀλλὰ κατὰ μέρος, καὶ διὰ τῶν μετρίων ἔρχεσθαι πρότερον. εἶτα οὕτως ἐπὶ τὰ ἰσχυρότερα, καὶ μᾶλλον θερμαίνειν δυνάμενα, καὶ λεπτύνειν. αἱ γὰρ ἀθρόαι διὰ τῶν ἄγαν θερμαινόντων προσφοραὶ συντήκουσι μᾶλλον ὅλην τὴν ἕξιν, ἤπερ ἀποκενοῦσι τὸ ἄγαν πλέον ὑγρόν. οὕτω δὲ καὶ εἰ δεήσει χρῆσθαι τοῖς ἐμψύ-

χουσι, πειρῶ διὰ τῶν κατὰ μέρος προστεθῆναι τῇ φύσει, καὶ οὕτως ἔρχου ἐπὶ τὰ μᾶλλον ἐμψύχοντα. καθάρας οὖν αὐτοὺς ὡς δεῖ, οὕτως ἔρχου καὶ ἐπὶ λουτρὰ, καὶ κινήσεις συμμέτρους, ἀλλὰ τοὺς φλεγματικοὺς καὶ ψυχροτέρους τὴν κρᾶσιν, ἄμεινόν ἐστιν ἀπάγειν ἐπὶ λουτρῶν αὐτοφυές. τοὺς δὲ λεπτοὺς καὶ ξηροὺς, καὶ πυρέττοντας, διὰ τῶν ποτίμων καὶ γλυκέων ὑδάτων, καὶ ἀλοιφῆς, καὶ μεταβολῆς ἀέρων, καὶ εὐθυμίας ἁπάσης ἄγειν. οὕτω γὰρ αὐτοὺς συμβήσεται προσφόρως διαιτωμένους, εἰς τὴν ἀρχαίαν πάλιν ἐπανελθεῖν εὐκρασίαν, ὥστε καὶ τὸ ἧπαρ μηκέτι ὕδωρ, ἀλλὰ χρηστὸν αἷμα τοῦ λοιποῦ δύνασθαι γεννᾶν.

δ' Περὶ τῶν ἐν τοῖς νεφροῖς συνισταμένων παθῶν.

Οἱ γινόμενοι περὶ τοὺς νεφροὺς λίθοι, ὑπὸ γλίσχρων χυμῶν καὶ παχέων ὀπτωμένων τὴν γένεσιν ἔχουσι, τῆς ἐν τοῖς νεφροῖς θερμασίας πυρώδους ὑπαρχούσης. ἔστιν οὖν ὑλικὸν αἴτιον ἡ παχυτέρα ὕλη, ποιητικὸν δὲ, ἡ πυρώδης θερμασία. ὥσπερ καὶ ἐπὶ τῶν ἐκτὸς ὁρωμένων. ἐκ πυρὸς γὰρ καὶ τοιαύτης ὕλης ἐπιτηδείας οὔσης, οἱ τὰς κεράμους ἐργαζόμενοι, οὕτως ἄπλυτα ποιοῦσιν, ὡς μηδὲ ὑπὸ ὕδατος δύνασθαι διαλυθῆναί ποτε. τούτων οὕτως ἐχόντων, φροντιστέον ἐστὶ μήτε ὕλην παχυτέραν γεννᾶσθαι περὶ τοὺς νεφροὺς, μήτε πυρώδεις αὐτοὺς καὶ δυσκράτους γίνεσθαι. εἰ γάρ τι τούτων εἴη, οὐ μὴ συσταίη λίθος ποτέ. Περὶ διαγνώσεως. Διαγίνωσκε δὲ ἀκριβῶς οὕτως, εἰ τῷ ὄντι λίθος ἐστὶν ὁ ποιῶν τὴν ὀδύνην. καὶ γὰρ τὰ αὐτὰ συμβαίνει σημεῖα καὶ τοῖς κωλικευομένοις, καὶ τοῖς ἔχουσι λίθον ἐν νεφροῖς. καὶ μάλιστα περὶ τὰς ἀρχὰς διακρίνεσθαι δυσχερῶς. καὶ γὰρ ἐπὶ ἀμφοτέρων τῶν παθῶν ἔμετοι γίνονται, καὶ ἐποχὴ γαστρὸς, καὶ πνευματώσεις καὶ διατάσεις, ἄχρι τοῦ στομάχου καὶ τοῦ ἥπατος. εἰ δὲ καὶ συμβαίνει τὰ αὐτὰ ἀμφοτέροις, ἀλλὰ τὸν τεχνίτην ἰατρὸν οὐκ ἂν λάθοι. μᾶλλον γὰρ καὶ πλείονες οἱ ἔμετοι ἐπὶ τῶν κωλικῶν, καὶ ἄπεπτοι, καὶ φλεγματώδεις, ἐν ἐποχῇ τῆς γαστρὸς καὶ πνευμάτων. ἐπὶ δὲ τῶν νεφριτικῶν, οὐ τοσοῦτον. ἀλλὰ καὶ θεραπευόμενοι πολλάκις ἐκκρίνουσιν. ἔσθ' ὅτε δὲ καὶ χωρὶς τοῦ θεραπευθῆναι, πνευμάτων ἔκκρισις γίνεται, καὶ τῆς γαστρὸς ὑποχώρησις. ὅπερ οὐδὲ ὅλως τοῖς κῶλον ἀλγοῦσι συμβαίνει. δεῖ δὲ καὶ τὰ οὖρα κατανοεῖν ἐπιμελῶς. τὴν γὰρ μεγίστην διάγνωσιν ἐν τούτοις ἀκριβῶς ἐστιν εὑρεῖν, φλεγματικωτέρα γὰρ καὶ πλείων ἡ ὑπόστασις γίνεται τοῖς κωλικοῖς, ἥττων δὲ τοῖς νεφριτικοῖς. καὶ εἰ κατανοήσεις ἀκριβῶς, ψαμμώδη τινὰ εὑρήσεις ἐν τοῖς οὔροις, ἅπερ τοῖς κωλικευομένοις οὐ συμβαίνουσι, καὶ μᾶλλον ὀδύνη βαρεῖα καὶ ἐρείδουσα καθ' ἕνα τόπον τοῖς νεφριτικοῖς, ὅπερ τοῖς κωλικοῖς οὐ συμβαίνει. οὕτω μὲν οὖν διαγινώσκειν δεῖ καὶ διακρῖναι ἀπ' ἀλλήλων νεφριτικούς τε λίθον ἔχοντας καὶ κωλικούς.

Θεραπεία λιθιώντων. Θεραπεύειν δὲ δεῖ τοὺς ἔχοντας λίθον, ἐν μὲν τοῖς παροξυσμοῖς, διὰ τῶν χαλᾶν καὶ παρηγορεῖν δυναμένων, καὶ προσέτι θρύπτειν, καὶ ὑπεξάγειν τὸν λίθον. ἄριστον οὖν ἁπάντων τὸ λουτρόν. οὐ γὰρ μόνον παρηγορεῖ, ἀλλὰ καὶ θεραπεύειν δύναται. τοὺς μὲν γὰρ κωλικοὺς μόνον παρηγορεῖ πολλάκις. τοὺς δὲ νεφριτικοὺς κατ' ἀμφότερα ὠφελεῖ. ἀλοιφῇ δὲ κατὰ τὸν τόπον, τῷ χαμαιμήλῳ κεχρήσθωσαν ἐν τῷ λουτρῷ, καὶ ἐν θερμῷ πλείονι, καὶ ἐν τῇ ἐμβάσει ἐπὶ πλείονα χρόνον διατριβέτωσαν. δεῖ δὲ οὐ μόνον ἅπαξ λούειν τῆς ἡμέρας, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον. πολλάκις καὶ εἰς τὸ ψυχρὸν, εἰ θέρος εἴη, ἀναβιβαζέσθωσαν. μετὰ δὲ τὸ λαβεῖν τὰ σάβανα, πινέτωσαν

τὸ ζέμα

τὸ ζέμα τῶν κολυμβάδων, μετὰ σελίνου, ἢ βραχέος ἀνίσου. εἰ δ' ἐπιμένοι τὰ τῆς ὀδύνης, καὶ μηδ' ὅλως ἔκκρισις τοῦ λίθου γένοιτο, πινέτω καὶ τὸ ζέμα τῆς ῥίζης τῆς πενταφύλλου βοτάνης, ἔτι περιβεβλημένοι τὰ σάβανα. πάνυ γὰρ μετὰ τοῦ ἡδέος καὶ τὸ δραστικὸν ἔχει. ἐκτὸς δὲ τοῦ λουτροῦ δεῖ λαμβάνειν αὐτὸ καθ' ἑαυτὸ καὶ μετ' ὀξυμέλιτος. εἰ δὲ μὴ εὐπορήσεις τῆς πενταφύλλου τὴν ῥίζαν εὑρεῖν, καὶ τοῦ ἠρυγγίου ἢ ἐρεσίμου καὶ πριονίτιδος, πάνυ μεγάλως τὸ ζέμα ποιεῖ πινόμενον. ἔξωθεν δὲ κεχρήσθω καὶ μυρσίνοις, διὰ τῶν πιτύρων τῶν σιτίνων, μάλιστα καὶ τοῦ ζέματος τῆς χαμαιμήλου καὶ ἀλθαίας, καὶ μελιλώτων, καὶ ἐλαίου χαμαιμηλίνου. συνεχέστερον δὲ ἀμειβέσθωσαν. εἰ δὲ μὴ παρεῖσι πίτυρα, τοῖς ῥάκεσι τοῖς ἐρεοῖς χρηστέον, ἀποβρέχοντας αὐτά ποτε εἰς ἔλαιον γλυκύ, ἄλλοτε εἰς χαμαιμήλινον, καὶ οὕτω θερμαίνοντας, ἀλλάσσειν συνεχέστερον. ὑπάγειν δὲ δεῖ καὶ τὴν γαστέρα κλύσμασι, μὴ τοῖς πάνυ δριμέσιν, ἀλλὰ μᾶλλον τοῖς ἔχουσιν ἐλαίου πλείονος, καὶ τοῖς δυναμένοις χαλᾶν καὶ θρύπτειν, ἐκτὸς τοῦ δριμύσσειν. τοιοῦτον δέ ἐστι τὸ τῆς ἀλθαίας ζέμα, τήλεως τε καὶ ἰσχάδων, καὶ πιτύρων, καὶ χαμαιμήλων, καὶ τὸ ἔλαιον τὸ χαμαιμήλινον. ἐπὶ δὲ τῶν θερμοτέρων πάνυ, καὶ οἱ τῆς πτισάνης χυλοὶ μετὰ ῥοδίνου, καὶ χαμαιμήλου, καὶ κρόκων ὠῶν συγκείμενοι. παρηγοροῦσι γὰρ καὶ εὐκρασίαν περιποιοῦσι τοῖς τόποις, καὶ πρὸς τὸ παθεῖν φοβούμενοι, κωλύουσιν ἁλίσκεσθαι τῇ διαθέσει τοὺς λιθιῶντας συνεχῶς. εἰ δὲ ἐπιμένει τὰ τῆς ὀδύνης, καὶ ὁ λίθος δυσέκκριτος, ἔρχου ἐπὶ τὰ ἰσχυρότερα τῶν βοηθημάτων. τοιοῦτον δέ ἐστι τὸ τράγου αἷμα. δεῖ δὲ αὐτὸ ψύχειν καλῶς, καὶ μετὰ τὸ ψυγῆναι, κόπτειν καὶ σήθειν, καὶ οὕτω διδόναι τοῖς ἔχουσι λίθον. καὶ τοὺς * τέττιγας δὲ ὁμοίως ψύξαντα καὶ κόψαντα, διδόναι. δεῖ δὲ * αὐτῶν λαμβάνειν τὰ πτερὰ καὶ τοὺς πόδας, καὶ οὕτω παρέχειν τῷ πάσχοντι, κάτω ἐν λουτρῷ ἐν τῇ τοῦ ψυχροῦ δεξαμενῇ. κάλλιον δὲ ἂν εἰς οἰνόμελι ἢ κονδῖτον λειώσῃς τὸ βοήθημα. μὴ οὖν καταφρονήσῃς· ἔστι γὰρ ἰσχυρόν. ταῦτα μὲν οὖν ἁπλᾶ. τῶν δὲ συνθέτων ἄριστόν ἐστι τόδε, ναρδοστάχυος, πεπέρεως ἀνὰ γο α', κασίας, σύριγγος, κόστου ἀνὰ γο β', δι' ὕδατος δίδου νυκτὸς καὶ πρωΐ. δραστικώτατον δὲ καὶ σφόδρα ἰσχυρότατόν ἐστι βοήθημα τὸ διὰ τοῦ τραγείου αἵματος οὕτω διδόμενον, ὅταν ἄρξηται περκάζειν ἡ σταφυλή, λαβὼν λοπάδα καινήν, βάλε εἰς αὐτὴν ὕδωρ, καὶ ἀπόζεσον, ὥστε τὸ γεῶδες ἀποβαλεῖν, καὶ σφάξας τὸν τράγον, βάλε τοῦ αἵματος αὐτοῦ τὸ μέσον, ὥστε μήτε τὸ πρότερον μήτε τὸ ὕστερον λαβεῖν, καὶ ἐάσας παγῆναι, κατάτεμε εἰς λεπτά, μόνον ἐν τῇ λοπάδι. σκεπάσας δὲ δικτύῳ λεπτῷ, ἢ ὀθόνῃ ἀραιᾷ, εἰς ὑπαίθριον τόπον τίθει, ὥστε ὑπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης καταλάμπεσθαι, καὶ ξηρανθῆναι, καλῶς φυλαττόμενος μὴ βραχῇ. καὶ λειώσας ἐπιμελῶς ἔχε ἐν πυξίδι. καὶ ἐπὶ τῆς χρήσεως δίδου κοχλιάριον ἓν πλῆρες μετὰ γλυκέος κρητικοῦ. τοῦτο μὲν οὖν τοιοῦτόν ἐστι. καὶ ἡμεῖς δὲ οὐκ ἐν ὀλίγῳ χρόνῳ τὴν τούτου πεῖραν εἰλήφαμεν. προσήκει δὲ ἀκμαῖον εἶναι τῇ ἡλικίᾳ τὸν σφαζόμενον τράγον. εἴη δ' ἂν ὁ τοιοῦτος περὶ τὸ τέταρτον ἔτος. φύλλα δὲ τοῦ μαράθρου δεῖ προσπαραβάλλειν τῷ τράγῳ, εὐωδίας χάριν, ἀμώμου τε καὶ τῶν τοιούτων. ἐγὼ δὲ μίξας ζιγγιβέρεως * τρωγλῖτιν κεκαυμένην, εἰς τὰς μεγάλας ὀδύνας, οἶδα ἐξουρήσαντα παμμεγέθη λίθον ὃν διαθρύψας ἐξέωσε. ἐδείκνυε δὲ τὸ πλῆθος τῶν τμημάτων, τὸ συνεστὸς ἐξουρηθὲν αὐτοῦ μόριον. τοῦτο τὸ φάρμακον μετὰ τοῦ θρύπτειν, καὶ ἀνώδυνόν ἐστι, καὶ ἄλλους οὐκ ἐᾷ συνίστασθαι λίθους, ὅθεν καὶ θεοῦ χεὶρ καλεῖται. εἰ δὲ μὴ ἔχεις τὸ αἷμα τοῦ τράγου, κέχρησο τῷ διὰ τοῦ κονδίτου. ἔχει δὲ οὕτω. Κονδί-

τὸν νεφριτικόν. Ναρδοστάχυος, φοῦ, σαξιφράγου, βετονίκης, ἀσάρου, λινοσπέρμου, πετροσελίνου ἀνὰ Γο α΄, κόστου, φύλλου ἀνὰ Γο ς΄. κοχλιάριον βάλε τοῦ ξηρίου εἰς κονδῖτον, καὶ πινέτω πρὸ ὥρας ἀρίστου. θρύπτει λίθους, καὶ ἀπουρεῖσθαι ποιεῖ, ὡς μηκέτι συγχωρεῖν συνίστασθαι λίθους. Περὶ ἀνωδυνῶν. Τούτοις καὶ τοῖς ὁμοίοις τούτων ἐν ταῖς παρειςάσεσι χρῆσθαι, καὶ τῶν λίθων ἐσφηνωμένων, οὐ κατὰ τὸν τῆς ὑγείας χρόνον, διὰ τὸ μὴ δυσκράτους γίνεσθαι τοὺς νεφρούς. εἰ δὲ ἐπιμένει ἡ ὀδύνη, καὶ μέγας κίνδυνος καταβληθῆναι τὴν δύναμιν ὑπό τε τῶν ἀγρυπνιῶν, καὶ τῆς ἐπιμόνου ὀδύνης, ἔρχου καὶ ἐπὶ τὰς ἀντιδότους, ὅσαι μετὰ τοῦ παρηγορεῖν, καὶ ὕπνον ἐμποιεῖν ἔχουσι, καὶ τὰ λεπτύνοντα, καὶ θρύπτειν δυνάμενα λίθους, οἷά ἐστιν, ἥ τε Φίλωνος, καὶ ἡ πλυάκεια καλουμένη, καὶ ἡ θηριακὴ μὴ παλαιὰ οὖσα καθ' ἑαυτήν, ἢ μετὰ τῆς Φίλωνος μιγνυμένη. βέλτιον γάρ ἐστι παρηγορῆσαί τε, καὶ ἀνακαλεσάμενον τὴν δύναμιν, οὕτως ἐπὶ τὰ ἰσχυρότερα καὶ λίθους θρύπτειν δυνάμενα πάλιν ἔρχεσθαι.

Περὶ φλεβοτομίας.

Εἰ δὲ καὶ πλῆθος ὑπολάβῃς εἶναι, ἢ φλεγμονὴν ἅμα τῇ τοῦ λίθου ἐμφράξει, τὴν φλεβοτομίαν πάντως παραλάμβανε πρότερον. οὕτω γὰρ οὐκ ἂν ἁμάρτῃς προσφέρων βοήθημα. χαλάσεως γὰρ γινομένης, καὶ τῶν πόρων ἀραιωθέντων, ἔτι μᾶλλον τὰ προσφερόμενα βοηθήματα τὸ ἴδιον ἐπιδείξονται ἔργον. οἶδα μὲν οὖν καὶ ἓν μόνον τῶν γεγραμμένων βοηθημάτων ἀρκεῖν πρὸς τελείαν θεραπείαν τοῦ πάθους. ἐμνημόνευσα δὲ διαφόρων, διὰ τὸ ἀπορήσαντα ἑνός, ἑτέρῳ δυνηθῆναι χρήσασθαι. λοιπὸν δὲ καὶ πρὸς τὸ μέγεθος τῆς νόσου, καὶ τὴν δύναμιν, καὶ τὴν ἕξιν τοῦ κάμνοντος, ἐξευρίσκειν ἐκ τῶν διαφόρων ἐστὶ δυνατὸν τὸ κατάλληλον. ἐν δὲ τῷ τῶν βοηθημάτων πλήθει, ἵνα μὴ θραύειν τοὺς ἤδη τεχθέντας λίθους, ἄλλους δὲ γίνεσθαι πλείονας παρασκευάζουσι. τὴν γὰρ ποιητικὴν αἰτίαν αὔξουσι τῶν λίθων, δυσκράτους αὖθις καὶ πυρώδεις διὰ τῶν θερμαινόντων ἀπεργαζόμενοι, ὡς εὐχερῶς ἑτέρους ὀπτᾶν δύνασθαι λίθους. ὅπως οὖν μὴ τοῦτο γένοιτο, σπουδάζειν χρὴ φεύγειν τὰ πάνυ θερμὰ καὶ δριμέα τῶν βοηθημάτων. εἰ δὲ ἀνάγκη τις συμβῇ, ἅπαξ ἢ δὶς τούτοις χρησάμενον, καὶ ἐπιτυχόντα τοῦ σκοποῦ, δεῖ πάλιν ἀφίστασθαι αὐτῶν, καὶ μή, ὡς οἱ πολλοὶ ποιοῦσι, χρῆσθαι θέλειν αὖθις, ἐν τῷ τῆς ὑγείας χρόνῳ, προφυλακῆς χάριν, ἐπὶ τὸ μὴ συνάγεσθαι παχυτέραν ἢ ψυχροτέραν ὕλην, ἐπιτηδείαν οὖσαν πρὸς τὴν τῶν λίθων γένεσιν, ἀλλὰ τοὐναντίον δεῖ σπουδάζειν, καὶ εὐκρασίαν ἐμποιεῖν, καὶ τοῖς λεπτύνουσιν ἄνευ τοῦ πάνυ θερμαίνειν, χρῆσθαι, ὥσπερ τὸ ὀξύμελι, καὶ τὸ ἀδίαντον, καὶ τὸ ζέμα τοῦ ἀγρίου ἀσπαράγου, καὶ ἀγρώστου, καὶ ἡ ῥίζα τοῦ σελίνου, καὶ ἠρυγγίου, καὶ τῆς πενταφύλλου ῥίζης, καὶ τοῦ ἀρνογλώσσου τῆς ῥίζης, καὶ τῶν φύλλων. καὶ ἔτι μᾶλλον τοῦ καρποῦ καὶ τῶν ἐρεβίνθων ὁ ζωμός, γλυκυσίδης ὁ καρπός, ἀμύγδαλα. ἀλλὰ μηδὲ τούτοις συνεχῶς, ἀλλὰ τότε μόνον ὅτε τις ὑπόνοια συνάγεσθαι παρείη παχυτέραν ὕλην ἐν τοῖς νεφροῖς. πίνειν δὲ δεῖ πρὸ πάσης τροφῆς εὔκρατον. οὐδὲν γὰρ οὕτως ἀπερίττους ἐργάζεται καὶ εὐκράτους τοὺς νεφρούς, ὡς μὴ δύνασθαι ἔτι τίκτειν λίθους. τῷ γὰρ χρόνῳ τὸ πυρῶδες αὐτῶν ὑπὸ τῆς εὐκρασίας ἀποσβέννυται. διὸ καλῶς ποιοῦσιν οἱ πίνοντες καὶ ἐν τῷ μέσῳ τῆς τροφῆς, ὕδατος ἢ οἴνου ψυχθέντος, ἢ ῥοσάτου ἢ ἰάτου. τὸ γὰρ κονδῖτον πάντη τρόπῳ παραιτεῖσθαι δεῖ, ὥσπερ καὶ τὸ ὑδρόγαρον, καὶ πάντα τὰ διὰ πεπέρεως. καὶ οὐ μόνον δὲ τὰ δριμέα, ἀλλὰ καὶ τὰ παχύματα τῶν ἐδεσμάτων φεύ-

γειν δεῖ

γεῖν δεῖ, οἷον, ἄλικα, ἴτρειον, σεμίδαλιν, ᾠὰ σκληρά, πλακοῦντας, καὶ ὅσα διὰ γάλακτος ἔχει τὴν σκευασίαν, καὶ αὐτὸ τὸ γάλα, καὶ τὸν τυρόν. παραιτείσθωσαν δὲ καὶ τοὺς παλαιοὺς μέλανας καὶ αὐστηροὺς τῶν οἴνων, καὶ τὸ ἐπὶ στρωμνῆς καθεύδειν ἐχούσης πλεῖστα τῶν χλωρῶν. πάλιν γὰρ ἐκθερμαίνει ταῦτα τοὺς νεφρούς, καὶ τὸ ἵστασθαι ἐπὶ πολὺ φυλάττεσθαι δεῖ· σπουδάζειν δὲ μᾶλλον, ἢ κινεῖσθαι, ἢ καθέζεσθαι. φεύγειν δὲ δεῖ καὶ τὴν βραδυπεψίαν, καὶ τὸ μὴ πέττοντα ἐσθίειν, καὶ τὸν πολὺν ἰσικόν, καὶ τῶν ἰχθύων τὰ κητώδη, οἷον, θύννους, πηλαμύδας, σκόμβρους, κεφάλους, καὶ τὰ ὀστρακόδερμα, πλὴν κτενίου καὶ ἐχίνου. τῶν δὲ ἐχίνων καὶ συνεχῶς δεῖ λαμβάνειν, ἐὰν ἔστι δυνατόν. μετὰ γὰρ τοῦ εὐκρασίαν περιποιεῖν, καὶ τὸ διουρητικὸν ἔχει. ἀστακοῦ δὲ καὶ κηρυκίου συνήθως δεῖ λαμβάνειν. τὰ δὲ ὄστρεα καθόλου παραιτεῖσθαι, καὶ τῶν κρεῶν τὰ λιπαρὰ καὶ τῶν ὀρνέων. ὁμοίως καὶ τῶν ἐν λίμνῃ διαιτωμένων συνεχῶς ἐσθίειν. προσφερέσθωσαν δὲ καὶ χηνῶν τὰ ἄκρα, καὶ τῶν στρουθίων τὰ λιπαρά, χλωροὺς πυργίτας, καὶ τὰ ὅμοια. τῶν δὲ ὀπωρῶν ἐσθιέτωσαν καὶ τῶν σικύων, τὴν ἐντεριώνην περιττὴν μάλιστα, καὶ πεπόνων. σῦκα δὲ ξηρὰ καὶ χλωρὰ προσφερέσθωσαν, καὶ σταφυλὴν, καὶ μῆλα, καὶ ῥοδάκινα, καὶ ἀπίδια, μήτε πολλά, μήτε συνεχῶς. ταῦτα μὲν καθόλου καὶ κατὰ μέρος εἰρήσθω σοι κατὰ μέθοδον ἐπιστημονικὴν ἐκτεθέντα. ἐπεὶ δὲ καί τινες τῶν ἀρχαιοτέρων, καὶ τῶν τὰ φυσικὰ περὶ ἀντιπαθείας γραψάντων, ἐξέθεντό τινα καὶ τοὺς ἤδη τεχθέντας ἐπαγγελλόμενα ῥύπτειν παραδόξως λίθους, καὶ τοῦ λοιποῦ μηκέτι τίκτεσθαι συγχωρεῖν, ἀναγκαῖον ἐνόμισα καὶ τούτων ἐκθέσθαι τινά, καὶ μάλιστα διὰ τοὺς φιλαρέτους, ἕνεκα τοῦ σῶσαι ἄνθρωπον, καὶ δυνηθῆναι νικῆσαι πάθος. καλὸν γὰρ νικᾶν, καὶ πάσῃ μηχανῇ βοηθεῖν. ἔτι δὲ καὶ ὁ θειότατος Γαληνὸς μηδὲν νομίσας εἶναι τὰς ἐπῳδάς, ἐκ τοῦ πολλοῦ χρόνου καὶ τῆς μακρᾶς πείρας εὗρε μεγάλως δύνασθαι αὐτάς. ἄκουσον οὖν αὐτοῦ λέγοντος, ἐν ᾗ περὶ τῆς καθ' Ὅμηρον ἰατρικῆς ἐξέθετο πραγ-
» ματείας. ἔχει δὲ οὕτως, Ἔνιοι γοῦν οἴονται τοῖς τῶν γραῶν μύθοις ἐοικέναι τὰς ἐπῳ-
» δάς, ὥσπερ κἀγὼ μέχρι πολλοῦ. τῷ χρόνῳ δὲ ὑπὸ τῶν ἐναργῶς φαινομένων ἐ-
» πείσθην εἶναι δύναμιν ἐν αὐταῖς. ἐπί τε γὰρ τῶν ὑπὸ σκορπίου πληγέντων ἐπει-
» ράθην ὠφελείας. οὐδὲν δ' ἧττον, κἀπὶ τῶν ἐμπαγέντων ὀστῶν ἐν τῇ φάρυγγι, δι' ἐ-
» πῳδῆς εὐθὺς ἀναπτυομένων, καὶ πολλὰ γενναῖα καθ' ἕκαστόν εἰσι, καὶ ἐπῳδαὶ τυγ-
» χάνουσαι τοῦ σκοποῦ. εἰ οὖν καὶ ὁ θειότατος Γαληνὸς μαρτυρεῖ, καὶ ἄλλοι πολλοὶ τῶν παλαιῶν, τί κωλύει καὶ ἡμᾶς ἅπερ ἔγνωμεν ἐκ πείρας, καὶ ὅσα ὑπὸ φίλων γνησίων, ταῦτα ἐκθέσθαι ὑμῖν; πολλὰ μὲν οὖν εἰσι καὶ ἄλλα, οὐδὲν δὲ οὕτως, ὡς ὁ ἐκ τοῦ κυπρίου χαλκοῦ δακτύλιος. ἔχει δὲ οὕτω. Φυσικά. Λαβὼν χαλκὸν * νικημὸν ἢ κύπρινον, πυρὶ τὸ σύνολον μὴ συνομιλήσαντα, τὸ ἐν αὐτῷ τῷ μετάλλῳ τοῦ χαλκοῦ εὑρισκόμενον ποίησον γενέσθαι ὡς ψηφίδα, ὥστε φανῆναι ἐν δακτυλίῳ· καὶ γλύψας ἐπ' αὐτῆς λέοντα, καὶ ☾, καὶ ἀστέρα, κύκλῳ τούτου γράψον τὸ ὄνομα τοῦ θηρίου, καὶ ἐγκλείσας χρυσῷ δακτυλιδίῳ, φόρει περὶ τῷ μικρῷ ἰατρικῷ δακτύλῳ.

Περὶ φλεγμονῆς τῶν ἐν νεφροῖς. ε'

Ὅτι μὲν ἡ φλεγμονὴ συνίσταται καθόλου πλῆθος ὕλης ἐπιρρεῦσαν ἐν τοῖς μορίοις, καὶ μάλιστα τοῖς σαρκώδεσιν, ἅπασιν ὡμολόγηται, καὶ χρὴ τοῦτο ἐπιστημόνως σκοπεῖν,

ἄρα τὸ ἐπιρρέον, τῷ πλήθει μόνῳ λυπεῖ, ἢ ποιότητι μόνῃ, ἢ τῷ συναμφοτέρῳ· πλήθει μὲν, ὡς ὅταν αὐτὸ χρηστὸν ὑπάρχον τὸ αἷμα, διὰ μηδὲν ἄλλο, ἢ διὰ πλήθους αὐτὸ μόνον τὴν ἔμφραξιν ἐργάσηται, καὶ διατείνῃ τὲ καὶ εἰς ὕψος ἐπαίρῃ τὸ μόριον· ποιότητι δὲ μόνῃ, ὡς ὅταν μὲν ὀλίγον ὑπάρχῃ χολῶδες καὶ ἄγαν δριμὺ, ἢ παχὺ καὶ γλίσχρον, ἢ γεῶδες καὶ μελαγχολικόν. ἐὰν δὲ καὶ πολὺ ὑπάρχῃ τὸ ἐπιρρέον καὶ κακόχυμον, συμβαίνει τηνικαῦτα κατ᾽ ἀμφότερα λυπεῖσθαι τὸ μόριον, καὶ διατεινόμενον ὑπὸ τοῦ πλήθους, καὶ ἀνιώμενον ὑπὸ τῆς ὀχλούσης αὐτῷ ποιότητος. σκοπεῖν οὖν δεῖ, πότερον ἐξ ὅλου τοῦ σώματος ἐπιρρεῖ, ἢ ἀπό τινος ὑπερκειμένου μορίου, οἷον σπληνὸς, ἢ ἥπατος, ἢ ἄλλου μορίου. μεγίστη γὰρ ἐκ τούτου γίνεται διαφορὰ τῆς θεραπείας. εἰ γὰρ ὅλον τὸ σῶμα φαίνοιτο πληθωρικὸν, ὅλου δεῖ προνοεῖσθαι πρότερον, εἶτα τοῦ μέρους· εἰ μὲν αἷμα πλεονάζον φανείη, διὰ φλεβοτομίας· εἰ δὲ κακοχυμία τις, διὰ καθάρσεως τῆς τὸν κρατοῦντα χυμὸν καθαίρειν δυναμένης. ποιοῦ δὲ τὴν κάθαρσιν, προδιαιτήσας αὐτὸν ἀσφαλῶς, καὶ εὔλυτον προκατασκευάσας τῇ τε πτισάνῃ, καὶ ἰχθύσι, καὶ ἰντύβοις, καὶ πᾶσι τοῖς ὑγραίνειν καὶ ἐπικιρνᾷν δυναμένοις. εἰ δὲ παχὺ εἴη, καὶ μηδὲν ἔχον δριμὺ, ταῖς δι᾽ ὀξυμέλιτος τροφαῖς, καὶ ἀποζέμασι τοῖς λεπτύνειν καὶ τέμνειν δυναμένοις. ἀλλ᾽ ἐπειδὴ ὡς ἐπὶ τὸ πολὺ τὰ τέμνοντα καὶ δακνώδη ὑπάρχει, καὶ παροξύνει τὰ φλεγμαίνοντα μόρια, σπουδάζειν δεῖ πάντοίως ἐπιλέγεσθαι ὅσα τὸ ἄδηκτον ἔχει. εἰσὶ μὲν οὖν καὶ ἄλλα λεπτύνειν δυνάμενα, μηδὲν δριμὺ μηδὲ ἀνιαρὸν κεκτημένα, ἀλλ᾽ οὐδὲν οὕτως, ὡς τὸ ὑδαρὲς μελίκρατον. οὕτως οὖν προλεπτύνας τὰ παχέα, ἢ ἐπικεράσας τὰ δριμέα, τότε τῶν λυπούντων ποιοῦ τὴν κάθαρσιν, εἰ φαίνοιτό σοι κατὰ τὸ συναμφότερον λυποῦν, * καὶ μὴ δύνασθαι μόνην τὴν δύναμιν εἰς τὸ περιγενέσθαι τῆς κακοχυμίας. φεύγειν γὰρ δεῖ ταῦτα πάντα φλεγμαίνειν δυνάμενα καὶ καθαίρειν, καὶ μάλιστα ἐν τῇ ἀρχῇ, ἔτι ἀπέπτων ὄντων τῶν χυμῶν, καὶ τῆς φλεγμονῆς τὸ ζέον ἐχούσης, ἀλλ᾽ οὐδὲν οὕτως ὡς τὰ περὶ νεφροὺς καὶ κύστιν. δέχονται γὰρ τὰ περιττώματα ἑτοίμως εἰς αὐτὰ μᾶλλον, ἢ διαφορεῖταί τι ἐξ αὐτῶν, ἐὰν μὴ πέψις αὐτοῦ τοῦ φλεγμαίνοντος καὶ πάσης τῆς ὕλης εὑρεθῇ γινομένη. οὕτω μὲν ἐὰν πολλὴ καὶ κακόχυμός σοι ἡ ὕλη φαίνοιτο, πράττειν δεῖ· εἰ δὲ μὴ φαίνοιτό σοι πολλή τις οὖσα ἡ ὕλη καθ᾽ ὅλον τὸ σῶμα, ἀλλὰ μᾶλλον ὀλίγη καὶ δριμεῖα, καὶ ζέουσα, φεύγειν δεῖ * τὰ διουρητικά, κἂν ἄδιψα ᾖ, καὶ τὸ μελίκρατον, κεχρῆσθαι δὲ μᾶλλον εὐκράτῳ πλείονι. καὶ γὰρ τὸ δριμὺ ἀμβλύνει, καὶ τὸ δακνῶδες ἀποπλύνει. ὅπερ ἐπιμένον τήν τε θερμότητα ἐπισπᾶται, καὶ τὸ δάκνειν καὶ ὀδύνην ἐμποιεῖ· ἡ δὲ ὀδύνη οἶδε πλέον τὰ πεπονθότα ῥευματίζειν μόρια. ὥστε ἐὰν ᾖ δριμύτης ἡ λυποῦσα, οὐ δεῖ φοβεῖσθαι τὴν πλείονα προσφορὰν τοῦ πόματος. καὶ γὰρ τοῦτο πλέον ὠφελεῖ τὰς ἐκ δριμύτητος γινομένας φλεγμονάς. τὰς γὰρ διὰ πλῆθος ὕλης γινομένας τὰ διουρητικὰ πάνυ οὐκ ὠφελεῖ. συνεφέλκονται γὰρ καὶ ἄλλην ὕλην παχυτέραν ἅμα τοῖς οὔροις εἰς τὰ πεπονθότα, ἥτις οὐχ εὑρίσκουσα διέξοδον, ἐν αὐτοῖς ἐμμένει τοῖς πόροισι. Περὶ βοηθημάτων τοπικῶν. Ἔξωθεν μὲν δεῖ προσφέρειν, εἰ μὲν χολῶδες εἴη τὸ τὴν φλεγμονὴν ἐργαζόμενον, τὰ ψύχειν δυνάμενα, καὶ μάλιστα ἐν ταῖς ἀρχαῖς, καὶ ζεούσης ἔτι τῆς φλεγμονῆς. πολλὰ οὖν εἰσιν τοῦτο ποιεῖν δυνάμενα, ἀλλ᾽ οὐδὲν οὕτως ὡς ἡ κηρωτὴ ἡ λαμβάνουσα ῥοδίνου, καὶ βραχέος ὄξους, καὶ πολυγόνου χυλοῦ, ἢ ἀνδράχνης. ἐν δὲ ταῖς ἀναβάσεσι, καὶ τῶν διαφορητικῶν τι δεῖ προσφέρειν, οἷον, χαμαιμήλου, ἢ τῶν νεαρῶν στεάτων, ἢ τῆς διὰ χυ-

λοῦ βραχὺ, παρὰ τὴν ἀκμὴν τῆς γινομένης, καὶ τῶν ἔτι πλέον διαφόρων δυναμένων. εἰ δὲ παχυτέρα φαίνοιτό σοι ἡ τὴν φλεγμονὴν ἐργασαμένη ὕλη, δεῖ βοηθεῖν τοῖς ἀδήκτως λεπτύνουσι, καὶ ἔξωθεν τῷ τε χαμαιμήλῳ, καὶ καταπλάσμασι, διὰ κριθίνου καὶ λινοσπέρμου ἑψηθέντων εἰς τὸ ζέμα τοῦ χαμαιμήλου, καὶ μελιλώτων, ἀψινθίου, καὶ ἀλθαίας, καὶ ὀλίγου ἑψήματος. τὸ δὲ ἐπὶ πολὺ πυριᾶν παραιτοῦ, ἀλλὰ πραϋτέρᾳ τῇ θερμασίᾳ κέχρησο. ὥσπερ οὖν τὸ ἐπὶ πολὺ θερμαίνειν δεῖ παραιτεῖσθαι, διὰ τὸ μὴ εἰς πῦον μεταβληθῆναι τὴν ἐν τῇ φλεγμονῇ περιεχομένην ὕλην, οὕτω καὶ τοῖς ψύχουσιν ἐπὶ πολὺ καὶ πολλάκις τάχιστα σκληροῦνται τῶν νεφρῶν αἱ φλεγμοναί. πάντα οὖν τὰ ἄκρα φεύγειν δεῖ ἐπὶ πάντων, μάλιστα δὲ ἐπὶ νεφρῶν ἐχόντων φλεγμονήν. λουτροῖς μὲν πρὶν κενῶσαι τὸ πλῆθος, οὐ δεῖ σπουδάζειν. κεχρῆσθαι δὲ μετὰ τὴν τοῦ ὅλου πρόνοιαν καὶ λουτροῖς ἐκθερμαίνουσιν, ἀσφαλῶς ἄν τις χρήσαιτο.

Περὶ φλεγμονῆς νεφρῶν εἰς πῦον μεταβαλλούσης. Τὴν δὲ φλεγμονὴν μέλλουσαν εἰς πῦον μεταβάλλεσθαι, διαγίνωσκε πρότερον ἐκ τοῦ μηδεμιᾶς προφάσεως γινομένης, πυρετοὺς ἢ περιψύξεις τινὰς ἀλόγους ἐπιγίνεσθαι, καὶ ἀτάκτους. περὶ γὰρ τὰς γενέσεις τοῦ πύου, οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γινομένου. ἔπειτα δὲ πρὸς τοῦτο, ἀνακλινόμενον αὐτὸν εἰς τὸ ὑγιαῖνον μέρος ἐκ τοῦ πεπονθότος, βάρους πολλοῦ μᾶλλον αὐτὸν αἰσθάνεσθαι λέγειν, ἢ πρὸ τοῦ εἰς ἀπόστασιν ἔρχεσθαι τὴν φλεγμονήν. λοιπὸν δὲ καὶ εἰ πῦον φανείη, μὴ ἀλλαχόθεν αὐτὸ ἐκκρίνεσθαι ὑπολάβῃς, εἰ μὴ ἐκ τῶν νεφρῶν. καὶ γὰρ ἡ προλαβοῦσα ὀδύνη, καὶ ἡ τοῦ βάρους συναίσθησις, ἀκριβῆ τὴν διάγνωσιν καὶ ἀναμφίβολον ἔχειν ἀποδείκνυσιν ὁμοίως. ἐπεὶ δὲ καὶ ἐξ ἄλλων τόπων πλειόνων ἐκκρίνεται πῦον, ἅπαντά σοι σαφῶς ἐκτίθημι τὰ σημεῖα, δι' ὧν δυνήσεταί τις αὐτὸ καταλαβεῖν, ἐξ ὧν ἐκκρίνεται τόπων τὸ πῦον, εἴτε ἀπὸ νεφρῶν, εἴτε ἀπὸ κύστεως, ἢ οὐρητικῶν πόρων, ἢ καὶ ἀπὸ τοῦ πνεύμονος, ἢ ἄλλου τινὸς μορίου, εἴτε ἀναπνευστικῶν, ἢ θρεπτικῶν. καὶ γὰρ εἰ σπανίως, ἀλλ' ὅμως ἐξ αὐτῶν ἐκκρίνεται πῦον. ἄνωθεν μὲν οὖν τὸ πῦον φερόμενον, εὑρίσκεται πάντως σὺν τῷ χρώματι τοῦ οὔρου ἀναμεμιγμένου ἀκριβῶς. εἰ δὲ ἐκ τῶν κάτωθεν ἐκκρίνοιτο, καὶ τὴν ὑπόστασιν ὑφιστάνουσαν εὑρήσεις ἐν τῷ πυθμένι * τῆς ἀμίδος μᾶλλον. εἰ δὲ ἐκ τῶν μέσων μερῶν φέροιτο, μέση καὶ ἡ μίξις τοῦ πύου εὑρίσκεται, καὶ οὐκ ἀκριβῶς ἀναμεμιγμένη. πρόσεχε δὲ καὶ τοῖς ἀναμεμιγμένοις καὶ ἐμφερομένοις ἐν οὔροις. πάντως γὰρ μηνύουσί σοι τὸν πεπονθότα τόπον. εἰ μὲν γὰρ ἐκ τῆς κύστεως, εὑρήσεις ἐμφερόμενα μόρια πεταλώδη. εἰ δὲ σαρκώδη, ἀπὸ τῶν νεφρῶν. λοιπὸν δὲ καὶ ἡ ἰδιάζουσα ὀδύνη, καὶ τὰ προηγησάμενα, καὶ πάντα τὰ συνεδρεύοντα, καὶ τὸν τόπον τὸν πεπονθότα καὶ τὴν διάθεσιν δηλώσει, καὶ φανερὰν ποιήσει πάνυ. Νεφριτικὸν ξηρίον πρὸς δυσουρίαν καὶ λιθίασιν. Ἀλθαίας σπέρμα, λινόσπερμα ἀνὰ Γο S'', κνίδης σπέρμα ʒ ϛ', ναρδοστάχυος, καρποβαλσάμου ἀνὰ ʒ ϛ', παλιούρου σπέρμα Γο S'', ὑέλου Γο α'. Ἄλλο ᾧ καὶ αὐτὸς κέχρημαι. Ἀγαρικοῦ Γο α', ἀλθαίας σπέρμα Γο S'', λινοσπέρμου Γο S'', κνίδης σπέρμα, καρποβαλσάμου, παλιούρου σπέρμα, ὑέλου ἀνὰ ʒ ϛ'. δίδου ἐκ τοῦ ξηρίου ʒ α', μετὰ χρυσαττικοῦ ζέματος, ἢ ἠρυγγίου, καὶ ἀγρώστεως, καὶ σικύου σπέρμα, καὶ ἀτρακτυλίδος βοτάνης. Περὶ θεραπείας. Θεραπεύειν δὲ δεῖ τοὺς ἐκκρίνοντας πῦον, τοῖς ἀδήκτοις καὶ ἀπορρύπτειν δυναμένοις. ὧν ἐστὶ καὶ τὸ ὑδαρὲς μελίκρατον, καὶ ὁ χυλὸς τῆς πτισάνης μετὰ ὀλίγου μέλιτος, τό, τε ἀδίαν-

τον, καὶ σπέρμα τοῦ σικύου μετὰ χρυσαττικοῦ, καὶ ὁ διὰ φυσαλίδων τροχίσκος, καὶ τὸ γάλα τὸ ὄνειον πινόμενον, καὶ μάλιστα τοῖς ἔχουσι τὸ ἕλκος περὶ τὴν κύστιν, καὶ ἡ ἀρμενία βῶλος πινομένη, καὶ ἵππουρις, καὶ ἄχρωσις ἔτι μᾶλλον. τὰ δὲ περὶ τὸν οὐρητικὸν πόρον, διὰ κοκκίων, ἢ τροχίσκων ἀδήκτως ξηραινόντων μᾶλλον ἤπερ διὰ τῶν λεπτυνόντων θεραπεύουσαι. προσέχειν δὲ δεῖ πάντως καὶ τῇ διαίτῃ, καὶ μή, ὡς οἱ πολλοί, τοῖς φαρμάκοις μόνοις καταπιστεύειν. ἐπιτήδειος οὖν ὁ χυλὸς τῆς πτισάνης, καὶ τοῦ βρόμου μόνος μετὰ χρυσαττικοῦ, ἢ ἑψητοῦ, ἢ οἰνομέλιτος, ἢ τοῦ γλυκέος τοῦ κρητικοῦ, ἢ λαδηνοῦ, ἢ σκυθοπολίτου. εἰ δὲ μὴ ἔχει ἡδέως γλυκὺν πίνειν ὁ πάσχων οἶνον, ἢ ὑδρόμηλον, ἢ κνίδιον, ἢ σαρεφθῖνον, ἢ τύριον λαμβανέτω, ὀλίγον μέντοι. οὐ γὰρ πολὺς καὶ ῥέων μαδίζεσθαι παρασκευάζει τὰ ἕλκη καὶ φλεγμαίνειν. κάλλισται δὲ τούτοις εἰσὶ σταφίδες ἐσθιόμεναι, καὶ ἀμύγδαλα, καὶ στρόβιλοι μετὰ γλυκέος, εἰ μὴ λίθους ἔχουσιν. ἔθος γὰρ τίκτειν εἰς τοὺς νεφρούς. καὶ τὰ ᾠὰ δὲ τῶν κατοικιδίων ὀρνίθων ἐσθιόμενα χλιαρὰ καὶ ἁπαλώτατα πάνυ ὠφελεῖ. ἐγὼ γοῦν οἶδά τινα, ὃς ἅμα τῷ τεχθῆναι τὰ ᾠά, κατεῤῥόφα αὐτὰ ἄνευ ἑψήσεως, καὶ ἔφασκε τὰ μέγιστα ὠφελεῖσθαι, καὶ τὰς δήξεις, καὶ τὰς ὀδύνας τὰς γινομένας περὶ τὴν κύστιν ἐκ τοῦ τρόπου τούτου φέρειν δύνασθαι πρᾴως ἔφασκε. καὶ ὁ ἐχῖνος δὲ ὁ πεπλυμένος ἐσθιόμενος, καθ' ἑαυτὸν ἢ μετὰ χρυσαττικοῦ, ἢ ὑδρομήλου γλυκέος, καὶ κτένια πεπλυμένα, καὶ ἀστακὸς δίεφθος ἐν ἄλλῳ καὶ ἄλλῳ ὕδατι, μετὰ τὸ καθαρθῆναι ἑψηθείς, ὠφελιμώτατός ἐστι. τῶν δὲ λαχάνων, τὸ ἴντυβον, καὶ ἡ κράμβη, τρίσεφθος ἐσθιομένη εἰς οἶνον. εἰ μὴ τὸ φερόμενον πῦον δριμύτερον καὶ δακνῶδες εἴη. καὶ οἱ θέρμοι ἄναλοι χρήσιμοι, τὸ θρύπτειν ἔχοντες, καὶ τὸ σμηκτικὸν [illegible], καὶ οἱ βλαστοὶ τῆς τήλεως ἐσθιόμενοι, καὶ τὸ * ἄνισον κύμινον συμμέτρως. καὶ τὰ κάστανα δὲ ἑψόμενα, ἢ ὀπτὰ συμβάλλονται πάνυ, καὶ μάλιστα ὅταν λεπτὸν καὶ χολῶδες εἴη τὸ φερόμενον. ὅτι δὲ παχὺ καὶ ἐσφηνωμένον ὑπάρχει, ὡς μόλις ἐκκρίνεσθαι, τῶν παχυχύμων ἐδεσμάτων φείδεσθαι.

ϛʹ Περὶ στραγγουρίας διαγνώσεως καὶ θεραπείας.

Εἰ μὲν δριμύτης τις εἴη ἐν τοῖς οὔροις, καὶ ἡ ὄρεξις ἐπὶ τὸ δριμύτερον καὶ χολωδέστερον εἴη τετραμμένη, δεῖ στοχάζεσθαι πάντως, διὰ τὴν δῆξιν τὴν ἐκ τῆς δριμύτητος γίνεσθαι τὴν στραγγουρίαν. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, ἀλλὰ τοὐναντίον, καὶ τὸ οὖρον λευκὸν φαίνοιτο μᾶλλον, καὶ τὰ προηγησάμενα ψυχρότερα μᾶλλον, καὶ δίαιτα, καὶ λουτρὰ ψυχρότερα, δεῖ μᾶλλον ψυχρὰν δυσκρασίαν αἰτιᾶσθαι τῆς κύστεως, ἥτις οὐκ ἐᾷ κρατεῖσθαι τὸ οὖρον. αὗται μὲν αἱ αἰτίαι τῆς στραγγουρίας. ἡ θεραπεία δὲ συμφώνως γινέσθω τῇ ποιούσῃ αἰτίᾳ. τοῖς μὲν γὰρ ὑγραίνουσι καὶ ἐπικιρνῶσι δεῖ κεχρῆσθαι, εἰ δριμύτης εἴη, καὶ μηδενὶ θερμῷ ἢ ἁλμυρῷ. παντάπασιν οὖν πτισάνη τούτοις χρησίμη καθ' ἑαυτήν, καὶ μετὰ ὀλίγου ὑδρομήλου, ἢ χρυσαττικοῦ. ἐσθ' ὅτε δὲ καὶ μετὰ γάλακτος, μετὰ τὸ παύσασθαι τὸ πολὺ τῆς δριμύτητος· ἐπεὶ διαφθείρεται ἐὰν πάνυ ἐπικρατούσης τῆς ξηρᾶς καὶ δριμείας ποιότητος, ἐπιδοθείη τὸ γάλα. τούτοις καὶ τὰ συνεχῆ λουτρὰ ἐπιτήδεια, καὶ τὸ εὔκρατον πρὸ τροφῆς, καὶ σικύων ἡ ἐντεριώνη, καὶ πεπόνων, καὶ οἱ βλαστοὶ τῆς τήλεως, καὶ γλυκεῖα σταφυλή, καὶ οἶνος γλυκύς, οἷός ἐστιν ὁ βιθυνός, καὶ ἁπλῶς εἰπεῖν, ὅσα ἐπικιρνᾶν δύναται, καὶ παύειν δριμύτητα.

Περὶ τῆς διὰ ψύξιν στραγγουρίας.

Εἰ δὲ διὰ ψυχρὰν δυσκρασίαν συμβῇ γενέσθαι τὸ τῆς στραγγουρίας πάθος, ἀναγκαῖόν ἐστι τοῖς θερμαίνειν δυναμένοις κατά τε δίαιταν καὶ φαρμακείαν κεχρῆσθαι. οἶνος τοίνυν θερμότερος τούτοις ἐστὶν ἐπιτήδειος, καὶ οἰνόμελι, καὶ ἀψινθάτον, καὶ ἀνισάτον πινόμενον, καὶ ἐσθιόμενον· καὶ ἐν λαχάνοις, σέλινον καὶ πράσον δίεφθον, καὶ δαῦκος, καὶ πᾶν ὃ θερμαίνειν οἶδε χωρὶς τοῦ δάκνειν. ἀλοιφῇ δὲ κεχρῆσθαι, τῷ ἀνηθίνῳ, ἢ γλευκίνῳ, ἢ μυρκιάτῳ, καὶ τοῖς αὐτοφυέσιν ὕδασιν. ἔσθ' ὅτε δὲ καὶ σκορδίου, καὶ ἀρτεμισίας ἀπόζεμα πινόμενον ποιεῖ καλῶς πρὸς δυσουρίαν, ὅπου μή ἐστι πολλὴ δριμύτης, ἢ φλεγμονή.

Περὶ δυσουρίας διαγνώσεως καὶ θεραπείας.

Τῆς δυσουρίας ἡ μέν ἐστι μετ' ὀδύνης, ἡ δὲ ἄνευ ὀδύνης. εἰ μὲν οὖν μόλις ἐκκρίνοιτο τὸ οὖρον καὶ μετ' ὀδύνης, εἰδέναι δεῖ τὴν κύστιν ἔχειν τὸ πάθος. εἰ δὲ καὶ χωρὶς βάρους, ἕλκος εἶναι περὶ τὴν κύστιν ὑπονοεῖν χρή, εἰ μετὰ δήξεως σφοδρᾶς, καὶ πύου ἔκκρισις γένοιτο. εἰ δὲ βάρους συναίσθησίς τις εἴη γεγενημένη, δεῖ μᾶλλον ὑπονοεῖν ἢ φλεγμονὴν αὐτὴν ἔχειν, ἢ ἀπόστημα. εἰ δὲ ἄνευ βάρους ἡ ὀδύνη, ἢ διατάσεως μόνης αἰσθάνοιτο περὶ τὴν κύστιν, γίνωσκε φυσῶδες πολὺ πνεῦμα εἶναι τὸ αἴτιον τῆς ἐπισχέσεως. εἰ δὲ μηδεμιᾶς αἰσθάνοιτο περὶ τὴν κύστιν ὁ κάμνων ὀδύνης, ἢ ὄγκου, ἢ διατάσεως, γίνωσκε περὶ τοὺς νεφροὺς, ἢ τοὺς οὐρητῆρας εἶναι τὴν ἔμφραξιν, ἢ φλεγμονὴν, ἢ λίθον. ὅπως δὲ καὶ διαγινώσκειν ἅπαντα δεῖ καὶ ἰᾶσθαι, εἴρηται πρόσθεν, ὅτε περὶ τῆς τῶν νεφρῶν φλεγμονῆς καὶ ἀποστήματος, καὶ τῶν ἄλλων γινομένων ἐν αὐτοῖς διαθέσεων διελεγόμεθα. καὶ ταῦτα νῦν γράφειν περιττόν. ὅμως πρὸς τὸ εὐχερῶς εὑρίσκειν, καὶ ἐν τούτῳ τινῶν μνημονεύσωμεν. πρὸς μὲν τὴν διὰ γλίσχρους χυμοὺς γινομένην ἔμφραξιν, τῶν οὔρων, καλῶς ποιεῖ καὶ τὸ σύνθετον ὀξύμελι, καὶ τὸ μελίκρατον, καὶ τὸ ἀπόζεμα τῆς ῥάμνου, τὸ ἀπὸ τῆς ῥίζης, καὶ τοῦ ὀριγάνου τὸ ζέμα θαυμασίως. καὶ ἔτι μᾶλλον εἴπερ ἡ ἔμφραξις εἴη μεγάλη, ὥστε τὰ οὖρα ἐπέχεσθαι. ποιεῖ καλῶς καὶ τέμνει, καὶ ἐκφράττει τὸ ζέμα τοῦ φλοιοῦ τοῦ τιθυμάλου. ὅπου δέ ἐστι φλεγμονὴ, τούτων ἀπέχεσθαι δεῖ. τοῖς δὲ ἀδήκτοις κεχρῆσθαι καὶ συμπεπτικοῖς, οἷόν ἐστι καὶ τὸ ὑδαρὲς μελίκρατον, καὶ ὅσα συμπέττειν οἶδε τὰς φλεγμονὰς, ἔξωθεν προσφερόμενα. πρὸς δὲ τοὺς ἐν νεφροῖς λίθους, ἐὰν ὦσι μεγάλοι, ὥστε δι' αὐτῶν γενέσθαι τὴν τῶν οὔρων ἐπίσχεσιν, καλῶς ποιεῖ ἥ τε πριονῖτις βοτάνη πινομένη μετ' οἰνομέλιτος. διδόναι δὲ ὅσον β' ἢ γ' ʒ ἐξ αὐτῆς τῆς ῥίζης. καὶ τῆς πενταφύλλου τὸ ζέμα μᾶλλον ποιεῖ, καὶ τοῦ ἐρυσίμου, καὶ ἑρπύλλου ξηροῦ, καὶ τὸ διὰ τοῦ τραγείου αἵματος, καὶ τῶν τεττίγων. πάντα δὲ ταῦτα καὶ τοὺς ἐν κύστει κατὰ μέρος πεπίστευται θρύπτειν λίθους. καὶ συνθέτων δὲ ἐμνημονεύσαμεν βοηθημάτων.

Περὶ τῶν ἐν τῇ κύστει τικτομένων λίθων. ζ'

Κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐν τῇ κύστει τικτόμενοι λίθοι, ὥσπερ καὶ οἱ ἐν τοῖς νεφροῖς περιοδεύονται. πλὴν ὅτι οἱ ἐν τῇ κύστει λίθοι, παιδίοις μᾶλλον τίκτονται, ἤπερ ἀνδράσι, καὶ οὔτε ὑπὸ τοσαύτης θερμότητος, ἀλλὰ μᾶλλον ὑπὸ παχυτέρας ὕλης, καὶ ἐπιτηδείας εἰς τὸ τίκτειν λίθους, καὶ πήγνυσθαι ἑτοίμως ὑπὸ τῆς ἐμφύτου θερμότητος. πρὸς τὴν παχύτητα οὖν δεῖ ἐνίστασθαι μᾶλλον διὰ τῶν λεπτυνόντων· ὥστε μὴ πολλὴν ἀθροί-

ζεσθαι τὴν παχεῖαν, ἣν τίκτουσιν εἰκότως καὶ ἀθροίζουσιν ἀδδηφαγίαι τε ἄτακτοι, καὶ μετὰ τροφὴν ἀκινησίαι. Σημεῖα λιθιάσεως ἐκ τῶν οὔρων. Μάλιστα μὲν ἄπεπτα καὶ ὑπόλευκα τούτοις ὁρᾶται τὰ οὖρα κατὰ τὴν χροιάν, ἡ δὲ ὑπόστασις ψαμμώδης καὶ ψωρώδης· καὶ προσέτι φιλοῦσι κνᾶσθαι τὸ αἰδοῖον, ἢ διατείνειν αὐτὸ βιαίως καὶ πολλάκις, καὶ τότε πλέον ἡνίκα πρὸς τὴν τῶν οὔρων ἔκκρισιν ἐπείγονται. Θεραπεία. Εἴρηται μὲν οὖν καὶ ἔμπροσθεν ἱκανὰ βοηθήματα πρὸς τοὺς ἐν κύστει λίθους. εἰρήσεται δὲ καὶ νῦν ἔτι δραστικώτερα, καὶ χρόνῳ πολλῷ καὶ πείρᾳ προσεξευρηθέντα, καὶ μεμαρτυρημένα, τό, τε αἴγειον αἷμα ἐπιχριόμενον ἔξωθεν θερμὸν μάλιστα ποιεῖ· κάλλιον δὲ εἰ καὶ ἐπάνω τῆς κύστεως θήσῃς τὸν σάγον· καὶ ἔτι κάλλιστον, εἰ ἐν τῷ θερμῷ ἀέρι τοῦ βαλανείου χρίσῃς, καὶ οὕτως ἐπιδήσῃς. ποίει δὲ αὐτὸ οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις καὶ ἐκ διαλείμματος. Ψωριώσης κύστεως διάγνωσις. Διαγίνωσκε τὴν ψωρίασιν τῆς κύστεως ἐκ τοῦ πιτυρώδη τινὰ μόρια κατὰ τὸ χῦμα τῶν οὔρων φαίνεσθαι. διακρινεῖς δὲ αὐτὰ ἀπὸ τῶν φερομένων ἀπὸ τῶν φλεβῶν. καὶ γὰρ καὶ αἱ φλέβες ἐστὶν ὅτε καὶ ὅλον τὸ σῶμα πολλάκις, ὥσπερ τινὰ ψωρίασιν ὑπομένουσιν ἐν τοῖς ἀμέτροις καύσοις, καὶ φέρεται ἐξ αὐτῶν πιτυρώδη. εἰ μὲν οὖν τὸ οὖρον λεπτὸν εἴη κατὰ τὴν σύστασιν, καὶ μᾶλλον δριμύ, γίνωσκε πιτυρώδη ἐκ τῶν φλεβῶν εἶναι. εἰ δὲ τὸ οὖρον παχὺ κατὰ τὴν σύστασιν εἴη, γίνωσκε τὴν ψωρίασιν τῆς κύστεως εἶναι. θεραπεύειν δὲ δεῖ τοῖς δυναμένοις καθαίρειν, καὶ τελευταῖον τοῖς ξηραίνουσι, καὶ εἰς οὐλὴν ἄγουσι τὸ ἕλκος. ἔστι μὲν οὖν δυσχερὲς καὶ ἐγγὺς ἀνίατον, ὡς μηδὲν ἰσχύειν πρὸς τὸ πάθος βοήθημα. ὅμως δὲ δεῖ βοηθεῖν καὶ μὴ ἀποκάμνειν, ἀλλὰ διαίτῃ, καὶ φαρμακείᾳ, καὶ παντὶ τρόπῳ βοηθεῖν. τὸ γάλα τοίνυν τὸ ὄνειον πάνυ συνεχῶς διδόμενον τούτοις ὠφέλιμον. εἰ δὲ μὴ παρῇ, καὶ τὸ αἴγειον διδόμενον, καὶ πίνειν καὶ ἐσθίειν μὴ μόνον, ἀλλὰ καὶ μετά τινος τῶν σιτωδῶν, ἢ μετὰ ἄρτου, ἢ μετὰ σεμιδάλεως, ἢ ἰτρίου, ἢ ἄλικος, ἢ χόνδρου. ὠφελεῖ τούτοις καὶ ὠὰ ἁπαλώτατα, καὶ πεπόνων καὶ σικύων τὰ ἐντός. ἐν τροφῇ δὲ στρόβιλοι νεαροὶ καὶ σταφίδες, καὶ σπέρμα τοῦ σικύου πινόμενον, καὶ ὅσα διὰ τῶν τοιούτων σκευάζεται, μετέχοντα καὶ τῶν ἀνωδύνων, ἢ κωνείου, ἢ ὀπίου, διὰ τὴν ἄμετρον ὀδύνην. οὐ δεῖ δὲ συνεχῶς τοῖς ἀνωδύνοις πάνυ κεχρῆσθαι, εἰ μὴ πρὸς δύναμιν. Βοήθημα ποιοῦν πρὸς τὰς ψωρώδεις διαθέσεις καὶ δυσουρίας καὶ φλεγμονάς. Σεβίλια κ', σικύου ἡμέρου σπέρματος κόκκοι μ', ἀμύλου, ναρδοστάχυος ἀνὰ < α', σελίνου σπέρματος < ι', εἰς ὕδατος ξέστην α'· ἕψεται ἡ νάρδος καὶ τὸ σέλινον, εἶτα τοῦ ἀφεψήματος μίγνυται τοῖς προγεγραμμένοις. ἡ δόσις κοχλιάρια β'.

η' Περὶ διαβήτου.

Ο διαβήτης καλούμενος ἐστὶν ὅταν ἀμετρότερον ἐκκρίνεται τὸ οὖρον αὐτοῖς, πολλάκις ἅμα τῷ πίνειν. οἷόν τι καὶ τοῖς λειεντεριώδεσι συμβαίνει τὸ τὰ σιτία ἐκκρίνεσθαι μηδὲ βραχὺ δυνάμενα κρατεῖσθαι ἐν τῇ γαστρί, καὶ ἀλλοιοῦσθαι καὶ τρέφειν τὸ σῶμα. διὸ τινὲς οὐ διαβήτην μόνον καλοῦσι τὸ πάθος. ἀλλὰ καὶ εἰς οὖρα διάρροιαν διὰ τὸ διαρρεῖν εὐθὺς τὸ πόμα. ἐπειδὴ δὲ ἀμέτρως διψῶσι τοῦ ὑγροῦ παντὸς ἐκκρινομένου, καὶ διψακὸν τὸ πάθος ὠνόμασαν. τοιοῦτον μὲν οὖν ἐστὶ καὶ διαφόρου τετύχηκεν ὀνόματος. γίνεται δὲ δι' ἀσθένειαν τῆς ἐν τοῖς νεφροῖς καθεκτικῆς δυνάμεως, καὶ διὰ ῥώμην τῆς ἑλκτικῆς, ἥτις διὰ θερμασίαν ἀμετρότερον ἕλκειν ἀναγκάζεται οὐ μόνον τὰ ἐν φλεψίν, ἀλλὰ

καὶ

καὶ τὰ τοῦ ὅλου σώματος ὑγρά. διὸ καὶ πρὸς ταύτην ἐνίστασθαι δεῖ τὴν δυσκρασίαν. καὶ οὕτω ποιεῖσθαι τὴν πᾶσαν θεραπείαν, ψύχοντας μὲν τὸ σῶμα καὶ ῥωννύοντας. ἐπικιρνῶντας δὲ τὸ ὅλον σῶμα καὶ ὑγραίνοντας. ἐπειδὴ γὰρ ἐξ ἀνάγκης ξηρὸν εὑρίσκεται γινόμενον τὸ σῶμα, διὰ τὴν πολλὴν τῶν οὔρων ἔκκρισιν. δεῖ οὖν καὶ πόμα τούτοις πλέον διδόναι τοῦ συνήθους, ὥστε μηδὲ ὅλως δίψαν συγχωρεῖν γίνεσθαι, καὶ τροφὰς δυσμεταβλήτους, ὥστε μὴ εὐχερῶς ἐξουρεῖσθαι, καὶ λεπτοποιεῖσθαι τὴν τροφήν. τὸ γὰρ ἧπαρ θερμότερον γινόμενον καὶ δριμύτερον, τὴν γαστέρα ξηροτέραν ἐργάζεται, ἑλκομένων καὶ ἐκβοσκομένων τῶν σιτίων τὴν ὑγρότητα. δεῖ οὖν διδόναι τούτοις ἐξ ἀνάγκης πλείονα τροφὴν καὶ παχύνουσαν, ὥστε δύνασθαι ἐπαρκεῖν. ἄλυξ τοίνυν τούτοις ἐπιτηδειότατος μετὰ ῥοσάτου ἢ χρυσαττικοῦ λαμβανόμενος, ἢ ῥοδομήλου, ἢ ὑδρομήλου, ἢ ὀλίγου σαρεφθίνου, ἢ τυρείου, ἢ κνιδίου· καὶ λαχάνων ἴντυβα, ἢ τρώξιμα, ἢ θριδακίνη· καὶ τῶν κρεῶν, βούλβιον, καὶ στέρνιον, καὶ πόδες μάλιστα τῶν βοῶν, ἢ ῥέγχη, καὶ τῶν ἰχθύων, ἴσικος, ὀρφός, ἢ ἄλλος τις τῶν σκληροσάρκων· καὶ τῶν πεπόνων ἡ σὰρξ ἐκτὸς τοῦ σπέρματος, καὶ μῆλα τὰ πάνυ γλυκέα. φεύγειν δὲ δεῖ τὰ ἁλμυρὰ πάντα καὶ δριμέα. καὶ μηδεὶς εἰς τοὺς ζωμοὺς ἐμβαλλέτω ἢ ἀνίσου, ἢ κυμίνου, ἢ ὅλως τι τῶν τοιούτων σπερμάτων, ἢ τῶν οὖρα προτρεπόντων. φευγέτω δὲ καὶ ἐχίνου μεταλαμβάνειν, ἢ ἀμυγδάλων, ἢ πιστακίων, ἢ ἰσχάδων, ἢ φοινίκων. τῶν δὲ κασάνων λαμβάνειν οὐδὲν ἄτοπον.

Περὶ γονορροίας. θ'

Γονόρροια γίνεται ποτὲ μὲν ὑπὸ πλήθους σπέρματος βαροῦντος τὴν δύναμιν τὴν καθεκτικήν, τὴν οὖσαν ἐν τοῖς σπερματικοῖς ἀγγείοις, ὡς μὴ κατέχειν ἐπὶ πλέον ἔτι δύνασθαι τὸ τεχθὲν σπέρμα. ἔστιν ὅτε καὶ διὰ δριμύτητα καὶ λεπτότητα τοῦ σπέρματος. ἐρωτᾶν οὖν χρὴ καὶ περὶ τῆς χρόας τοῦ σπέρματος καὶ τῆς συστάσεως αὐτοῦ, καὶ τὰ προηγησάμενα αἴτια, τήν τε δίαιταν, καὶ τὸν προλαβόντα βίον. εἰ μὲν γὰρ ἦν εἰωθὼς ἀφροδισιάζειν, καὶ πλείοσι κεχρῆσθαι μίξεσι, νῦν δὲ μετέβαλεν ἐπὶ τὸ σωφρονέστερον * καὶ καθάρειον, ὁμολογουμένως ὑπὸ πλήθους τοῦτο ὑπομένει, τῶν μορίων μὴ δυναμένων φέρειν τὸ πλῆθος. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, χολωδέστερον δὲ καὶ δριμύτερον μᾶλλον φαίνοιτο εἶναι τὸ ἐκκρινόμενον σπέρμα, γίνωσκε μᾶλλον ἐρεθίζεσθαι τὴν γονὴν, καὶ φέρεσθαι διὰ λεπτότητα. ὡς ἐπὶ τὸ πολὺ δὲ, καὶ δι' ἀσθένειαν αὐτοῖς ἕπεται τῆς καθεκτικῆς δυνάμεως. Θεραπεία. Ἐπὶ μὲν οὖν τῆς ὑπὸ πλήθους γινομένης γονορροίας, πάντων ἀπέχεσθαι σπουδάζειν τῶν πολλῶν τροφῶν, καὶ μάλιστα τῶν γεννώντων χολὴν, καὶ πλείονα πνεύματα, καὶ ἐρεθιζόντων τὴν ὕλην προπετέστερον φέρεσθαι πρὸς τὰ ἐκτός. πολλὰ δέ ἐστι τοιαῦτα καὶ ἐν τροφαῖς, καὶ ἐν φαρμάκοις. ἐν μὲν τροφαῖς, κῶνοι, κύαμοι, ἐρέβινθοι, βολβοί, εὔζωμα, γογγύλη, καὶ μάλιστα τὸ σπέρμα αὐτῆς πινόμενον. ὥσπερ καὶ τοῦ δαύκου τοῦ μεγάλου ἡμέρου τὸ σπέρμα, καὶ τὸ ἡδύοσμον.

Ὅσα ἐν φαρμάκοις γεννᾷ σπέρματα καὶ παρορμᾷ. Ἐν δὲ φαρμάκοις, ἀκαλύφης τὸ σπέρμα πινόμενον, καὶ κόστος παρορμᾷ μετ' οἰνομέλιτος, ὄρχεως ἡ ῥίζα, ἣν τινες κυνὸς ὄρχιν λέγουσιν, ἡ μείζων παρορμᾷ πινομένη, * σατύριον, σκίγκων τὰ περὶ τοὺς νεφρούς, ὡς ἐντατικὰ τῶν αἰδοίων πίνεται. Ὅσα ξηραίνει τὴν γονήν. Ταῦτα οὖν καὶ ὅσα τούτοις ὅμοια φεύγειν δεῖ ἢ ἐν ἐδέσμασι βάλλειν, ἢ πίνειν ὅλως. ἐσθίειν δὲ

τὰ ἀντιπαθῶς ἔχοντα πρὸς τὸ τὴν γονὴν τίκτεσθαι πλείονα, καὶ σβεννῦντα μᾶλλον τὸ σπέρμα· ἐξ ὧν ἐστιν ὅ,τε τοῦ ἄγνου καρπὸς πεφρυγμένος καὶ ἄφρυκτος· καὶ τὰ φύλλα δὲ καὶ τὰ ἄνθη· ὑποστρωννύμενα, τὰ αὐτὰ ποιεῖν δύναται, θρίδακος σπέρμα μεθ' ὕδατος πινόμενον τὰ αὐτὰ ποιεῖν εἴωθε, καὶ ἐπέχειν γονόῤῥοιαν. ὅθεν καὶ τοῖς ὀνειρώττουσι δίδοται. ὁμοίως δὲ καὶ ὁ τῆς ἀγρίας καννάβεως καρπὸς, εἰ πλείων ποθεὶς εἴη, ξηραίνει τὴν γονὴν, ὄρχις ὃν τινες * ὄρχιν λέγουσιν, ἢ ἡ ἀτλων ῥίζα πινομένη ἐπέχει τὸ σπέρμα, μόλυβδος ταῖς ψόαις ἐπιτιθέμενος, τοὺς ὀνειρώττοντας ὀνίνησι. νυμφαίας ἡ ῥίζα καὶ τὸ σπέρμα τοῖς ὀνειρωγμοῖς καλῶς ποιεῖ. ἀμφότεροι δὲ φερομένοις, ἐν οἴνῳ μέλανι αὐστηρῷ πινομένη, καὶ περικλυμένου τὰ φύλλα, καὶ ὁ καρπὸς ξηραίνει τὸ σπέρμα, καί τινας φασὶν ἀγόνους γενέσθαι τοὺς ἐπὶ πολὺ πίνοντας. καθόλου οὖν τὰ ψύχοντα καὶ ξηραίνοντα, ἐφ' ὧν καὶ πλῆθός ἐστι σπέρματος, καὶ ἀσθενὴς ἡ καθεκτικὴ δύναμις, ἐπιλέγεσθαι δεῖ καὶ ἐν τροφαῖς, καὶ ἐν φαρμάκοις. παραιτεῖσθαι δὲ τὰ φυσώδη, μετὰ τοῦ θερμαίνειν, τὰ δὲ ἄφυσα ἐπιλέγεσθαι, μετὰ τοῦ μὴ πάνυ θερμαίνειν. εἰ δὲ λεπτὸν καὶ δριμὺ τὸ σπέρμα τύχῃ εἶναι, διδόναι μὲν δεῖ καὶ τῶν εἰρημένων ὅσα ψύχειν καὶ ξηραίνειν δύνανται βοηθήματα, μάλιστα δὲ τῇ τροφῇ προσέχειν. δέονται γὰρ οὗτοι τῶν ἐπικιρνώντων καὶ ἐμψυχόντων πάνυ, καὶ λουτρῶν εὐκράτων· ὥστε παχυνθεῖσαν ἠρέμα τὴν γονὴν, καὶ εὔκρατον γενομένην, μηκέτι φέρεσθαι. τὸ πήγανον καὶ θερμὸν ὑπάρχον, παχύνειν τὴν γονὴν μεμαρτύρηται· διὸ καὶ ὠφελεῖ πρὸς τὸ μὴ συνεχῶς ὀνειρώττειν τε, καὶ ἐκτήκειν τὴν γονήν· καὶ τὴν ὅλην δὲ αὐτοῦ οὐσίαν οὐ μόνον τὴν κρᾶσιν, οἰκείως πρὸς τοῦτο ἔχειν.

Περὶ πριαπισμοῦ.

Τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν ἐχόντων πριαπισμὸν δεῖ ποιεῖν, καὶ ἀπέχεσθαι μὲν τῶν θερμοτέρων ἐδεσμάτων, καὶ ἀναλύειν δυναμένων τὴν ὕλην εἰς πνεύματα, καὶ ἀναστομοῦν τὰς ἀρτηρίας τὰς εἰσβαλλούσας εἰς τὸ αἰδοῖον σηραγγῶδές τε ὄν, καὶ ἐπιτηδείως ἔχον πρὸς τὸ ὑποδέχεσθαι τὰ διατείνειν αὐτὸ καὶ φυσᾶν δυνάμενα πνεύματα, ὥστε οὐ μόνον τῶν θερμαινόντων, ἀλλὰ καὶ τῶν γλίσχρον χυμὸν τίκτειν δυναμένων, ἢ καὶ * τοιούτων φείδεσθαι δεῖ τὸν πάσχοντα, πάσης τε θέας αἰσχρᾶς, καὶ ὁμιλίας, καὶ φαντασίας πάσης. ὥστε πανταχόθεν ἐκκόπτεσθαι πᾶσαν κίνησιν ὑπομιμνήσκειν δυναμένην τὴν φύσιν ἐπεγείρεσθαι. πολλοὶ οὖν τοῦτο φυλαξάμενοι, τελείως ἀπηλλάγησαν τοῦ πάθους. ὅσοι δὲ μετὰ τοῦ τὴν δίαιταν ἔχειν θερμὴν καὶ ὑγρὰν, ὥστε τίκτεσθαι πάλιν τὸ σπέρμα, καὶ τῶν ἐπιθυμιῶν τῶν αἰσχρῶν οὐκ ἐπαύσαντο, οὗτοι καὶ μετὰ θάνατον, ὀρθὸν εὑρέθησαν ἔχοντες καὶ ἐντεταμένον τὸ μόριον. κηρωτὴ οὖν ῥοδίνη καλῶς τούτοις ποιεῖ μετὰ ψυχροῦ ὕδατος ἀνακοπτομένη, καὶ ὀλίγου ὄξους. τὰ δὲ πάνυ ψύχοντα παραιτεῖσθαι, καὶ μάλιστα τὰ στύφοντα καὶ ναρκωτικὰ, διὰ τὸ μὴ τὸ πάθος δυσδιαφόρητον γενέσθαι. πινέτωσαν δὲ πάντα τὰ δυνάμενα μετριάζειν τὴν γονὴν, καὶ μάλιστα τῆς νυμφαίας τὸ σπέρμα καὶ τὴν ῥίζαν. πάνυ γὰρ ἀντιπαθῶς ἔχειν πρὸς ταῦτα τετήρηται. καὶ οὐ μόνον κράσει τινὶ δρᾷ, ἀλλὰ καὶ ὅλῃ τῇ οὐσίᾳ αὐτῆς. κινήσει δὲ κεχρήσθωσαν, καὶ ἀνατρίψει τῶν ἄνω μερῶν, καὶ * εἰς ἁλτῆρας γυμναζέσθωσαν καὶ σφαῖραν, ἀντισπᾶσθαι τὴν ὕλην, καὶ τὸ φυσῶδες πνεῦμα διαφορεῖσθαι.

Κεφάλαια τοῦ ἐννάτου βιβλίου.

Περὶ κωλικῆς διαθέσεως. α'

Πῶς διακρινοῦμεν τοὺς κωλικοὺς ἀπὸ τῶν νεφριτικῶν.

Περὶ κωλικῆς ὀδύνης διὰ ψυχρὸν χυμὸν γινομένης. Περὶ λαχάνων.

Περὶ ὀρνέων. Περὶ ἰχθύων. Περὶ κρεῶν.

Περὶ τραγημάτων. Περὶ οἴνου. Περὶ προπομάτων.

Περὶ λουτροῦ. Περὶ ἐγκαθισμάτων. Περὶ ἐπιθεμάτων.

Περὶ ἐνεμάτων. Ἄλλο καθ' ἑαυτὸ σφόδρα γενναῖον.

Ἄλλο πρὸς τοὺς ὑλώδεις καὶ ψυχροὺς χυμοὺς ἄριστα ποιεῖν δυνάμενον.

Ἄλλο κάλλιον ἔνεμα καθαῖρον τοὺς παχεῖς καὶ γλίσχρους χυμούς.

Ἄλλο ποιοῦν καὶ ἐπὶ εἰλεῶν. Ἄλλο ποιοῦν λίαν καλῶς.

Περὶ τῶν διὰ στόματος διδομένων, καὶ τοῖς διὰ ψυχρὸν καὶ φλεγματώδη χυμὸν ὀδυνωμένοις.

Ἁπλοῦν βοήθημα πεπειραμένον. Ἄλλο ποιοῦν καὶ ἐπὶ νεφριτικῶν.

Ἄλλο σφόδρα γενναῖον. Ἄλλο, καὶ αὐτὸ λίαν καλόν.

Ἄλλο πρὸς τὸ αὐτό. Ἄλλο κάλλιστον, καὶ πρὸς πολλὰ ποιεῖν δυνάμενον.

Περὶ ἀνωδύνων ἐνεμάτων καὶ τροχίσκων, καὶ ἀντιδότων.

Περὶ ἐμέτου. Περὶ σιναπισμοῦ καὶ δρώπακος.

Περὶ κινήσεως. Περὶ τῶν ἐν πνεύμασι κωλικευομένων.

Περὶ τῶν δι' ἔμφραξιν σκληρᾶς κόπρου ὀδυνωμένων τὸ κῶλον.

Περὶ τῆς διὰ θερμοὺς καὶ χολώδεις χυμοὺς γινομένης κωλικῆς διαθέσεως.

Διάγνωσις τῶν ἐπὶ θερμοὺς καὶ χολώδεις χυμοὺς κωλικευομένων.

Θεραπεία κωλικῆς διαθέσεως διὰ θερμοὺς καὶ χολώδεις χυμοὺς γινομένης.

Περὶ λαχάνων. Περὶ ἰχθύων. Περὶ ὀστρακοδέρμων.

Περὶ κρεῶν. Περὶ ὀπωρῶν. Περὶ λουτρῶν.

Περὶ κινήσεως. Περὶ καθαρσίου.

Περὶ τῶν ἐπὶ φλεγμονῇ τῶν ἐντέρων κωλικευομένων.

Περὶ λουτροῦ.

Περίαπτα φυσικὰ πρὸς τοὺς κωλικὴν ἔχοντας διάθεσιν.

Ἄλλο καὶ αὐτὸ διὰ πείρας.

Ἄλλο φυσικὸν δεδοκιμασμένον. Ἄλλο περίαπτον.

Τὸ αὐτὸ πάλιν. Ἄλλο λίαν δραστικόν.

Δακτύλιος πρὸς τὸ αὐτό.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

α' ## Περὶ κωλικῆς διαθέσεως.



Δεινόν τι πάθος καὶ ὀδυνηρόν, ἡ κωλικὴ διάθεσις, πρὸς τούτοις καὶ τὸ δυσδιάγνωστον ἔχουσα· καὶ τὸ μὴ ἐπιφέρειν τὰς ὀδύνας σφοδράς, εἰκότως τῷ κώλῳ προσγίνεται, διὰ τὸ πυκνὸν εἶναι καὶ παχύ, καὶ νευρῶδες τὸ κῶλον, καὶ μηδὲν τῶν ἐκ τοῦ συρρεόντων εὐχερῶς διαφορεῖσθαι δυνατόν, καθάπερ ἐπὶ τῶν λεπτῶν ἐντέρων. τὸ δὲ διαγνωστικὸν ἔχει πάλιν, ἐκ τοῦ καὶ ἄλλοις μορίοις τοιαῦτα συμπτώματα συμβαίνειν, οἷα τοῖς τὸ κῶλον ἀλγοῦσιν. ὅπως οὖν μὴ πλανᾶσθαί τις μέλλων τυφλώττῃ περὶ τὴν θεραπείαν, ἀναγκαῖόν ἐστιν εἰδέναι καὶ διακρίνειν ἡμᾶς πρότερον, εἰ τὸ κῶλόν ἐστι τὸ πάσχον, ἢ ἄλλο τι μόριον, καὶ τίνες εἰσὶν ἐν αὐτῷ συμβαίνουσαι διαθέσεις, καὶ ὅπως ἑκάστην αὐτῶν διάθεσιν κατ' ἰδίαν δεῖ διαγινώσκειν. οὐδὲ γὰρ μία τίς ἐστιν ἐν αὐτῷ συνισταμένη διάθεσις, ἀλλὰ πολλαὶ καὶ ποικίλαι. καὶ γὰρ διὰ ψυχροὺς χυμοὺς καὶ χολώδεις, ἤτοι φλέγματος περὶ οὐσίαν ἐκτεταμένου ἐν αὐτῷ, ἢ ἑτέρωθεν ἐπιρρέοντος, καὶ διὰ φλεγμονήν, καὶ διὰ ξηρὰν κόπρον ἰσχομένην, καὶ πνευμάτων πλειόνων, καὶ παχυτέρων ἔνστασιν, καὶ δι' ἄλλα μόρια, οὐ μόνον διὰ * πρωτοπάθειαν τὸ τοιοῦτον γίνεται πάθος, ἀλλὰ καὶ κατὰ συμπάθειαν τῶν γειτνιώντων αὐτῷ μορίων. καὶ γὰρ καὶ κύστεως φλεγμαινούσης, καὶ νεφρῶν, καὶ ἥπατος, καὶ σπληνός, καὶ διαφράγματος, καὶ κοιλίας, καὶ λαγόνος. ἀλλὰ τὰς μὲν κατὰ συμπάθειαν συμβαινούσας ἐπισχέσεις τῆς γαστρὸς καὶ τῶν ἐντέρων, οὐδὲ κωλικὰς δεῖ καλεῖν διαθέσεις, περὶ ὧν ἐν τῷ περὶ εἰλεῶν, ὅπερ τινὲς καὶ χορδαψὸν εἰώθασι καλεῖν, ἐκεῖσε δηλωθήσεται. νῦν γὰρ περὶ τῶν κατὰ πρωτοπάθειαν ἐν αὐτῷ μόνῳ συνισταμένων πρόκειται διαλαβεῖν. ἐπεὶ δὲ τὰ συμβαίνοντα πάθη τοῖς τὸ κῶλον ἀλγοῦσι, καὶ τοὺς νεφριτικούς, πολλὴν ἔχουσιν ὁμοιότητα, ὥστε πρὸς τὴν διάκρισιν αὐτῶν κάμνειν ἔσθ' ὅτε καὶ τοὺς ἐπισήμονας ἰατρούς, ἐστὶν ἀναγκαῖον περὶ τούτου διαλαβεῖν πρῶτον, ὅπως μὲν ἐοίκασιν ἀλλήλοις, κατὰ τί δὲ διαφέρονται, ὥστε διαγνωσθέντος ἑκατέρου πάθους, μηδεμίαν περὶ τὴν θεραπείαν πλάνην ἡμᾶς ὑπομένειν.

Πῶς διακρινοῦμεν τοὺς κωλικοὺς ἀπὸ τῶν νεφριτικῶν.

Πρῶτον μὲν αἱ ὀδύναι τοῖς κωλικοῖς συνεχέστεραι, καὶ ἰσχυρότεραι τῶν νεφριτικῶν εἰσιν. ἔπειτα δὲ καὶ οἱ συμβαίνοντες ἔμετοι πλείονές εἰσι καὶ συνεχέστεροι, καὶ φλεγματώδεις, ἥ τε γαστὴρ ἐπέχεται τούτοις πολὺ πλέον, ἢ τοῖς νεφριτικοῖς, ὥστε μήτε φῦσαν ὅλως διεξιέναι δύνασθαι. οὐ γὰρ μόνον ἐπὶ τῶν κωλικευομένων γίνεται ἡ ὀδύνη περὶ αὐτὸ τὸ κῶλον, ἀλλὰ περιλαμβάνει καὶ ἕτερα περικείμενα μέρη, ἔσθ' ὅτε δὲ καὶ τὴν γαστέρα πᾶσαν, ὅπερ ἐπὶ τῶν νεφριτικῶν οὐ συμβαίνει. ἐρηρεισμένη γὰρ ἐν αὐτοῖς ἡ ὀδύνη, οὐ μεταβαίνουσα τόποις ἄλλοις καὶ ἄλλοις ὁρᾶται. ὥστε σαφὴς καὶ ἐκ τούτων ἔστωσοι ἡ διαφορὰ πρὸς νεφριτικούς. λοιπὸν δὲ καὶ τὰ οὖρα παχύτερα μὲν ἐπὶ τῶν κωλικῶν, ἐπὶ δὲ τῶν νεφριτικῶν, ὑδατώδη μὲν ἐν ταῖς ἀρχαῖς, προϊόντος

δὲ τοῦ

δὲ τοῦ χρόνου ψαμμώδη, ὅπερ ἐπὶ τῶν κωλικῶν οὐ συμβαίνει. καὶ ἐπὶ μὲν τῶν κωλικῶν, εὐθέως μετὰ τὸ συμβῆναι τὴν γαστέρα ἐκκρίνεσθαι, παραυτίκα καὶ ἡ ὀδύνη παύεται, ὅπερ ἐπὶ τῶν νεφριτικῶν οὐκ ἀκολουθεῖ, ἀλλὰ καὶ μετὰ τὴν ἔκκρισιν οὐδὲν ἧττον ἐπιμένουσα φαίνεται. καὶ αὕτη μὲν αὐτῶν ἡ διάκρισις. καὶ δεῖ προσέχοντας, καὶ διεγνωκότας ἀκριβῶς, οὕτως ἐπὶ τὴν θεραπείαν ἔρχεσθαι. τὸ γὰρ ὡς ἔτυχεν ἐπὶ τηλικούτων παθῶν κατατολμᾶν προσφέρειν βοηθήματα, μεγίστων κακῶν ἔσθ' ὅτε καὶ θανάτων αἴτιον γίνεται. γνωριεῖς δὲ καὶ τὰς διαφόρως συμβαινούσας περὶ τὸ κῶλον διαθέσεις οὕτως.

Περὶ κωλικῆς ὀδύνης διὰ ψυχρὸν χυμὸν γινομένης.

Ψυχροῦ τοίνυν τοῦ νοσήματος ὄντος, ἢ φλέγματος ἐγκειμένου περὶ τὸ ἔντερον, βάρους συναίσθησις ἐπιγίνεται περὶ αὐτό, ἀπύρετοί τε διατελοῦσι, τό, τε κόπριον αὐτοῖς ἐπειδὰν ἐκκριθῇ, βολβίτῳ παραπλήσιον ὁρᾶται, οὐχ ὑφιζάνον ἐν τῇ ἀμίδι, ἀλλ' ὥσπερ ὑπὸ πνεύματος βασταζόμενον. καὶ οἱ πλεῖστοι δὲ αὐτῶν τὸν φλεγματώδη καὶ τὸν ὑαλώδη μᾶλλον ἐκκρίνουσι χυμόν. ταῦτα μέν εἰσιν αὐτῶν τὰ γνωρίσματα. λοιπὸν δὲ καὶ τὰ προηγησάμενα πρὸς τούτοις αἴτια βεβαιοτέραν παραστήσει σοι τὴν διάγνωσιν. ὡς ἐπίπαν γὰρ προηγεῖται αὐτῶν ψυχρῶν ἐδεσμάτων καὶ πομάτων συνεχὴς προσφορά, καὶ λουτρῶν ἀκαίρων χρῆσις, καὶ ἀργίαι, καὶ πλησμοναί. αὕτη μὲν ἡ διάγνωσις τῶν ἐπὶ ψυχρᾷ δυσκρασίᾳ κωλικευομένων. λοιπὸν δὲ περὶ τῆς διαίτης αὐτῶν καὶ τῆς πάσης θεραπείας ἀναγκαῖον διαλαβεῖν. ἄρτος μὲν οὖν τούτοις ἐπιτηδειότατος ὁ σιλιγνίτης ἑψόμενος εἰς ζέμα ῥίζης σελίνου, ἢ ἀνήθου, ἢ κυμίνου, ἢ ἀνίσου, καὶ προσλαμβάνων ὀλίγον οἴνου, ἢ τῶν λεπτομερῶν τινος. οἵ τε γὰρ γλυκεῖς ἅπαντες, καὶ οἱ στρυφνοὶ πολλοὶ ἐναντιώτατοι καὶ βλαβερώτατοι αὐτοῖς εἰσιν. οἶδα δὲ εἰς κονδῖτον ἔχον * πλεῖον τοῦ πεπέρεως ἐπιδοθῆναι τὸν ἄρτον κελεύσας, καὶ τὰ μέγιστα ὠφελήσας. Περὶ λαχάνων. Τῶν δὲ λαχάνων ἐσθίειν αὐτοῖς συμφέρει, τῶν τε σελίνων, καὶ τῶν πράσων ἑφθῶν τὰς κεφαλάς. καλὴ δέ ἐστιν ἐπὶ τούτων καὶ ἡ καυκαλίς, καὶ ὁ ἔλειος ἀσπάραγος, καὶ τὰ σκόρδα πλείονα πάντων. ἴσασι δὲ τοῦτο πάντες ἐξ αὐτῆς μεμαθηκότες τῆς πείρας, ὅ, τι περ οὐ μικρὸν τὸ ἐξ αὐτῶν ὄφελός ἐστι, καὶ διὰ τοῦτο ἐπειδὰν αἴσθωνταί τινος ὀδύνης οἱ πολλοὶ περὶ τὴν γαστέρα, μηδὲ ἐρωτῶντες ἰατρούς, εὐθέως ταῦτα προσφέρονται, καὶ μάλιστα οἱ γεωργοὶ ἀντὶ μεγίστου τινὸς φαρμάκου ταύτῃ κέχρηνται τῇ τροφῇ. Περὶ ὀρνέων.

Τῶν δὲ ὀρνέων ἡ περιστερὰ καὶ ἡ πέρδιξ, ἥ τε κατοικίδιος ὄρνις, καὶ ἁπλῶς ὅσα ἐστὶν ἀπέριττα καὶ μὴ λιπαρά, ταῦτα ἐσθίειν συμμέτρως ἀκόλουθόν ἐστιν. ἐχέτω δὲ καὶ τούτων ὁ ζωμὸς ἄνισον, ἢ κύμινον βραχύ, ἢ πράσον, ἢ σέλινον καθεψηθέν, ἢ πέπερι.

Περὶ ἰχθύων. Καὶ τῶν ἰχθύων οἱ πετραῖοι, ἔχοντές τι καὶ αὐτοὶ τῶν ἀφύσων σπερμάτων. εἰ δὲ καὶ μετὰ σκόρδων ἡδέως ἔχοιεν προσφέρεσθαι, ἐπιτρεπτέον αὐτοῖς. ἔσται γὰρ οὕτως ἄφυσός τε καὶ μᾶλλον ἀβλαβὴς ἡ ἐξ αὐτῶν τροφή. Περὶ κρεῶν.

Τῶν δὲ κρεῶν, εἰ ἐνδέχεται, ἕως παντελοῦς θεραπείας ἀπεχέσθωσαν, ὁμοίως δὲ καὶ τῶν ὀσπρίων. τὴν μέντοι πτισάνην αὐτοῖς λαμβάνειν οὐδὲν ἄτοπον, ἐπειδὰν τι συνεψηθῇ τῶν ἀφύσων σπερμάτων, οἷον, ῥίζης, σελίνου, ἢ κόμης πράσου, ἢ γλήχωνος, ἢ ὀριγάνου ἢ ἀνίσου, ἢ πεπέρεως, ἢ ἀμυγδάλων. οὕτω γὰρ ἑψομένη, καὶ τὸ δύνασθαι ψύχειν ἀπόλλυσι, καὶ τὸ ἄφυσον προσλαμβάνει, καὶ τὸ ῥύπτειν καὶ λεπτύνειν ἐπὶ

πλέον τὰ περιττώματα. Περὶ τραγημάτων. Τῶν δὲ τραγημάτων ἁρμόζει τούτοις τὰ ἀμύγδαλα προσφέρειν, καὶ μάλιστα τὸν χυλὸν αὐτῶν προσλαμβάνοντα ὀλίγου μέλιτος καὶ πεπέρεως. οὕτω γὰρ τὰ παχέα καὶ γλίσχρα τῶν περιττωμάτων ἔτι μᾶλλον λεπτύνειν δυνήσεται. Περὶ οἴνου. Ὁ δὲ οἶνος ἔστω λευκὸς καὶ εὐανάδοτος, ἄστυφος. καὶ διδόσθω μάλιστα ἐφ' ὧν καὶ πλῆθος πνευμάτων αἴτιον εἶναι τῆς σφοδρᾶς ὀδύνης ἐπινοήσομεν. ἐπὶ γὰρ τούτων, εἰ καὶ ἀκρατέστερον ἐπιδοίη τις αὐτοῖς, ἐπὶ πλέον ὠφελήσει.

Περὶ προπομάτων.

Τῶν δὲ προπομάτων ἄριστόν ἐστι τὸ κονδῖτον, καὶ τὸ ἀπιάτον, ἢ ἀνισάτον, ἢ λιβυστικάτον, ἢ ἀψινθάτον, ἢ κιτράτον, ἢ μαστιχάτον. ἅπαντα γὰρ ταῦτα τοὺς ἀπὸ ψυχρῶν χυμῶν ὀδυνωμένους ἰᾶσθαι δύνανται.

Περὶ λουτρῶν.

Λουτρὰ δὲ συνεχῆ τὰ διὰ τῶν γλυκέων ὑδάτων οὐδέν τι χρήσιμα τοῖς διὰ ψύξιν ἢ παχεῖς χυμοὺς ὀδυνωμένοις. παραμυθοῦνται γὰρ μόνον ὑπὸ τῶν τοιούτων ὑδάτων, οὐ θεραπεύονται. ἐμάθομεν δὲ ὡς ἡ δύναμις τῶν γλυκέων ὑδάτων, ψύχουσάν τε καὶ ὑγραίνουσαν μᾶλλον ἔχει ποιότητα, διὸ καὶ τὸν ἀέρα πειρᾶσθαι θερμότερον παρασκευάζειν, καὶ τὴν τοῦ θερμοῦ δεξαμενήν. καὶ τοὺς πάσχοντας ἀλείφειν τόποις θερμοτέροις ἀλείμμασι, ἢ ἀνηθίνῳ, ἢ γλευκίνῳ, ἢ μαρκιάτῳ. ἐπὶ πᾶσί τε καὶ νίτρον, ἢ νάπυ, καὶ ἀνατρίβειν ἠρέμα τὰ πεπονθότα, καὶ τὸ ἄλλο σῶμα. εἰ δὲ καὶ ἡδέως ἔχοιεν, συγχωρεῖν αὐτοὺς πυριᾶν ἐν τοῖς διαπύροις μαρμάροις. ὠφελοῦνται γὰρ ἅμα καὶ παραμυθοῦνται τοῦτο ποιοῦντες. εἰ δὲ δύναιντο καὶ ἐν τοῖς αὐτοφυέσιν ὕδασι λούεσθαι, ἔτι μᾶλλον θεραπεύονται, καὶ τελείως ὑγιαίνουσι. καὶ μάλιστα εἰ τύχοι εἶναι θειώδη, καὶ ἀσφαλτώδη. καὶ πίνειν ἐπιτρεπτέον αὐτοῖς τῶν τοιούτων ὑδάτων. ἔχουσι γὰρ τὸ ῥύπτειν καὶ ἐκκαθαίρειν, εἴ τε γλίσχρον ἔν τε τῇ γαστρὶ καὶ τοῖς ἐντέροις εὑρεθῇ προσαπεπλασμένον. ἀνασκευάζει τε πολλάκις, καὶ ὅλην τὴν νόσον ἀποθεραπεύει εἰς τὸ παντελές. τοσαῦτα περὶ διαίτης εἰρήσθω. καὶ οἶμαί γε ἀρκεῖν αὐτὰ πᾶσι τοῖς εὖ φρονοῦσιν. εἰ γὰρ τι καὶ παραλέλειπται παρ' ἡμῶν ἐκ τῶν εἰρημένων, ἐπὶ τὰς παραπλησίους δυνάμεις μεταβαίνειν εὐχερῶς τις δυνήσεται. εἴπωμεν δὲ λοιπὸν καὶ ὅσα τῶν βοηθημάτων ἴσμεν ἐκ τῆς μακρᾶς πείρας, ὠφελεῖν τε καὶ παρηγορεῖν δυνάμενα, καὶ θεραπεύειν τελέως τὸ πάθος. πυρίαι μὲν οὖν μᾶλλον ἐπὶ τῶν ψυχροτέρων εἰσὶν ἐπιτηδειόταται, διά τε ἁλῶν καὶ κέγχρων, καὶ κριθῶν σκευαζόμεναι. ἐφ' ὧν δὲ μὴ πολὺ διαφορῆσαι καὶ ξηρᾶναι χρῄζομεν, ἐπὶ τούτων εἰσὶ καὶ οἱ διὰ τῶν πιτύρων σάκκοι χρήσιμοι. χρὴ μέντοι ἐν τῷ ὕδατι ἐν ᾧ μέλλουσιν ἕψεσθαι τὰ πίτυρα, προαποζεννύειν ἄνηθα πλείονα, καὶ χαμαίμηλα, καὶ ἀλθαίαν, καὶ γλήχωνα, καὶ δάφνης τόν τε καρπὸν καὶ τὰ φύλλα, καὶ ἀρτεμισίαν, καὶ σάμψυχον, καὶ εἴ τι ἄλλο τούτοις ὅμοιον εὑρίσκεται. χρὴ οὖν καὶ χαμαιμήλου, ἢ ἀνήθου, ἢ κυπρίνου ἐλαίου προσεμβάλλειν τῇ ἑψήσει, καὶ τούτοις αὐτοῖς δεῖ ὑπαλείφειν τοὺς ἀλγοῦντας τόπους. ἀγαθὸν γάρ ἐστιν. ὀνίνησι δὲ αὐτοὺς καὶ ἡ διὰ τοῦ πενταμυρείου, ἢ μαρκιάτου ἀλοιφὴ τὰ μέγιστα, καὶ ἔτι μᾶλλον τὸ καλούμενον πιπέλαιον, ᾧτινι καὶ οἱ παρ' ἡμῖν ἄγροικοι χρῶνται, καὶ μεγάλως ὠφελοῦνται. δεῖ δὲ μὴ μόνον τὸ ἦτρον, καὶ τὰς ψόας ἀλείφειν, ἀλλὰ καὶ κροκίδα πληροῦντας, διὰ τοῦ δακτυλίου παραπέμπειν. καὶ πολλοὺς θεραπεύεσθαι τῇ ἀγωγῇ ταύτῃ χρησαμένους οἶδα διὰ ταχέων, οὐ μόνον ἄνδρας, ἀλλὰ καὶ

γυναῖκας

γυναῖκας καὶ παῖδας, οἶδα ἀλεξανδρεῖς τῷ ἐμφανίνῳ ἐλαίῳ χρωμένους, καὶ μεγάλως ὠφελουμένους. εἰδέναι δὲ χρὴ ὡς εἴ γε μὴ λυθεῖεν ὑπὸ τῶν προσφερομένων πυριῶν αἱ ὀδύναι, οὐ δεῖ πλείονα χρόνον θερμαίνειν, οὐδὲ σφοδροτέραις κεχρῆσθαι ταῖς πυρίαις. ξηραίνονται γὰρ ἐπὶ πλέον οἱ χυμοί, καὶ κατάγλισχροι γίνονται, καὶ φυσώδη τίκτουσι πνεύματα, καὶ διατάσεις, καὶ ὀδύνας σφοδροτέρας ἔτι μᾶλλον ἐργάζονται. ὅτι δὲ τὰ ἐπὶ πλέον θερμαινόμενα παχύνεται, δηλοῦσιν οἵ τε ἅλες καὶ νίτρα, καὶ στυπτηρία, καὶ ἄλλα πολλά. εἰ οὖν αἱ ὀδύναι μὴ λύονται διὰ τῶν θερμαινόντων, ἀλλὰ καὶ ἰσχυραὶ γίνονται, συμφέρει τηνικαῦτα φείδεσθαι μὲν τῶν σφοδροτέρων πυριῶν· κεχρῆσθαι δὲ τοῖς λεπτύνειν καὶ ὑποκαθαίρειν τὰ γλίσχρα καὶ παχέα τῶν περιττωμάτων δυναμένοις. εὐδοκιμοῦσι δὲ ἐπὶ τούτων ὅσα τὰ δι' εὐφορβίου σκευάζεται. καὶ γὰρ εἰ μή τι τῶν ὀξέως δυναμένων διικνεῖσθαι δύναται, κίνδυνος μὴ δυνηθείη τι δρᾶσαι τὸ διδόμενον. πολλὰ μὲν οὖν εἰσι τοῦτο ποιεῖν δυνάμενα, ἀλλ' οὐδὲν οὕτως, ὡς τὰ ὑφ' ἡμῶν ἐπὶ τούτων σκευαζόμενα συνήθως καταπότια· καὶ ἐπὶ εἰλεῷ οἶδα χρησάμενος, καὶ εὐδοκιμήσας. ἔχει δὲ αὐτῶν ἡ γραφὴ οὕτως, ἀλόης, εὐφορβίου, κνιδοκόκκων τῆς σαρκός, σκαμμωνίας ἀνὰ γο α'· ἐγὼ μὲν οὕτω χρησάμενος ἐπέτυχον. ἔστω δὲ αὐτῶν ἡ δόσις κε β', καὶ πλείω. τινὲς δὲ προσέθηκαν καὶ ἀγαρικοῦ, καὶ οὕτως ἐπέδωκαν. ἔχει δὲ καὶ τούτων ἡ σύνθεσις οὕτως, ἀλόης γο ς'', δακρυδίου γο ς'', ἀγαρικοῦ κε δ', κνιδοκόκκων τῆς σαρκὸς κε γ', εὐφορβίου κε η', ἀψινθίας χυλῷ ἀναλάμβανε. τούτοις καὶ τοῖς ὁμοίοις τούτων κεχρῆσθαι δεῖ, καὶ ἐπὶ ψυχροτέρων κράσεων, καὶ ἐφ' ὧν φλέγμα πολὺ περιεχόμενον ἐν τοῖς ἐντέροις, τήν τε ὀδύνην καὶ τὴν ἐποχὴν τῆς γαστρὸς ἐργάζεται. χρὴ δὲ μηδὲ ἐν ταῖς ἀρχαῖς σπουδάζειν αὐτοὺς καθαίρειν, ἀλλ' ἐπειδὰν αἴσθῃ προλεπτυνθέντας καὶ διαλυθέντας τοὺς χυμούς, καὶ μηδεμίαν ἔτι φλεγμονὴν οὖσαν ἐν τοῖς ἐντέροις. οὕτω γὰρ χρησάμενος, οὐκ ἂν ἁμάρτοις, οὐδὲ φοβηθείς τινα κίνδυνον ἐσόμενον, ἤδη τῆς ὕλης πεφθείσης, καὶ ἐπιτηδείως ἐχούσης πρὸς κένωσιν. ὅσοι γὰρ ἐτόλμησαν καθᾶραι ὠμῶν ὄντων τῶν χυμῶν, ἢ φλεγμονῆς οὔσης ἐν τῷ κώλῳ, ἢ δραστηρίοις χρήσασθαι, οὗτοι οὐ συνίασιν αἴτιοι καὶ κινδύνων καὶ θανάτου τοῖς κάμνουσι γινόμενοι. Περὶ ἐγκαθισμάτων. Καὶ τὸ ἐγκαθίζεσθαι τούτους ἐν τῷ θερμῷ, κάλλιστόν ἐστι βοήθημα. καὶ γὰρ παρηγορεῖ καὶ θεραπεύει τὰ πεπονθότα, καὶ μάλιστα ἐὰν συνεψηθῇ τῶν ἀφύσων τι σπερμάτων, ἢ βοτανῶν, οἷον, σελίνου, ἀνίσου, κυμίνου, ἀλθαίας, δάφνης φύλλων, πηγάνου, σαμψύχου, ἀρτεμισίας. οὕτω γὰρ εἰ παρασκευασθείη τὸ ὕδωρ, χρήσιμον ἔσται πρὸς ἅπαντα, εἴτε προσαντλεῖσθαι βούλοιντο ἐγκαθήμενοι εἰς τὴν σκάφην, εἴτε ἐμβιβάζεσθαι εἰς τὰς καλουμένας πυτίδας, δύνανται. Περὶ ἐπιθεμάτων. Μετὰ δὲ τὰς πυρίας, καὶ διαβροχὰς καὶ ἀλείμματα, ὠφελεῖ τούτοις λοιπὸν καὶ ἡ τῶν ἐπιθεμάτων χρῆσις, ἐξ ὧν ἐστι, καὶ τὸ διὰ μηλιλώτων, καὶ τὸ διὰ σπερμάτων, καὶ τὸ διὰ σαμψύχου, καὶ ἐπὶ πλέον τούτων τὸ πολυάρχιον καλούμενον. χρὴ δὲ ἴστω ἐπὶ τῶν θερμοτέρων τῶν κράσεων, μὴ ἀκράτῳ, ἀλλὰ μᾶλλον ἀνειμένῳ κεχρῆσθαι τῷ βοηθήματι * καὶ κηρωτῆς ὀλίγον ἐχούσης καὶ χαμαιμήλου, μιγνύντας αὐτῷ. οὕτω γὰρ ἀνεκτῶς τὸ δριμύτερον, καὶ προσηνέστερον, καὶ εὐκρατότερον ἔσται, καὶ κατὰ πολὺ χρησιμώτερον εὑρεθήσεται πολλῷ τὸ φάρμακον. Περὶ ἐνεμάτων. Καὶ τοῖς ἐνέμασιν, εἰ ἐπιμένει τὰ τῆς ὀδύνης, ἀνάγκη κεχρῆσθαι, μετρίας μὲν οὔσης, τοῖς ἁπλουστέροις· ἰσχυροτέρας δέ, τοῖς ἔτι μᾶλλον παρηγορεῖν καὶ ἀπολεπτύνειν τὸν ἐγκείμενον χυμὸν δυναμένοις. ἁπλούστερον μὲν οὖν ἐστι τὸ ἔλαιον αὐτὸ καθ' αὑτὸ θερμαινόμενον, καὶ

προσλαμβάνον δέ τι τῶν ἀφύσων σπερμάτων, καὶ στεάτων χηνείων, προσηνέστερον ἔσται. δεῖ δὲ αὐτὸ σκευάζειν οὕτω· λαβὼν ἔλαιον λεπτομερὲς, ἕψησον ἐν αὐτῷ τῶν ἀφύσων τινὰ σπέρματα, οἷον, ἀνίσου, σελίνου, κυμίνου, ἢ μαράθρου, καὶ τῶν ὁμοίων τούτοις, εἶτα διηθήσας τὸ ἔλαιον δι᾽ ὀθόνης, τῆξον ἐν αὐτῷ στέαρ χήνειον ἄναλον. εἰ δὲ μὴ παρείη, οὐδὲν ἄτοπον καὶ ὄρνιθος, μίξας οὕτως αὐτῷ κεχρῆσθαι τῷ ἐνέματι. κινείσθω δὲ τὸ ἔλαιον μετὰ πηγάνου κλωνίων, οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον, καὶ τρίτον. εἰ δὲ ἐπιμένῃ ἡ ὀδύνη, προσφέρειν καὶ ἰσχυρότερον βοήθημα, ἐξ ὧν ἐστι καὶ τὸ διὰ τῶν χυλῶν βοτανῶν συγκείμενον. ἔχει δὲ οὕτω, τήλεως, μελιλώτου, ἀνήθου, ἀλθαίας, *σελινοσπέρμου, *κριωπλημμύων, χαμαιμήλου ξηροῦ, γλήχωνος ἀνὰ λί. α´. ἐμβαλὼν τὰς βοτάνας εἰς χύτραν καινὴν, ἢ εἰς κάκαβον, βάλλε ὕδατος ξε ιβ´, καὶ ἐάσας ἡμέρας ιε´ ἐμβρέχεσθαι, οὕτως ἑψηθῆναι ποίησον αὐτά. εἶτα διηθήσας τοὺς χυλοὺς, καὶ ῥίψας τὰς βοτάνας, βάλλε τοῦ χυλοῦ λί. β´, στέατος χηνείου, μυελοῦ ἐλαφείου, στύρακος, μανδραγόρου χυλοῦ, βουτύρου, τερεβινθίνης ἀνὰ ℥ ϛ´, λιβάνου ἄρρενος, ὑοσκυάμου σπέρματος, ἀλόης, κυκλαμίνου χυλοῦ ἀνὰ ℥ α´. σκεύαζε κατὰ τρόπον καὶ ἔχε. ἐπὶ δὲ τῆς χρήσεως, ἐν ἐλαίῳ ἀνηθίνῳ βαλὼν ἐκ τοῦ βοηθήματος κοχλιάρια β´ ἢ γ´, ἔνιε. εἴτε γὰρ φλεγμονή τις εἴη, εἴτε χυμὸς οἱοσδήποτε, ὠφελεῖ καὶ ὑπεξάγει τοῦτον, καὶ τὰς ὀδύνας ἐκκόπτει. Ἄλλο σφόδρα γενναῖον. Ἀλόης, καστορίου ἀνὰ ℥ δ´, ἐν ἄλλῳ ἀνὰ ℥ α´, κυκλαμίνου χυλοῦ προσφάτου ℥ S″, ὀπίου ℥ S″, σκεύαζε κατὰ τρόπον. ἐπὶ δὲ τῆς χρήσεως, ἔνιε μετὰ ἐλαίου ἀνηθίνου, καὶ στέατος χηνείου ὀλίγου. ἰσχυρὸν ἐστι τὸ βοήθημα· καὶ μὴ καταφρονήσῃς διὰ τὸ εὐτελὲς τῶν εἰδῶν.

Ἄλλο πρὸς τοὺς ὑλώδεις καὶ ψυχροὺς χυμοὺς ἄριστα ποιεῖν δυνάμενον. Τερεβινθίνης τῆς διὰ χυλοῦ, βουτύρου, καστορίου, πλατυκυμίνου ἀνὰ ℥ ϛ´, τοῦ βασιλικοῦ ℥ β´, ἐν ἄλλῳ ℥ ϛ´, δαφνόκοκκα ρ´, σκόρδων σκελίδας γ´, τριβείσας καὶ λειωθείσας, πηγάνου χλωροπληθὲς δέσμιον α´, ἐλαίου κυπρίνου λί. ε´. τὰ μὲν εἴδη ταῦτα. ἡ δὲ σκευασία ἔχει τοῦτον τὸν τρόπον, βάλλε εἰς τὸν κάκαβον τὸ κύπρινον ἔλαιον, καὶ τὸ σαβῖνον, καὶ προσπλέξας αὐτοῖς ξε α´ οἴνου εἰς τοῦτο ἀπόβρεχε τὸ καστόριον, καὶ τὸ πλατυκύμινον, καὶ τὰ δαφνόκοκκα, καὶ τὰ σκόρδα, καὶ τὸ πήγανον, ἄχρι τριῶν ἡμερῶν, καὶ μετὰ ταῦτα ἕψησον μαλακῷ πυρὶ, ἕως ἂν ἀναλωθῇ ὁ οἶνος. καὶ ἐξελὼν ἀπὸ τοῦ πυρὸς, διήθησον τὸ ἔλαιον, εἶτα λαβὼν τὴν τερεβινθίνην, καὶ τὸ βασιλικὸν, καὶ τὸ βούτυρον, καὶ τὴν διὰ χυλοῦ, καὶ ἠρέμα θερμαίνας, ἕως οὗ μιγῶσιν, ἀπόθου ἐν βυκίῳ, καὶ χρῶ, λαμβάνων ἐξ αὐτοῦ κοχλιάρια β´ ἢ γ´, καὶ στέατος βραχύ. θαυμαστὸν ἐστι βοήθημα. πάνυ γὰρ τὰς σφοδρὰς ὀδύνας καὶ παρηγορεῖ, μετὰ τοῦ μηδὲν ἔχειν ναρκωτικόν.

Ἄλλο κάλλιον ἔνεμα καθαῖρον τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. Ἀριστολοχίας κεκομμένης, ἁλῶν πεφρυγμένων καὶ λελειωμένων, μυούρου βοτάνης καὶ αὐτῆς κεκομμένης, ἐλαίου τηλίνου, ἐλαίου πηγανίνου, ἐλαίου ἀνηθίνου, εἰς τὸ ἔλαιον ἔμβαλλε πρὸς ἓν κοχλιάριον τῶν βοτανῶν, καὶ τῶν ἁλῶν κοχλιάριον ἕν. τοῦτο πάνυ λύει φλέγμα, καὶ οὐ μόνον κωλικοὺς, ἀλλὰ καὶ ἰσχιαδικοὺς ὠφελεῖ γενναίως. Ἄλλο ποιοῦν καὶ ἐπὶ εἰλεῶν.

Λαβὼν νίτρου ἀλεξανδρινοῦ ὅσον ℥ S″, ἢ καὶ πλέον, πρόσμιξον ἔλαιον καὶ ὕδωρ θερμὸν, καὶ πάντα ἀναμίξας ὅσον κοτύλης πλῆθος, ἔνιε, καὶ θαυμάσεις ὅπως ἐκκρίνεσθαι παρασκευάζει ὅσον εὕρῃ, εἴτε κόπρον σκληρὰν, εἴτε γλίσχρον καὶ παχὺν χυμὸν φλεγματώδη περιεχόμενον. ἐγὼ καὶ ἐπὶ τῶν ὑπὸ εἰλεοῦ κατεχομένων ἐχρησάμην αὐτῷ, καὶ ἐπέτυχον, ὥστε θαυμάσαι πάντας τὸ ἁπλοῦν καὶ τὸ δραστικὸν τοῦ βοηθήματος. Ἄλλο ποιοῦν λίαν καλῶς. Στύρακος, καστορίου, σμύρνης, ὀπίου

ἀνὰ Γο α', ταῦτα πάντα μίξας, ἐπὶ τῆς χρείας, λαβὼν ὅσον κυάμου αἰγυπτίου τὸ μέγεθος, ἔνιε μετὰ πηγανίνου ἐλαίου, καὶ ὀλίγων στεάτων. τοῦτο καὶ ὕπνον ἐμποιεῖ, καὶ τὰς σφοδρὰς ὀδύνας, εἴπερ τι ἄλλο, παρηγορεῖν δύναται. καὶ πλείστην αὐτοῦ πεῖραν εἴληφα.

Περὶ τῶν διὰ στόματος διδομένων καὶ τοῖς διὰ ψυχρὸν καὶ φλεγματώδη χυμὸν ὀδυνωμένοις.

Ἐπειδὴ δὲ πολλοὶ τὴν γαστέρα θεραπεύεσθαι οὐκ ἀνέχονται, τὰ μὲν δεδοικότες, ἔσθ' ὅτε δὲ καὶ ὑπὸ πολλῆς ἀνίας ἐρυθριῶντες, ἀναγκαῖόν ἐστιν ἐπὶ τούτων ἐπιδιδόναι αὐτοῖς πίνειν ὅσα πρὸς τὰς κωλικὰς ὀδύνας ποιεῖν πεπίστευται. πολλὰ μὲν οὖν ἅπασιν εἴρηται τοῖς παλαιοῖς· ὧν δὲ καὶ ἡμεῖς ἔσχομεν πεῖραν ἄριστα ποιεῖν δυναμένων, τούτων ἁπάντων ἐκθήσομαι τὰς γραφάς, τὴν ἀρχὴν ἀπὸ τῶν ἁπλουστέρων, καὶ πρὸς μετρίας ὀδύνας ποιεῖν δυναμένων τὴν ἀναγραφὴν ποιούμενος.

Ἁπλοῦν βοήθημα πεπειραμένον.

Πράσιον βοτάνην ἀποζέσας, δίδου μετὰ οἰνομέλιτος πίνειν, ἢ δαφνίδας λελεπισμένας θ' ἢ ιδ', καὶ λεπίσας καλῶς, δίδου πίνειν μετ' οἴνου κυάθους τρεῖς. δεδοκίμασται.

Ἄλλο ποιοῦν καὶ ἐπὶ νεφριτικῶν. Λαβὼν φύλλα τῆς ῥάμνου χύλισον, καὶ εἰς μίαν κρᾶσιν τοῦ χυλοῦ ἀναμίγνυε κόκκους πεπέρεως ζ' ἢ θ', καὶ μέλιτος ὅσον κοχλιάρια β', καὶ χλιάνας, δὸς πίνειν τῷ κάμνοντι ἐν τῇ ἐμβάσει τοῦ λουτροῦ. καὶ θαυμάσεις, ὅπως μετὰ βραχὺν χρόνον ὁ πάσχων ἀνώδυνος γίνεται. τοῦτο καὶ πρὸς νεφριτικοὺς ποιεῖ, ἔχοντας ἔμφραξιν ἢ λίθον, ἢ παχύτερον χυμόν. πολίου τὸ ζέμα δίδου μετ' οἴνου πίνειν, ὁμοίως καὶ ὑσσώπου, καὶ δικτάμνου καλῶς ποιεῖ, καὶ πετροσελίνου, καὶ ἀνίσου. Ἄλλο σφόδρα γενναῖον. Ὀριγάνου ℥ α', δίδου ἐμβάλλειν εἰς μίαν κρᾶσιν ἀσκαλωνίτου, ἢ ἄλλου λεπτοῦ οἴνου. πεπείραται τὸ βοήθημα, πολλοὺς ἐκ μεγάλων ὀδυνῶν ῥυσάμενον.

Ἄλλο, καὶ αὐτὸ λίαν καλόν. Καστορίου μέρη β', ὀριγάνου μέρος α', δίδου ἀπυρέτοις μετ' οἰνομέλιτος, πυρέττουσι δέ, μετὰ μελικράτου. Ἄλλο πρὸς τὸ αὐτό. Μαράθρου σπέρμα, ἀνίσου, ναρδοστάχυος ἀνὰ Γο α', σελίνου σπέρματος, ἄμμεως, κασίας ἀνὰ Γο ς'. τοῦτο καὶ νεφριτικοῖς καὶ κωλικοῖς, καὶ ὑδερικοῖς καλῶς δίδοται. Ἄλλο κάλλιστον καὶ πρὸς ἄλλο ποιεῖν δυνάμενον. Καρδαμώμου ἐξεντερισμένου Γο δ', ἐν ἄλλῳ Γο α', ἀμώμου βοτρύου Γο α', ναρδοστάχυος, μαράθρου φλοιοῦ ἢ φύλλων, μήκωνος λευκῆς, κόστου λευκοῦ, νάρδου κελτικῆς, πεπέρεως λευκοῦ, κυμίνου αἰθιοπικοῦ, ἡδυόσμου ξηροῦ, τοῦ καρποῦ ἀσάρου ἀνὰ Γο α', σμύρνης τρωγλίτιδος < δ', σκαμμωνίας < δ', μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. προσμίξας ἀναλάμβανε, καὶ δίδου καταπίνειν καρύου ποντικοῦ τὸ μέγεθος ἐπὶ τῶν ἰκτεριώντων· ἐπὶ δὲ τῶν κωλικῶν, μετὰ ὑδρομέλιτος ψυχροῦ κοχλιάρια β'. εἰδέναι δὲ δεῖ τὸ ποσὸν τῆς δόσεως, καὶ διδόναι μὴ μόνον καρύου ποντικοῦ τὸ μέγεθος, ἀλλὰ καὶ βασιλικοῦ, καὶ μάλιστα ἐπὶ τῶν εἰλεῶν, καὶ ῥιπτούντων ἑαυτοὺς δι' ἀμέτρους ὀδύνας, ὡς ἔστιν εἰπεῖν, ἐφ' ὧν ἔρρωται ἡ δύναμις, καὶ ἡ ὀδύνη σφοδρὰ οὖσα κατεπείγει, μηδὲν ὑφορώμενος, καὶ μεῖζον τὸ μέγεθος τοῦ βασιλικοῦ καρύου δίδου. οὐ γὰρ ἔχει τι ναρκωτικόν, ὡς ἡ Φίλωνος, καὶ ἄλλαι τινὲς τῶν ἀντιδότων, ἀλλὰ τὸ καθαίρειν καὶ ὑποκλέπτειν τὸν λυποῦντα χυμόν, τὴν ἀνωδυνίαν χαρίζεται. καὶ ἡ θηριακὴ δὲ ἀντίδοτος μεγάλως ποιεῖ πρὸς τὰς ἀπὸ φλέγματος καὶ ὑαλώδους χυμοῦ γινομένας ὀδύνας. ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος μετὰ μελικράτου. ἐγὼ πολλάκις ἐπὶ τούτων δεδωκὼς ἐπέτυχον. εἰ δέ τις αὐτὴν καὶ ἐν τοῖς

διαλείμμασι πίνει ἅπαξ τοῦ μηνός, εἰς τέλεον ὑγιής ἐστι καὶ ἀπαρόξυντος τοῦ λοιποῦ. ἡ δὲ Φίλωνος ἀντίδοτος παρηγορεῖ μὲν τοὺς διὰ ψυχρὰν αἰτίαν ὀδυνωμένους, οὐκ ἰᾶται· τοὺς δὲ ἐπὶ χολώδει καὶ κακοχυμίᾳ πάσχοντας, οὐ μόνον παρηγορεῖ, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελεῖ, συμμέτρως ἐπιδιδομένη, καὶ πρὸς τὴν δύναμιν. ἔτι δὲ καὶ ἡ μυρκελία ἀντίδοτος παρηγορεῖ, μετὰ τοῦ πολὺ ἔχειν τὸ ναρκωτικόν. ἔχει δὲ αὐτῆς ἡ γραφὴ οὕτω, κρόκου < η', θείου ἀπύρου < β', ἐν ἄλλῳ < ς', ὀπίου < ς', κινναμώμου < α', πεπέρεως λευκοῦ < κ', μέλιτος ἀττικοῦ τὸ ἀρκοῦν, δίδου καρύου ποντικοῦ τὸ μέγεθος, μετὰ θερμοῦ ὕδατος. ταῦτα περὶ ἐνεμάτων καὶ ἀντιδότων εἰρηκότας, ἐπειδὴ πολλὰ τούτων εἰσὶ διὰ ὀπίου, καὶ τῶν ἄλλων ναρκωτικῶν, ἀναγκαῖόν ἐστι καὶ περὶ τούτων διαλαβεῖν, πότε, καὶ πῶς καὶ ἐπὶ ποίοις αὐτοῖς κεχρῆσθαι χρή.

Περὶ ἀνωδύνων ἐνεμάτων καὶ τροχίσκων, καὶ ἀντιδότων.

Τὰ ναρκωτικὰ τῶν φαρμάκων ὅσα καὶ δι' ὀπίου καὶ ὑοσκυάμου τὴν σύνθεσιν ἔχει, οὐ δεῖ σπουδάζειν ὡς ἔτυχε προσφέρειν, ἀλλ' εἰ μὲν λεπτοὶ καὶ δριμεῖς εἶεν οἱ τὴν ὀδύνην ἐργαζόμενοι χυμοί, θαῤῥοῦντα δεῖ προσφέρειν, μηδεμίαν ὑποπτεύοντα ἔσεσθαι βλάβην. εἰ δὲ παχεῖς εἶεν καὶ γλίσχροι, φεύγειν δεῖ τὴν τῶν ναρκωτικῶν χρῆσιν. εἰ γὰρ καὶ παραυτὰ δόξουσιν ἀνωδυνίαν προσφέρειν, ἀλλ' οὖν γε τὴν ὀδύνην ἐς ὕστερον ἐπὶ πλείονα χρόνον παραμένειν παρέχουσι. καὶ οἶμαί γε εἰκότως αὐτὰ μὴ συμφέρειν. πυκνουμένων γὰρ τῶν πόρων διὰ τὴν ἐκ τῶν ναρκωτικῶν φαρμάκων ψύξιν, καὶ παχυνομένων τῶν περιττωμάτων, ἀναγκαῖόν ἐστι καὶ τὴν ὅλην διάθεσιν ἐπαύξεσθαι μᾶλλον, καὶ δυσδιαφόρητον γίνεσθαι. πολλοὶ γοῦν ἐκ δευτέρου καὶ τρίτου δεδωκότες ἐπὶ τῶν τοιούτων διαθέσεων, νέκρωσιν καὶ παράλυσιν εἰργάσαντο, ἔσθ' ὅτε δὲ καὶ θάνατον ἐπήγαγον παντελῆ. διὰ ταῦτα πάντα οὐ δεῖ σπουδάζειν ἡμᾶς, ὡς εἴρηται, τὰ ναρκωτικὰ τῶν φαρμάκων ὡς ἔτυχεν ἐπὶ τῶν κωλικευομένων διὰ ψυχρὰν διάθεσιν, εἰ μὴ μεγάλη τις ὀδύνη, καὶ σφοδρά, καὶ κίνδυνον ἀπειλοῦσα συγκοπῆς, εἴη τὸ ἀναγκάζον ἡμᾶς τοῦτο πρᾶξαι. ἐὰν οὖν ἡ δύναμις ἐῤῥωμένη σοι φανῇ, καὶ ἡ ὀδύνη μεγάλη πάνυ καὶ κατεπείγουσα, τηνικαῦτα χρὴ μόνον ἐπιδιδόναι, καὶ τοῦτο προσάπαξ. ἐπὶ γὰρ τῶν ἐχόντων θερμοτέραν τὴν κρᾶσιν, καὶ διὰ λεπτὸν καὶ δριμὺν ὀδυνωμένων χυμόν, πρὸς τὸ μηδὲν βλάπτειν τὰ ναρκωτικὰ τῶν φαρμάκων, ἔτι καὶ μᾶλλον ὠφελεῖ παχύνοντα, καὶ εἰς πέψιν ἄγοντα, καὶ εἰς εὐκρασίαν μεταβάλλοντα τὸν λεπτὸν καὶ δριμὺν καὶ χολώδη χυμόν. Περὶ ἐμέτου. Ὁ δὲ ἔμετος ὠφελιμώτατός ἐστι τοῖς διὰ ψυχρὸν χυμὸν ὀδυνωμένοις, καὶ μάλιστα ὁ ἀπὸ ῥαφανίδων, καὶ ἁλμυρῶν, καὶ γλυκέων, καὶ πλειόνων ἐδεσμάτων παραλαμβανόμενος. ἅμα γὰρ τῷ ἐμέτῳ, καὶ εἴ τι γλίσχρον ἐστί, καὶ παχύ, καὶ φλεγματῶδες, συναναφέρεται, καὶ οὐ συγχωρεῖται πολὺ συναγόμενον αὐτοῖς τοῖς ἐντέροις ἐπιῤῥεῖν. καὶ ἑτέρων πάλιν ὀδυνῶν αἴτιοι γίνονται. χρὴ δὲ μὴ μόνον ἐν τῇ νόσῳ, ἀλλὰ καὶ ἐν τοῖς διαλείμμασι τοῦτο πράττειν. Περὶ σιναπισμοῦ καὶ δρώπακος. Ὁμοίως δὲ καὶ τοὺς διὰ νάπυος φοινιγμούς, καὶ δρωπακισμοὺς ἁρμόζειν ἡγοῦμαι, μάλιστα ἐπὶ τῶν ἤδη χρονισάντων ἐν τῇ τοιαύτῃ νόσῳ. ἀναθάλποντα γὰρ ἐκ διαλειμμάτων, εἴ τις αὐτοῖς χρήσαιτο, τὰ πεπονθότα, περὶ τὴν ἐπιφάνειαν ἀνθέλκεται τὰ περιττά. εἰ δὲ καὶ φλυκταίνας συμβῇ γίνεσθαι μικράς, καὶ ψυδράκια, οὐ δεῖ ταράττεσθαι. τὰ δὲ χρόνια τῶν παθῶν καὶ ἐπίμονα ὑπὸ τῶν δοκούντων εἶναι βιαιοτέρων βοηθημάτων, φιλεῖ μᾶλλον τὴν λύσιν

ἐπιδέ-

ἐπιδέχεσθαι. ταῦτα δὲ οὐκ ἔδει πράττειν ἐν τοῖς παροξυσμοῖς, ἀλλὰ μᾶλλον ἐν τοῖς διαλείμμασι, προφυλακῆς χάριν, ὥστε μὴ συγχωρεῖν ἔτι τοῦ πάθους πρὸς ὑπόμνησιν ἥκειν τὸν πάσχοντα.

Περὶ κινήσεως.

Καὶ ἡ κίνησις δὲ καὶ πᾶσα γυμνασία τὰ μεγάλα συμβάλλονται τοῖς κεχρονικόσιν ἐν τῇ τοιαύτῃ νόσῳ, καὶ συνεχέστερον ἀλγυσκομένοις, εἴτε διὰ ποδῶν, εἴτε διὰ ἵππου, εἴτε καὶ διὰ πλοῦ κινεῖν τὸ σῶμα βούλοιντο· καὶ παλαίστρα, καὶ ἀνάτριψις ὅλου τοῦ σώματος, καὶ τόπων μεταβολὴ, καὶ ἀποδημία μακρά. ταῦτα γὰρ πάντα λεπτύνει καὶ διαφορεῖ, καὶ τὸ πολὺ ἀπέριττον διατίθησιν, ἀναρρωννύντα τὴν ὅλην ἕξιν, ὡς τοῦ λοιποῦ μηκέτι τὰ πεπονθότα δύνασθαι ψυχρὸν ἀθροίζειν χυμόν. ἀλλὰ μηδὲ τὸν ἐξ ἑτέρου ἐπιρρέοντα, ἑτοίμως ἐπιδέχεσθαι πρὸς ἑαυτά.

Περὶ τῶν ἐπὶ πνεύμασι κωλικευομένων.

Ἁρμόζουσι μὲν οὖν καὶ τοῖς διὰ πλῆθος πνευμάτων ὀδυνωμένοις αἵ τε διὰ κέγχρων καὶ πιτύρων συμμέτρως πυρίαι προσφερόμεναι, καὶ τὰ συγκείμενα διὰ τῶν λεπτομερῶν καὶ θερμοτέρων ἐλαιῶν, ἐχόντων τι τῶν ἀφύσων φαρμάκων, ἤτοι σπερμάτων. ἐνεθέντος γὰρ τινος τούτων, εὐθὺς ἐκκρίνουσι πλῆθος πνευμάτων, καὶ παραυτὰ παύονται τῆς ὀδύνης. ὀνίνησι δὲ αὐτοὺς μάλιστα καὶ σικύα περὶ τὸν ὀμφαλὸν εὐμεγέθης τεθεῖσα, ὥστε θαυμάσαι τινὰς τὸ τάχος τῆς θεραπείας, μαγείᾳ τινὶ, καὶ οὐ λόγῳ τέχνης ἐπινοῆσαι τὴν ἀνωδυνίαν αὐτοῖς ἐπιγίνεσθαι. δῆλον δὲ ὅτι καὶ ἐπὶ τούτου τὴν θερμοτέραν προσήκει ἔτι μᾶλλον προτιμᾶν δίαιταν.

Περὶ τῶν δι' ἔμφραξιν σκληρᾶς κόπρου ὀδυνωμένων τὸ κῶλον.

Τοὺς δὲ δι' ἔμφραξιν σκληρᾶς κόπρου ὀδυνωμένους τὸ κῶλον, σπουδάζειν χρὴ μάλιστα πολλῷ τῷ ὑδρελαίῳ καὶ μελικράτῳ θεραπεύειν, καὶ ποτίζειν δὲ τοῖς αὐτοῖς. οὕτω γὰρ ὑγραινόμενον τὸ φθάσαν ξηρανθῆναι, καὶ σκληρωθῆναι σκύβαλον ὑπὸ τῆς συνεχοῦς τῶν ἐνεμάτων χρήσεως, ὀλισθαίνειν τε περὶ τὰ κάτω, καὶ ἐκκριθῆναι δυνήσεται. καὶ πᾶσα ὑγρὰ δίαιτα εὔδηλον ὅτι τούτοις συμφέρει, καὶ μάλιστα ἡ ὑπάγειν τὴν γαστέρα πεπιστευμένη. ἀλυπία τοίνυν βοτάνη συνεψομένη τοῖς λαχάνοις, ὁμοίως δὲ καὶ τὸ παρθένιον, θαυμαστῶς ὑπαχθῆναι τὴν γαστέρα παρασκευάζει, καὶ ὁ τοῦ παλαιοῦ ἀλεκτρυόνος ζωμός. χρὴ δὲ ἀναπτύξαντας αὐτοῦ τὴν γαστέρα, καὶ πληρώσαντας ἁλῶν, καὶ ἀνήθου κόμης ἕψειν, ἐμβάλλοντας ὕδατος πολλοῦ, καὶ ἐπὶ τοσοῦτον ἕψοντας, ἄχρις οὗ πάνυ διαλυθῇ καὶ καθεψηθῇ. εἰ δὲ καὶ ἑψήσεις αὐτῷ πολυπόδιον ὅσον Γο α΄, ἔτι μᾶλλον ὑπακτικώτερος ὁ ζωμὸς γενήσεται. εἰ δὲ καὶ οἴνου αὐτῷ προσπλέξεις ἢ οἰνομέλιτος, ἡδύτερον αὐτὸν ἐργάσῃ πολλῷ καὶ ὑπακτικώτερον. ἐπεὶ δέ τινες ἐχρήσαντο καὶ τῇ χαλκευτικῇ φύσῃ, καὶ καταποτίοις ἀπὸ μολύβδου γινομένοις· οὐδὲν γὰρ δυνηθέντες δρᾶσαι τι μέγα διὰ τῶν προσενεχθέντων ἀντιδότων καὶ ἐνεμάτων, ἀναγκαῖόν ἐστι καὶ περὶ τούτου ἡμᾶς εἰδέναι, * ὡς εἴ γε χωρὶς φλεγμονῆς προηγησαμένης, εἴη ψυχρὰν τὴν κωλικὴν καὶ εἰλεώδη διάθεσιν, συμφέρει τηνικαῦτα κεχρῆσθαι τῇ διὰ τοῦ ἀσκοῦ θεραπείᾳ. εἰ δὲ φλεγμονῆς προηγησαμένης ἐπίχυσις ἐγένετο, πρὸς τῷ μηδὲν ὠφελῆσαι, καὶ βλάψει τὰ μέγιστα. ἔστω δὲ ὁ τρόπος τῆς χρήσεως οὕτως, λαβὼν αὐλίσκον ἰατρικὸν, ἐφάρμοσον αὐτὸν τῇ χαλκευτικῇ φύσῃ, καὶ ὅταν οὕτω ποιήσῃς, διάστελλον αὐτὴν ἕως οὗ θεάσῃ πᾶσαν πληρωθεῖσαν πνεύματος. καὶ τότε λοιπὸν ὡς ἐπὶ ἐνετῆρος πέμπε τὸ πνεῦμα, συστείλας τὸν ἀσκόν. εἶτα μετὰ τοῦτο κλύ-

σον περὶ αὐτὰ δι' ὀλίγου νίτρου καὶ ὑδρελαίου. κενωθήσεται γὰρ ἅμα τῷ κλύσματι τὰ ἐν τῇ γαστρὶ καὶ τοῖς ἐντέροις περιεχόμενα πάντα, ὥστε θαυμάσαι, εἴτε κόπρος, εἴτε ὑγρὸν, εἴτε πνεῦμα φυσῶδες ἦν τὸ περιεχόμενον. ὡσαύτως καὶ τοῖς καταποτίοις τοῖς διὰ τοῦ μολύβδου κεχρῆσθαι· δεῖ δὲ μηδεμιᾶς οὔσης φλεγμονῆς, καὶ μάλιστα ἐν ἀρχῇ· παρεληλυθουσῶν γὰρ ἤδη τινῶν ἡμερῶν, καὶ χαυνώσεώς τινος φανείσης, καὶ πέψεως, οἶμαι, καὶ τὰ διὰ τοῦ μολύβδου καταπότια, καὶ τὰ διὰ τοῦ εὐφορβίου τηνικαῦτα δυνήσεται διαμεῖναι, καὶ τὴν ἔμφραξιν διαλῦσαι καλῶς.

Περὶ τῆς διὰ θερμοὺς καὶ χολώδεις χυμοὺς γινομένης κωλικῆς διαθέσεως.

Τοσαῦτα περὶ τῶν ἐπὶ πλήθει πνευμάτων διαλαβόντες, καὶ περὶ τῶν ἐπὶ ψυχροῖς καὶ παχέσι χυμοῖς ὀδυνωμένων τὸ κῶλον, ἤδη λοιπὸν ἀναγράφομεν καὶ περὶ τῶν ἐπὶ χολώδεσι καὶ δριμέσι χυμοῖς ἁλισκομένων τῷ πάθει τούτῳ, τὴν ἀρχὴν κἀνταῦθα τὸ πῶς χρὴ διαγινώσκειν αὐτοὺς, ποιησάμενοι. Διάγνωσις τῶν ἐπὶ θερμοῖς καὶ χολώδεσι χυμοῖς κωλικευομένων. Γνωρίσεις δὲ πάλιν τοὺς διὰ θερμοὺς καὶ χολώδεις καὶ δριμεῖς χυμοὺς κωλικευομένους, ἔκ τε τοῦ δάκνεσθαι δοκεῖν καὶ ἐκκαίεσθαι, καὶ τιτρῶσθαι τὰ ἔνδον, καὶ τὴν γλῶτταν ξηρὰν ἴσχειν, καὶ δίψαν, καὶ ἀγρυπνίαν. καὶ διὰ μιᾶς δὲ ὡς ἐπὶ τὸ πολὺ παροξύνεσθαι, καὶ τὸ οὖρον εἶναι δριμὺ, καὶ τὰ διὰ γαστρὸς ἐκκρινόμενα χολώδη, καὶ πολλὰ ὑπὸ τῶν ἐδεσμάτων τῶν θερμοτέρων, καὶ πομάτων, καὶ βοηθημάτων παροξύνεσθαι μᾶλλον, καὶ οὐκ ἄνευ πυρετοῦ διατελεῖν τοὺς πλείους αὐτῶν. τοιαῦτα μὲν οὖν τὰ γνωρίσματα τῆς ἐπὶ χολώδεσι καὶ θερμοῖς χυμοῖς γινομένης κωλικῆς διαθέσεως. θεραπεύειν οὖν χρὴ δηλονότι τοῖς ἐναντίοις τοῖς ψύχειν καὶ ὑγραίνειν δυναμένοις. Θεραπεία κωλικῆς διαθέσεως διὰ θερμοὺς καὶ χολώδεις χυμοὺς γινομένης. Πτισάνης τοίνυν χυλὸς αὐτοῖς ὠφελιμώτατος, καθ' ἑαυτὸν προσφερόμενος, μηδεμίαν ἔχων ἐπιμιξίαν ἢ πράσου, ἢ ἄλλων πλειόνων. ἐκεῖνος γὰρ ἄλλων, ἐμψύξαι τε τὸ θερμὸν, καὶ ἀποῤῥίψαι τὸ χολῶδες, εἴπερ τι καὶ ἄλλο δύναται, καὶ μάλιστα πλείων τε καὶ πολλάκις διδόμενος, καὶ τῶν ᾠῶν τῶν προσφάτως τεθέντων αἱ λέκυθοι προσφερόμεναι. Περὶ λαχάνων. Τῶν δὲ λαχάνων τούτοις ὠφελιμώτατα καὶ ἄνεφθα, καὶ ἑφθὰ προσφερόμενα, καὶ ἔτι πλέον αἱ μεγάλαι καὶ εὐθαλεῖς θριδακίναι * ψυχριασθεῖσαι καλῶς διδόμεναι. δεῖ δὲ διδόναι μάλιστα ταῦτα τοῖς ἀγρυπνοῦσι, καὶ θερμοτέραν ἔχουσι τὴν κρᾶσιν, καὶ ἀκμάζουσι τὴν ἡλικίαν. καὶ πᾶσαν δὲ ὀπώραν ψύχειν καὶ ὑγραίνειν δυναμένην προσφέρειν δεῖ τούτοις, μηδεμίαν ὑπονοοῦντας αὐτοῖς ἔσεσθαι βλάβην. τὴν μέντοι κολοκύνθην μόνην φοβεῖσθαι, διὰ τὸ φυσικὴν ἀντιπάθειαν αὐτὴν πρὸς τὸ κῶλον ἔχειν, ὡς ὑπὸ πάντων μαρτυρεῖται. ἐγὼ γοῦν οἶδα οὐ μόνον νεωτέρους, ἀλλὰ καὶ τοὺς τὴν πρεσβυτικὴν ἔχοντας ἡλικίαν, ἰαθέντας ἐν ὀλίγαις ἡμέραις ὑπὸ τῆς τοιαύτης διαίτης. καὶ ψυχρῷ δὲ ὕδατι χρησαμένους οἶδα, ἐφ' ὧν εὗρον ἐῤῥωμένην τὴν δύναμιν, ἀβλαβῆ τε τὰ κύρια μόρια, καὶ τελέως ἀποπαύσας τὴν ὀδύνην, καὶ τὴν ὅλην ἔτι συμβᾶσαν διάθεσιν κωλύσας, καὶ ταῦτα συνεχέσι παροξυσμοῖς ἁλισκομένου τοῦ πάσχοντος. ἐκεῖνοι δὲ μάλιστα τῶν καμνόντων ἔμειναν τοῦ λοιποῦ μηκέτι παροξυνόμενοι, ὅσοι πρὸς τὸ τοῦ οἴνου ἀπέχεσθαι, καὶ τῶν δριμέων ἁπάντων ἠνέσχοντο τοῦ λοιποῦ, καὶ ἐπέμειναν τῇ ὑδροποσίᾳ, καὶ τῇ ἐμψυχούσῃ διαίτῃ χρώμενοι. ἐφ' ὧν δὲ τὸ ψυχρὸν ἐφοβήθην δοῦναι, ἢ φλεγμονὴν ὑποπτεύσας εἶναι κυρίου μορίου, ἢ διὰ τὸ τὴν δύναμιν ἀσθενεῖν, ἐπὶ

τούτων

τούτων καὶ ῥόδινον οἶδα δεδωκὼς ψυχρανθὲν δαψιλές, διὰ τῶν κάτωθεν ἐνέσας, καὶ τὰ μέγιστα ὠφελήσας. προσέπλεξα δὲ καὶ στέαρ χλιαρὸν πολλάκις, καὶ εἶδον ὅτι ὠφέλησα. εἰ δὲ διὰ τὸ δριμὺ καὶ δακνῶδες ἀμέτρως τῆς χολῆς, καὶ ξυσματώδη διὰ τῆς γαστρὸς ἐκκρινόμενα καλῶς ποιεῖ, καὶ ὁ χυλὸς τῆς πτισάνης ἅμα χαμαιμήλῳ ἐνεθείς, καὶ τὰ πυρρὰ τῶν ᾠῶν, ἅμα ῥοδίνῳ ἐνιέμενα ἐπὶ τούτων. Περὶ ἰχθύων.

Τῶν δὲ ἰχθύων αὐτοῖς συμφέρει λαμβάνειν τοὺς σκληροτέραν ἔχοντας τὴν σάρκα, οἷον, κηρίδα, ὀρφόν, γλαῦκον, σκορπίον, καρίδα, * κόσκισα, σηπίας, τευθίδα. Περὶ ὀστρακοδέρμων. Τῶν δὲ ὀστρακοδέρμων κτένια, καὶ τὰ ὄστρεα, καὶ κοχλίας θαλασσίους. καλῶς δὲ καὶ ὁ ἐχῖνος αὐτοῖς ἐστι· πρὸς τῷ παρέχειν τὸ ἐπικεραστικὸν καὶ ἔμψυχον, ἔτι καὶ τὸ εὐστόμαχον κέκτηται), καὶ τὸ εὐκοίλιον, καὶ διουρητικόν, ὧν οὐδέν ἐστι κάλλιον. Περὶ κρεῶν. Τῶν δὲ κρεῶν μάλιστα διδόναι συμφέρει τὰ δυσκατέργαστα, οἷον, τῶν τε βοῶν τοὺς πόδας καὶ τὴν κοιλίαν, καὶ τῶν συῶν τὰς μήτρας, καὶ τοὺς ὄνυχας καλῶς ἑψηθέντας, καὶ ψυχρανθέντας. Περὶ ὀπωρῶν. Καὶ τῶν ὀπωρῶν δὲ τοὺς μηλοπέπονας δεῖ προτιμᾶν τῆς ἄλλης ἁπάσης ὀπώρας. πρὸς δὲ τὸ μὴ ἀνατρέπεσθαι τὸ στόμα τῆς γαστρός, μιγνύειν αὐτοῖς χρὴ ὀλίγου ὄξους ἐν τῷ μέλλειν προσφέρεσθαι. καὶ τὴν ἄλλην δὲ πᾶσαν ὀπώραν τὴν ἄφυσον καὶ γλυκεῖαν, οὐδὲν ἄτοπον ἡδονῆς χάριν αὐτοῖς λαμβάνειν συμμέτρως. τῶν δὲ πλακουντῶν, ἢ τραγημάτων οὐδὲν ὅλως προσφέρεσθαι δεῖ, τοῖς ὑπὸ χολῆς δακνομένοις, καὶ ὀδυνωμένοις τὸ κῶλον.

Περὶ λουτρῶν. Λουτρὰ δὲ τὰ ἀπὸ γλυκέων ὑδάτων παραλαμβανέσθωσαν, ἐπὶ τούτων, καὶ μάλιστα ἐπὶ τῶν ἀκμαζόντων τὴν ἡλικίαν, καὶ θερμοτέραν ἐχόντων τὴν κρᾶσιν. ἔστω δὲ καὶ ὁ ἀὴρ εὔκρατος, καὶ ἡ τοῦ θερμοῦ δεξαμενή. καὶ ἀλοιφῇ δὲ ἐχέσθωσαν, κατὰ μὲν τῶν πεπονθότων τόπων, χαμαιμήλῳ, ἐν δὲ τῷ ὅλῳ σώματι, τῷ ὑδρελαίῳ. φευγέτωσαν δὲ καὶ τὸ ἐπιπλάττειν νίτρῳ, ἢ σαμψύχῳ, ἢ ὅλως τινὶ τῶν δριμέων, ἢ θερμῶν, καὶ τὸ ἀνατρίβεσθαι τὰ πεπονθότα, καὶ πυριᾶν παραιτείσθωσαν, καὶ τὰ ἁλμυρὰ ὕδατα ἢ νιτρώδη, καὶ τὸ ὅλως προσπελάζειν τοῖς αὐτοφυέσι καλουμένοις ὕδασιν. ἀνιόντες δὲ ἀπὸ τοῦ βαλανείου, μὴ πινέτωσαν οἴνου παραχρῆμα. λαμβανέτωσαν δὲ χυλὸν πτισάνης ἢ εὐκράτου. ἐν δὲ τῷ μέσῳ τῆς τροφῆς εἰ βούλοιντο, καὶ τὸ καλούμενον ῥεκεντάτον πίνειν, ἐπιτρέπειν αὐτοῖς δεῖ, καὶ τὸ ψυχρὸν ὕδωρ αὐτό, καὶ ὠφελοῦνται πίνοντες. οἴνου δὲ εἰ καὶ παντελῶς ἀπέχεσθαι δυνατόν, καλὸν ἂν εἴη· εἰ δὲ μὴ βούλοιντο, διὰ τὸ μὴ δύνασθαι φέρειν τὴν παντελῆ τοῦ οἴνου ἀποχήν, συγχωρητέον αὐτοῖς τὸν λεπτὸν καὶ ὑδατώδη πίνειν οἶνον. Περὶ κινήσεως. Γυμνασίοις δὲ καὶ αἰώραις καὶ πάσῃ κινήσει κεχρήσθωσαν ἐν τοῖς διαλείμμασι μήτε πολλοῖς, μήτε συντόνοις. οὔτε γὰρ φέρουσιν, ἀλλ' εὐθὺς δύσκρατοί τε καὶ δριμύτεροι γίνονται, ἐπειδὰν ἐπὶ πλέον τοῖς γυμνασίοις χρήσωνται). ἀπεχέσθωσαν δὲ καὶ θυμοῦ, καὶ φροντίδος ἁπάσης, ὡς ἐνδέχεται, καὶ παντοίων κόπων. οὕτω γὰρ εὐκράτως διαιτώμενοι, καὶ ἐν εὐθυμίᾳ ἁπάσῃ διατελοῦντες, δυνήσονται διαφεύγειν τὴν ἀνιαρὰν καὶ ἐπώδυνον τοῦ κώλου ὀδύνην. Περὶ καθαρσίου. Εἰ δὲ καὶ δεήσει ποτὲ καθαρσίῳ ἡμᾶς χρήσασθαι ἐπὶ τῶν διὰ χολώδη, καὶ δριμὺν χυμὸν ὀδυνωμένων τὸ κῶλον, προσέχειν δεῖ, καὶ μηδὲν ἔτι τούτων προσφέρειν φάρμακον δριμύ τι ἔχον, οἷον εὐφορβίου, ἢ κνιδίου κόκκου, ἢ λαθυρίδων, ἢ ἐλλεβόρου. ταῦτα γὰρ ἅπαντα πρὸς τῷ μηδὲν ὠφελεῖν τούτους, ἔτι καὶ στρόφων καὶ δήξεως αἴτια γίνεται, καὶ χολῆς ἄλλης προσ-

θήκη. χρήσιμος οὖν ἐστιν ἐπὶ τούτων ἡ πικρὰ λεγομένη ἀντίδοτος. εἰ μὲν γὰρ ἡ τὴν ὀδύνην ἐπιφέρουσα καὶ δῆξιν χολὴ ἐμφαίνοιτό σοι προσαναπεπλασμένη περὶ τοὺς χιτῶνας αὐτῶν τῶν ἐντέρων, αὐτὴν καθ᾽ ἑαυτὴν ἐπιδιδόναι χρὴ τὴν πικρὰν αὖθις. εἰ δὲ μὴ μόνον ἀναπέπωται, ἀλλὰ καὶ περιέχεται, καὶ ἐξ ἑτέρων ἐπιρρεῖ πολλάκις, οὐ δεῖ καθ᾽ ἑαυτὴν ἐπιδιδόναι τότε τὴν ἀντίδοτον, ἀλλὰ προσαπλέκοντας αὐτῇ δακρυδίου κερ. β′, ἢ μικροῦ πλέον, ἢ ἔλαττον, οὕτως αὖθις καθαίρειν, καὶ τῇ θεοδορήτῳ προσμιγνύντας αὐτῇ τὸ δακρύδιον. εἰ δὲ θέρος εἴη, καὶ ῥοδομήλιτι, ἢ ῥοδομήλῳ προσαναπλέκοντας, ἢ ὑδροροσάτῳ οὕτω καθαίρειν αὖθις χρή. πλεῖον γὰρ ὠφελοῦνται, οὐ μόνον κουφιζόμενοι τῆς ὀχλούσης ὀδύνης, ἀλλὰ καὶ τελέως φυγόντες τὴν ὅλην διάθεσιν.

Περὶ τῶν ἐπὶ φλεγμονῇ τῶν ἐντέρων κωλικευομένων.

Εἰ δὲ συμβῇ γενέσθαι τὴν κωλικὴν διάθεσιν ἐπὶ φλεγμονῇ τοῦ ἐντέρου, μηδὲ ὅλως ἐπιδοῦναι τολμήσῃς τὸ καθάρσιον ἐπὶ τούτων, καὶ μάλιστα ἐν ἀρχῇ, καὶ μηδέπω εἰς πέψιν ἐλθούσης τῆς φλεγμονῆς. ὅσοι γὰρ ἐτόλμησαν ἐπιδοῦναι τῶν ὑπηλάτων, κινδύνων αἴτιοι καὶ θανάτων ἐγένοντο τοῖς κάμνουσι. συμβαίνει γὰρ τὸ δοθὲν φάρμακον ἐκ τῶν ἀπαθῶν ἑλκῦσαι, καὶ τοῖς πάσχουσιν ἐπιπέμψαι μορίοις. τούτων δὲ μὴ δυναμένων ἀπωθῆσαι τὸ ἐνεχθὲν, τήν τε ὀδύνην ἐπιταθῆναι, καὶ τὰς ἀγρυπνίας, καὶ τοὺς στρόφους· τῶν ἀπολύτων ἐπιτιθεμένων, εἰς τὸ εἰλεῶδες ἀνάγκη πεσεῖν. οὐδὲ γὰρ ἄλλο τί ἐστιν ὁ εἰλεὸς, ἢ ἐπίτασις τῆς κωλικῆς διαθέσεως. διὰ τοῦτο γὰρ οὖν οὐ δεῖ καθάρσιον ἐπιδιδόναι τοῖς ἔχουσι φλεγμονήν. φλεβοτομίαν δὲ παραλαμβάνειν ἐξ ὅλου τοῦ σώματος, καὶ μετὰ μικρὸν ποιεῖσθαι τὴν κένωσιν. οὐδὲ γὰρ ἡ ἀθρόα κένωσις τοσοῦτον ὠφελεῖν οἶδεν, ὅσον ἡ κατὰ μικρὸν γινομένη. εἰ δὲ ἐπισχεθῆναι συμβῇ διὰ τὸ μέγεθος τῆς φλεγμονῆς, καὶ τὰ οὖρα, καὶ τὴν ἐν τῷ σφυρῷ καὶ περὶ τὸν ταρσὸν, οὐδὲν ἄτοπον τέμνειν φλέβα. πολλάκις γὰρ οὕτως ἡμῶν πραξάντων, καὶ ἡ τῆς γαστρὸς ἔκκρισις, καὶ ἡ τῶν οὔρων ἐγένετο. τροφῇ δὲ ἐπὶ τούτων δεῖ κεχρῆσθαι, χυλῷ πτισάνης ἢ βρόμῳ, τούτοις συμμέτρως, εὔδηλόν ἐστι. καὶ ἔνεμα δὲ τούτοις ἀπὸ χυλοῦ πτισάνης, καὶ χαμαιμήλου, καὶ χυλοῦ λινοσπέρμου, καὶ ὑδρελαίου μάλιστα, εἰ καὶ σφοδρὸς εἴη ὁ πυρετός· ἀδύνατον γὰρ φλεγμαίνοντος τοῦ κώλου, μὴ πυρετὸν ἐπιγίνεσθαι. καὶ τὰ ἔξωθεν ἐπιτιθέμενα ἔστωσαν εὔκρατα, μηδὲν ἔχοντα δριμὺ, ἐξ ὧν ἐστι καὶ τὸ χαμαιμήλινον ἔλαιον, καὶ τὰ διὰ τοῦ κριθίνου καὶ λινοσπέρμου ἐπιρρίμματα, καὶ κηρωταὶ ὁμοίως αἱ διὰ χαμαιμηλίνου, καὶ κηροῦ, καὶ ῥοδίνου, καὶ κρόκων ὠῶν ἔχουσαι τὴν σύνθεσιν. γινέσθω δὲ ἡ συσταθμία τοιάδε, κηροῦ ℥ ε′, χαμαιμήλου ℥ β′ S″, φαβαΐνου ἀλεύρου ℥ γ′ S″, ῥοδίνου ℥ β′ S″, κρόκους ὠῶν ε′, ἢ ϛ′, χυλοῦ λινοσπέρμου τὸ ἀρκοῦν, λειούσθω τὰ ὠὰ καὶ τὸ ἄλευρον, καὶ τότε ψυχθεῖσα ἡ κηρωτὴ ἐπιβαλλέσθω, καὶ λειούσθωσαν ἅπαντα, ἕως οὗ συμπλακῶσιν ἀλλήλοις, καὶ ἓν εἶδος δείξωσι. τοῦτο καὶ νεφροῖς καὶ κύστει φλεγμαινούσῃ βοηθεῖν δύναται καλῶς.

Περὶ λουτρῶν. Λουτρὰ μὲν οὖν συνεχῆ πρὶν ἢ ἀπέριττον γενέσθαι τὸ ὅλον σῶμα, παραλαμβάνειν οὐ δεῖ. μετὰ δὲ τὴν τῆς φλεβοτομίας κένωσιν, εἰ καὶ τὰ τῆς ὀδύνης ἐπάγει, οὐδὲν ἄτοπόν ἐστι τῷ βαλανείῳ κεχρῆσθαι. εἰ δὲ τὰ τῆς δυνάμεως ἀντιπράττει, καὶ εἰς τὴν καλουμένην αὐτοὺς ἐμβιβαστέον σκάφην, ὑπαλείφοντας ἐλαίῳ χαμαιμηλίνῳ. οὐκ δὲ τῆς μὲν φλεγμονῆς ζεούσης ἔτι, καὶ τῶν πυρετῶν ἐπικρατούντων, ἀπεχέσθωσαν. πέψεως δὲ ση-

μείων φανέντων, ἐὰν καὶ τὰ τῆς δυνάμεως ἀσθενῆ σοι φανείη, οὐδὲν ἄτοπον αὐτοῖς τὸν λεπτὸν καὶ ὑδατώδη οἶνον προσφέρεσθαι. οἶδα μὲν οὖν ὅτι ταῖς εἰρημέναις μεθόδοις χρώμενός τις οὐ μὴ δεηθῇ τινος ἔξωθεν ἄλλης ἐπικουρείας. ἀλλ' ἐπειδὴ τῶν περιοδευομένων πολλοὶ, καὶ μάλιστα τῶν πλουσίων, οὔτε πίνειν ὅλως θέλουσι φάρμακον, οὔτε κλύσμασι θεραπεύειν τὴν γαστέρα, διὰ δὲ τῶν περιάπτων φυσικῶν ἀναγκάζουσιν ἡμᾶς ἀποπαύειν αὐτῶν τὴν ὀδύνην, ἐσπούδασα καὶ περὶ τούτων ἐκθέσθαι ὑμῖν, ὧν τε αὐτὸς ἔσχον πεῖραν, καὶ ὅσα παρὰ φίλων ἀληθινῶν ἔγνων ὠφελεῖν δύνασθαι. καὶ τοὺς ἀρίστους δὲ τῶν παλαιῶν εὕρομεν μαρτυρήσαντας, ὅπως μηδὲ ἡ τέχνη ἄπειρος εἶναι νομισθείη καὶ ἀσυμπαθής, μήτε οἱ περιοδεύοντες, ἀφιλόκαλοί τε καὶ ἀσυμπαθεῖς εἶναι δόξωσιν, ὡς ἀγνοοῦντες τὰ τῆς φύσεως ἀσυμπαθῆ τε καὶ συμπαθῆ. Περίαπτα φυσικὰ πρὸς τοὺς κωλικὴν ἔχοντας διάθεσιν. Περίαπτον ἀδιάπτωτον, οὗ καὶ ἡμεῖς ἔσχομεν πεῖραν, καὶ πάντες δὲ ὀλίγου δεῖν ἄριστοι τῶν ἰατρῶν εὐδοκίμησε. λαβὼν ἀφόδευμα λύκου, εἰ δυνατὸν, ἔχον ὀστάρια, κατάκλεισον εἰς σωληνάριον. καὶ δὸς φορεῖν περὶ τὸν δεξιὸν βραχίονα, ἢ μηρὸν, ἢ ὀσφὺν ἐν τῷ παροξυσμῷ, κατὰ τὸ διαγνοῦντος μέρεσι φυλασσόμενος, ὡς μήτε τῆς γῆς, μήτε λουτροῦ θιγεῖν. Ἄλλο καὶ αὐτὸ διὰ πείρας. Κορυδαλὸς ἐσθιόμενος, τὸ αὐτὸ ποιεῖ καλῶς. οἱ δὲ θρᾶκες ἔτι ζῶντος τοῦ κορυδαλοῦ, ἐξαιροῦντες τὴν καρδίαν, περίαπτον ποιοῦσιν, ἐν τῷ μηρῷ τῷ ἀριστερῷ περιθέντες αὐτό. Ἄλλο φυσικὸν δεδοκιμασμένον. Χοίρου λαβὼν ἐκ τοῦ τυφλοῦ ἐντέρου τὸ μαλθοειδὲς * σμυρνιάσας καὶ ἐνδύσας δέρματι λυκίῳ, ἢ κυνίῳ, δίδου φορεῖν ἐν ἀποκρούσει σελήνης, καὶ θαυμάσεις. Ἄλλο περίαπτον. Εἰς λίθον μηδικὸν γλύψον ἡρακλέα ὀρθὸν πνίγοντα λέοντα, καὶ ἐγκλείσας εἰς δακτυλίδιον χρυσοῦν, δίδου φορεῖν. Τὸ αὐτὸ πάλιν. Κορυδαλὸς καιόμενος καὶ λειούμενος, καὶ διδόμενος ὅσον κοχλιάριον β' ἢ γ', προπομπιζόμενος ἐπὶ ἡμέρας γ' ἢ δ', ποιεῖ πάνυ πρὸς κωλικὰς διαθέσεις. Ἄλλο λίαν δραστικόν. Παιδίου ὀλίγον ἐκτμηθέντος ὀμφαλοῦ, εἰς ἀργυροῦν ἢ χρυσοῦν ἔγκλεισον μετὰ ἁλὸς ὀλίγου. ὁ φορῶν τὸ περίαπτον τοῦτο, ἄπονος ἔσται εἰς τὸ παντελές. Ἄλλο. Αἴγλον ἢ πτερὸν καύσας λείωσον, καὶ δὸς πιεῖν μετ' οἴνου· πάνυ βοηθεῖ αὐτοῖς. Δακτύλιος πρὸς τὸ αὐτό. Λαβὼν δακτύλιον σιδηροῦν, ποίησον γενέσθαι τὸ κρικέλλιον αὐτοῦ ὀκτάγωνον, καὶ οὕτως ἐπίγραφε εἰς τὸ ὀκτάγωνον * φεῦγε φεῦγε ἰοῦ χολὴ, ἡ κορύδαλος ἐζήτει. τὸν δὲ χαρακτῆρα τὸν ὑποκείμενον γράφε εἰς τὴν κεφαλὴν τοῦ δακτυλίου, [symbol]. τούτου πολλὴν ἔσχον πεῖραν, καὶ ἄτοπον ἐνόμισα μὴ παραδοῦναι τηλικαύτην ἀντιπαθῶς ἔχουσαν πρὸς τὸ πάθος δύναμιν. ἀλλὰ παρακαλῶ ὑμᾶς μὴ πρὸς τοὺς τυχόντας ἐμφαίνειν τὰ τοιαῦτα, πρὸς δὲ τοὺς φιλαρέτους, καὶ τὰ τοιαῦτα δυναμένους φυλάττειν, ὅθεν καὶ ὁ θειότατος ἰδὼν ἱπποκράτης, παρακελεύεται λέγων, » τὰ δὲ ἱερὰ ἐόντα πρήγματα, ἱεροῖσιν » ἀνθρώποισι δείκνυται· βεβήλοισι δὲ οὐ θέμις. γινέσθω δὲ ὁ προϋποτυπωθεὶς δακτύλιος ιζ' τῆς σελήνης ἢ κα'. Ἄλλο φυσικὸν ποιοῦν πρὸς κῶλον, διὰ πείρας. Λαβὼν λύκου ἀφόδευμα, τρίψας χνοωδέστατον πάνυ καὶ σήσας, δίδου τῷ κάμνοντι εἰς ὕδωρ θερμὸν κοχλιαρίου τὸ ϛ'.

Κεφάλαια τοῦ δεκάτου βιβλίου.

ΑΛΕ-

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

Περὶ δυσεντερίας. α'



Υσεντερικοὺς ἐκείνους εἰώθασιν οἱ παλαιοὶ καλεῖν, ἐφ' ὧν οὐδὲ ἡ γαστήρ ἐστι τὸ πεπονθός, οὐδὲ ἄλλο τι μόριον, ὅπερ τὴν διάθεσιν ταύτην ἐργάζεται, ἀλλ' αὐτῶν μόνων ἐστὶ τῶν ἐντέρων ἕλκωσις, ἥτις ἀμελουμένη, καὶ νομὴν, ἔσθ' ὅτε καὶ σῆψιν ἀποτελεῖν πέφυκε, καὶ κίνδυνον ἀπωλείας ἐπιφέρειν τῷ κάμνοντι. περὶ ποῖα δὲ μέρη τούτων τὸ νόσημα γέγονε πρότερον ἀκριβῶς διαγνόντας, οὕτως ἐπὶ τὴν κατάλληλον τοῦ πάθους θεραπείαν ἰέναι προσήκει. οὐ μικρὰ γάρ τις διαφορὰ, καὶ τὰ λεπτὰ τῶν ἐντέρων τὴν ἕλκωσιν ἔχειν, ἢ τὰ παχέα. τῶν γὰρ ὑψηλοτέρων πασχόντων, ἡ διὰ στόματος ἐπιτηδειοτέρα μᾶλλον θεραπεία· καθάπερ πάλιν τῶν ταπεινοτέρων, ἢ εἰ περὶ τὸ ἀπευθυσμένον συμβῇ γενέσθαι τὴν βλάβην, ἡ διὰ τῶν ἐνιεμένων καὶ ὑποτιθεμένων φαρμάκων ἁρμόδιος ὑπάρχει θεραπεία. προτέρας οὖν ἀρξόμεθα τῆς διαγνώσεως. ὁ γὰρ ἄριστα διαγνοὺς ἄριστα θεραπεύει.

Διάγνωσις τοῦ εἶναι ἐν τοῖς παχέσιν ἐντέροις τὴν ἕλκωσιν. Τῶν ἕλκωσιν τῶν παχέων ἐντέρων ἐχόντων σημεῖα γίνονται τάδε, δήξεις περὶ τοὺς κάτω τόπους καὶ τεινεσμοί. ἅμα δὲ τούτοις παρακολουθεῖ ἔκκρισις. οὐδαμῶς γὰρ ἐν τοῖς διαχωρήμασιν ἐπὶ τούτων ἀναμέμικται ξύσματά τε καὶ αἷμα. ἐπάνω δὲ τῆς κόπρου οἱ σταγόνες μᾶλλον τοῦ αἵματος, καὶ τῶν ἐντέρων ἐπιφέρεται ἡ φυσικὴ πιμελή. προσέτι δὲ καὶ σαρκώδη τὰ ἐκκρινόμενα φαίνεται, διότι καὶ ἡ κατασκευὴ τῶν ἐντέρων οὐ λεπτὴ καὶ ὑμενώδης, ἀλλὰ σαρκωδεστέρα μᾶλλον ὑπὸ τῆς φύσεως γέγονε. κατάδηλος δὲ καὶ τὸ μέγεθος τῆς ὀδύνης. καὶ αὐτὸ γὰρ μέγα σοι συμβάλλεται πρὸς τὴν διάγνωσιν. ἀμβλυτέρα γὰρ καὶ οὐκ ὀξεῖα τοῖς τὰ παχέα πάσχουσι τῶν ἐντέρων ὑπάρχει. Διάγνωσις τῶν ὑψηλῶν πασχόντων ἐντέρων. Ἐπὶ δὲ τῶν λεπτῶν, τὰ ἐναντία τούτων ὡς ἐπὶ τὸ πολὺ συμβαίνει γίνεσθαι. τῆς γὰρ δήξεως γινομένης, οὐκ εὐθέως, ἀλλὰ μετά τινας ὥρας ἐπὶ τὴν ἔκκρισιν ὁ κάμνων ἐπείγεται. προσέτι δὲ καὶ τὸ τοῦ τραύματος αἷμα ἀναμεμίχθαι τοῖς διαχωρήμασι, καὶ τὸ τὴν ὀδύνην μᾶλλον ὀξυτέραν ὑπάρχειν, καὶ τὸ μήτε πιμελώδη μήτε σαρκώδη τὰ προχωρούμενα φαίνεσθαι, ἀλλὰ λεπτὰ καὶ ὑμενώδη τοῖς κατανοοῦσιν ἀκριβῶς ὁρᾶσθαι.

Περὶ τοῦ εἶναι ἐν τοῖς μέσοις τῶν ἐντέρων τὴν ἕλκωσιν. Ὅταν δὲ μηδὲ ἀναμεμιγμένα πάνυ φαίνηται τὰ διαχωρήματα τοῖς ἀπὸ ἕλκους φερομένοις, μήτε πάνυ τι διακεκριμένα, στοχάζεσθαι μᾶλλον ἐν τοῖς μέσοις ἐντέροις εἶναι τὴν διάθεσιν. ὁμοίως δὲ καὶ ἐκ τοῦ χρόνου τῆς ἐκκρίσεως, πόνου, ἐὰν μὴ μετὰ τὴν δῆξιν εὐθέως, μήτε διὰ πλήθους ὡρῶν ἐπὶ τὴν διαχώρησιν ὁ νοσῶν ἐξανίσταται· μήτε τὴν ὀδύνην σφοδρὰν ἄγαν, ἢ πάλιν ἀνεπαίσθητον εἶναι, διαγνωστέον οὖσαν μέσων μᾶλλον τῶν ἐντέρων τὴν ἕλκωσιν. τούτων οὕτως ἐχόντων, λοιπὸν ὅπως δεῖ ποιεῖσθαι τὴν θεραπείαν γράφομεν. ἀλλὰ δεῖ σκοπεῖν ἄρα γε κατὰ προσπάθειαν αὐτοῦ τοῦ ἐντέρου

ὑπομείναντος τὴν ἕλκωσιν ἡ δὲ διάθεσις γέγονεν, ἢ διὰ συμπάθειαν ἑτέρου μορίου πεπονθότος. συμβαίνει γὰρ καὶ ἐκ τοῦ ἥπατος φέρεσθαι πολλάκις, ἢ διὰ σύντηξιν, ἢ διὰ πλεονασμὸν κακοχυμίας ἀπωθουμένης τῆς φύσεως. ἐφ' ὧν οὐ δεῖ φάρμακα παρέχειν τοῖς κάμνουσι, σπεύδοντας κωλύειν τὰ παρὰ τῆς διοικούσης ἡμᾶς δυνάμεως καλῶς γινόμενα. σημεῖον δὲ τούτου, τὸ καὶ τῆς ἐκκρίσεως γινομένης, ἑαυτοῦ ῥωμαλεωτέρου * τοῦ κάμνοντος αἰσθάνεσθαι, καὶ τοῦ βουλομένου ἰατροῦ ἐπέχειν τὰ διαχωρούμενα, σπουδάζοντος μὲν πρὸς ὀλίγον ἀλῦσαι, πάλιν δὲ οὐ μετὰ πολὺ διπλασιώτερα μᾶλλον καταῤῥεῖ τὰ ἐκκρινόμενα. διὸ δεῖ πλέον ἐπαμύνειν τῇ φύσει ἐπὶ τῶν τοιούτων διαθέσεων. ἐὰν γὰρ διὰ πλῆθος τὸ τοιοῦτον γίνηται, τηνικαῦτα καὶ φλεβοτομίαν παραλαμβάνειν οὐκ ἄτοπον, ἔσθ' ὅτε δὲ καὶ κάθαρσιν. καὶ ἡ μὲν τοῦ αἵματος κένωσις κατὰ βραχὺ παραλαμβανέσθω, καὶ μήτε ἀθρόως μήτε πολὺ τὸ κενούμενον ἔστω, ἵνα μὴ ἐκ τούτου τὴν τοῦ κάμνοντος δύναμιν ἀσθενεστέραν ἀποτελέσωμεν. ὁμοίως δὲ καὶ τὴν κάθαρσιν μὴ ἀθρόαν, ἀλλὰ καὶ αὐτὴν κατ' ὀλίγον ποιησόμεθα. πρὸς οὖν τὸ τοιοῦτον ἐπιτήδειος ἡ θεοδώρητος, ἱκανὴ καὶ ἰᾶσαι, καὶ ἐκφράξαι τὸν κάμνοντα, ἔχουσα ℱ δ' ἢ ς', πλέον ἢ ἔλαττον, πρὸς τὴν τοῦ κάμνοντος δύναμιν, τὸ πλῆθος θεωροῦντας, καί ποτε μὲν καθ' ἑαυτὴν, ἄλλοτε δὲ μετὰ δακρυδίου κε ς' ἢ ζ', κἀνταῦθα πάλιν πρὸς τὴν ἰσχὺν ἀποβλέποντας τοῦ νοσοῦντος, οὕτω καὶ τὴν μίξιν τοῦ καθαρσίου δεῖ ποιεῖσθαι. πρὸς δὲ τούτοις καὶ ἡ ἀλόη καλῶς πλυθεῖσα, καλῶς ποιεῖν πάνυ πεπίστευται, καὶ μάλιστα ἐφ' ὧν ῥῶσαι τὸ ἧπαρ βουλόμεθα. συμβαίνει γὰρ ἀσθενοῦντος καὶ τοῦ μορίου τούτου, ἢ φλεγμαίνοντος, τὴν διάθεσιν ταύτην γίνεσθαι, καθάπερ καὶ σπληνὸς, καὶ κοιλίας, καὶ μεσαραϊκῶν φλεβῶν τοιαῦτα παθόντων τὴν δυσεντερίαν ἀπεργάζεσθαι. δεῖ οὖν, ὡς εἰρήκαμεν, διαγνόντας ἀκριβῶς πρότερον, εἰ κατὰ συμπάθειαν ἡ διάθεσις γέγονεν, εἶθ' οὕτω τὴν κατάλληλον ἴασιν ἐργάζεσθαι.

Ἐὰν περὶ τὸ ἀπευθυσμένον εἴη τὸ ἕλκος γεγονὸς, τί ποιητέον. Ἕλκους συστάντος περὶ τὸ ἀπευθυσμένον ἔντερον ἐκ δριμέων καὶ χολωδῶν περιττωμάτων, ἢ πεμφθέντων ἐξ ἑτέρων μορίων, ἢ περὶ αὐτὸ τὸ ἔντερον ἀναπεμπομένων, ἀνάγκη πάντως τεινεσμοὺς ἐπακολουθεῖν, καὶ συνεχεῖς ἐξαναστάσεις, χωρὶς κόπρου, ξυσματωδῶν ἢ αἱματωδῶν τῶν διαχωρημάτων ὑπαρχόντων. θεραπεύειν οὖν προσήκει τὸν τοιοῦτον ὑγραινούσῃ μᾶλλον διαίτῃ, τουτέστιν ἐν μὲν λαχάνοις, ἴντυβον ἔστω τε καὶ μαλάχη. δεῖ γὰρ εὔλυτον ἔχειν τὴν γαστέρα τούτων, ἵνα τὸ κόπριον ἀκωλύτως διεξιὸν, ὥσπέρ τι φάρμακον ἀγαθὸν, ὑποξηραίνειν καὶ καθαίρειν τὰ ἕλκη δυνήσηται. σπουδάζειν οὖν δεῖ, μήτε πάνυ δριμὺ μήτε σκληρὸν εἶναι τὸ διαχώρημα, καὶ πόματα τοιαῦτα προσάγειν δεῖ καὶ χυλίσματα ἐπὶ τῶν τοιούτων διαθέσεων, ὡς πανταχόθεν εὔλυτον εἶναι τὴν γαστέρα. οἶδα γάρ τινας δαμάσκηνα φαγόντας πλείονα, καὶ τελείως ἀποθεραπευθέντας, ἀβιάστως αὖθις τῆς κόπρου διαχωρηθείσης. καὶ ἄλλους δὲ σταφυλαῖς παμπόλλαις χρησαμένους. ἀλλὰ χρὴ προσέχειν ἀσφαλῶς. οὐ γὰρ δεῖ τῆς γαστρὸς προχωρούσης δεόντως, τὰ φθείροντα παρέχειν, ἀλλὰ μέσῃ κεχρῆσθαι διαίτῃ. τοιοῦτον δέ ἐστι τὸ ἴντυβον, καὶ ἄνεφθον καὶ ἑφθὸν ἐσθιόμενον, εἰ καὶ μάλιστα πυρέττοιεν, καὶ ἄρτος εἰς εὔκρατον ἢ ὑδαρέστερον ἄγαν οἶνον, ἐὰν τὰ τῆς δυνάμεως ἀσθενέστατα δόξῃ φαίνεσθαι. λεκύθοις δὲ μήτε πάνυ ἁπαλαῖς ἢ σκληραῖς, καὶ ἀποζέματος. μετὰ δὲ τὰς πρώτας ἡμέρας, καὶ χοίρειοι πόδες ἐπιτήδειοι, μετὰ τρωξίμων ἢ ἰντύ-

βων,

βων, ἢ κράμβης διέφθου, ἢ ἰτείου λεπτοῦ, ἢ ἄγνυκος καλῶς ἑψηθέντος. ὁπηνίκα δὲ καὶ τῶν διαχωρουμένων ὑγροτέρων αἰσθανόμεθα, ἢ σικύου λαβεῖν αὐτοῖς ἐπιτρέπου, ἢ ἀπὸ τῆς ὄρνιθος ἐκτὸς ἄλλων πλειόνων, ἢ γάρου. εἰ δέ τις εἴη πολλὴ θερμασία, καὶ ἀκμάζων τὴν κρᾶσιν, τηνικαῦτα καὶ τὸν ἀπὸ ἰχθύος ἰσικὸν αὐτῷ δοτέον. ὠφελήσει γὰρ πλέον. ἔστω δὲ μᾶλλον ἀπὸ σκληροσάρκων ἰχθύων τὸ ἔντερον, οἷον, ὄρφου, ἢ γλαύκου, ἢ κηρίδος. δεῖ δὲ τὰ διαχωρήματα πᾶσιν ἐπιτήδεια φυλάττειν, παχύνοντα τὸ ἐπιῤῥέον, καὶ ἀμβλύτερον ἀπεργαζόμενα. ἔξωθεν δὲ κεχρῆσθαι δεῖ τῷ κρινίνῳ, καὶ μάλιστα διατάσεως περὶ τὸ ὑπογάστριον οὔσης πνευμάτων, καὶ ῥευματισμοῦ τινος τῶν διαχωρημάτων μὴ πάνυ χολωδῶν ἢ δριμέων ὑπαρχόντων. εἶναι δὲ δεῖ τὸ ἔλαιον τοῦτο μὴ πάνυ παλαιόν. εἰ δὲ εἴη, περιαπλεκέσθω τούτῳ * ἢ οἶνος εὐώδης λεπτός. ὁμοίως δὲ καὶ τὸν στόμαχον οἴνῳ μηλίνῳ καταβρεκτέον. κεχρῆσθω δὲ μάλιστα κατ' ἀρχὰς συνεχεστέρῳ λουτρῷ, καὶ τῇ ἐμβάσει θερμοτέρᾳ μᾶλλον εἰ ψυχροποσία τις εἴη προηγησαμένη, καὶ ψυχρῶν ἐδεσμάτων προσφορά, καὶ φλέγματος ὑπόνοια εἴη. τούτου γὰρ συμβάντος, μικρὰ δεῖ ῥέπειν ἐπὶ τὸ θερμότερον, καὶ οἴνου παρέχειν σαρεφθίνου, ἢ τυρίου, ἢ τῶν ἐν καμπανίᾳ γινομένων οἴνων, βελιανοῦ, ἢ παλμαλιανοῦ. μὴ ἐξαπατάτω δέ σε καθάπερ τοὺς πολλοὺς οἰομένους εἶναι τὰ διαχωρούμενα φλέγματα. πολλάκις γὰρ τὰ τοιαῦτα παρεχωρεῖ, ποτὲ μὲν ὑπὸ ξύσεως, ἄλλοτε δὲ ὑπὸ δριμύτητος ἀναξυούσης τὸ γάνωμα τῶν ἐντέρων. καὶ καλοῦσι τὸ τοιοῦτον ἀγνοοῦντες, φλέγμα καὶ ψυχρὸν χυμόν, οἵτινες εἰκότως ἀπατώμενοι περὶ τὴν διάγνωσιν, καὶ θερμοτέροις ἀναγκάζουσι κεχρῆσθαι μᾶλλον ἐδέσμασι τὸν κάμνοντα, καὶ συμβαίνει μᾶλλον διὰ τὴν κακὴν τῶν ἰατρευόντων ἀγωγὴν ἐπὶ πλέον ἀναξύεσθαί τε καὶ ἑλκοῦσθαι τὸ ἔντερον. διὰ τοῦτο χρὴ μὴ μόνον ἀπὸ τῶν ἐκκρινομένων, ἀλλὰ καὶ ἀπὸ τῆς προηγησαμένης διαίτης καὶ φύσεως τοῦ κάμνοντος, ἀκριβῶς διαγνώσῃ, ὅ τι πιμελῶδες ἐκκρίνεται ταῖς ἀληθείαις, ἢ ὑπὸ ξύσεως, οὕτω καὶ αὐτὸς τὴν ὅλην ποιοῦ δίαιταν, ποτὲ μὲν ἐπὶ τὸ θερμότερον, ἄλλοτε δὲ ἐπὶ τὸ ψυχρότερον μεταβάλλων τὰ προσαγόμενα. ταῦτα περὶ διαίτης εἰρήσθω μόνον ἁρμόζειν δυναμένης ἐπὶ τῶν ἐχόντων ἕλκωσιν, οὐ μόνον ἐπὶ τοῦ ἀπευθυσμένου ἐντέρου, ἀλλὰ καὶ ἐπὶ πάσης δυσεντερίας. Ποίοις ἐνέμασι χρηστέον ἐπὶ τῶν τὸ ἀπευθυσμένον πασχόντων. Εἰ μὲν νεαρὸν εἴη τὸ ἕλκος καὶ καθάρσεως δεόμενον, κλύζειν δεῖ μελικράτῳ μόνῳ. εἰ δέ τις εἴη ὑπόνοια ῥευματισμοῦ, περιαπλεκέσθω τῷ ὕδατι φακὴ καὶ ῥόδα, καὶ βάτου ῥίζα, καὶ οὕτω κλυζέσθω. καθαροῦ δὲ τοῦ ἕλκους γινομένου, τοῖς ἁπλουστέροις κέχρησο, πρῶτον, οἷον, ἀμύλῳ καὶ τῇ λημνίᾳ σφραγῖδι, καὶ τῷ χυλῷ τῆς ὀρύζης. εἰ δὲ τὸ ἕλκος ἐπιῤῥεόμενον φαίνοιτο, ἐπιμιγνύσθω τῷ ἀμύλῳ καὶ ἀκακία μετὰ οἴνου βραχεῖσα, καὶ τοῦ χυλοῦ τοῦ ἀρνογλώσσου. καλῶς δὲ ποιεῖ καὶ ὁ σάμιος ἀστὴρ ἐπὶ τῶν τοιούτων. εἰ δὲ χρεία σαρκώσεως, προσβαλλέσθω καὶ ὁ λιβανωτός. τοῦτο γὰρ κάλλιστον βοήθημα, σαρκῶσαι καὶ εἰς οὐλὴν τὰ ἕλκη παραγαγεῖν δυνάμενον. ἔχει δὲ τὴν σύνθεσιν οὕτω, λημνίας σφραγῖδος, γῆς σαμίας, πομφόλυγος, ἀκακίας, λιβανωτοῦ, κόμμεως ἀνὰ γο α', λειώσας οἴνῳ παράπεμπε κρᾶσιν μίαν. ποιεῖ γὰρ καλῶς. Ὑποθετὰ κάλλιστα πολλὴν ἡμῖν πεῖραν δεδωκότα. Ἐφ' ὧν δὲ συνεχεῖς ἐξαναστάσεις, καὶ ἀγρυπνία πολλή, ὡς καὶ διὰ τοῦτο τὴν δύναμιν ἀποκάμνειν, καλῶς ποιοῦσι καὶ τὰ ὑποθετὰ καλούμενα, ὧν εἰσι καὶ ταῦτα πολλὴν πάνυ δεδωκότα πεῖραν. ἔχει δὲ τούτων ἡ γραφὴ οὕτω,

κρόκου, λιβάνου, σμύρνης, γλαυκίου ἀνὰ ℥ α΄, ἀκακίας ℥ β΄, οἴνου δὲ ἀρκοῦν εἰς τὴν λείωσιν, ποιήσας κολλούρια στροβιλίοις παραπλήσια, μικρὸν ὑπομηκέστερα, εὐφυῶς παράτιθει. Ἄλλο ὑποθετὸν, ὃ καὶ κλειδίον ὀνομάζεται, ποιοῦν πρὸς τεινεσμοὺς, καὶ ῥευματισμοὺς κοιλίας. ἀνωδύνους γὰρ ποιεῖ ἅμα τῷ προστεθῆναι, ὕπνον ἡδὺν ἐπάγον. Σμύρνης τρωγλίτιδος < β΄, γλαυκίου < ϛ΄, ὀπίου < β΄. οἴνῳ βραχεῖ εὐώδει ἀναλάμβανε. καὶ ποίει πυρήνων ἢ στροβιλίων μεγέθη, καὶ ὑποτίθει. ποιεῖ ἐξαιρέτως τοῖς ὑπὸ τεινεσμοῦ ὀχλουμένοις. Κατάπλασμα ἐπὶ τῶν ἐχόντων φλεγμονὴν εἰς τὸ ἀπευθυσμένον. Ψιχῶν σιλιγνίτου βραχέντων εἰς ὕδωρ, κρόκου, ῥοδίνου, ᾠοῦ ὀπτηθέντος, φοινίκων νικολάου εἰς ἕψημα βραχέντων καὶ καθαρθέντων πάντων ἴσως, καλῶς λειώσας ἐπίπασσε εἰς ῥάκος διπλοῦν, καὶ θερμάνας, χλιαρὸν ὑποτίθεσο. ποιεῖ καὶ τὸ ῥόδινον καθ᾽ ἑαυτὸ εἰς στυπίον ἐμβαλλόμενον καὶ ἐπιτιθέμενον, καὶ ἐν λουτρῷ χεόμενον. ὁμοίως δὲ καὶ τὸ ζέμα τῶν ῥόδων καὶ τῆς φακῆς χλιαρὸν ἀποσπογγιζόμενον, καὶ ὅσα τούτοις παραπλήσια. καὶ ταῦτα μὲν ἐπὶ τῶν τὸ ἀπευθυσμένον ἐχόντων εἱλκωμένον καὶ φλεγμαῖνον, καὶ συνεχεῖς ἐξαναστάσεις. Περὶ τῶν ἐν τοῖς παχέσιν ἢ μέσοις ἐντέροις ἕλκος ἐχόντων. Εἰ δὲ συμβῇ τὴν ἕλκωσιν ἀνωτέρω τοῦ ἀπευθυσμένου γίνεσθαι, καὶ συνεχεῖς ἐξαναστάσεις, καὶ ἰχῶρας σηπεδονώδεις φαίνεσθαι, τηνικαῦτα καὶ τοῖς δραστικοῖς χρηστέον, καὶ ἐνέμασι, καὶ ὑποθετοῖς, καὶ ἔξωθεν ἐπιπλάσμασιν, ἀλλ᾽ ἔστωσαν ἐν μὲν ὑποθετοῖς καὶ τὰ προειρημένα, καὶ ταῦτα δὴ πεῖραν ἱκανὴν δεδωκότα. Ὑποθετὸν ἐπὶ δυσεντερικῶν. Προκλύσαντας δὲ ἔντερον τῷ προειρημένῳ ζέματι τῆς τε φακῆς, καὶ τῶν ῥόδων, καὶ τῶν ἄλλων στυμμάτων, καὶ οὕτως ἀποσπογγίσαντας, ὑποτιθέναι ὑποθετὸν τόδε, τὴν σκευασίαν ἔχον ταύτην, κρόκου, σμύρνης, ὀπίου μήκωνος, λιβάνου ἄρρενος, ἐξ ἴσου βάλλοντες, καὶ ὁμοίως τοῖς προτέροις σκευάσαντες ὑποτίθετε). τοῦτο καὶ πρὸς κωλικοὺς ποιεῖν πεπίστευται. Τροχίσκος δυσεντερικός. Ἐφ᾽ ὧν ἕλκος ἐν τοῖς ἐντέροις, καὶ νομὴ μεγάλη τίς ἐστιν, ἀνάγκη τοῖς δι᾽ ἀρσενικοῦ καὶ σανδαράχης καὶ τιτάνου κεχρῆσθαι τροχίσκοις. εἰσὶ δὲ πολλοὶ πρὸς τοιαύτας διαθέσεις ἀναγεγραμμένοι, ὧν ἐστιν ὅ, τε Φαυστῖνος λεγόμενος, καὶ ὁ δι᾽ ἀρνογλώσσου. ἀλλ᾽ οὐδεὶς οὕτως ἰσχυρῶς οἶδε παύειν νομὰς, ὡς ὁ ὑπ᾽ ἐμοῦ σκευαζόμενος τροχίσκος, οὗ τὴν δύναμιν ἐθαύμασαν ἐπ᾽ αὐτῶν τῶν ἔργων οἱ πολλοὶ τῶν ἀρίστων ἰατρῶν. ἔχει δὲ αὐτοῦ ἡ γραφὴ οὕτως, ἀρσενικοῦ, σανδαράχης, λεπίδος, χαλκοῦ ἀνὰ < η΄. λειοτριβήσας αὐτὰ δίκην κολλουρίων ἐν τοῖς κυνοκαύμασιν, οὕτως ἐπίβαλλε, ὀπίου < α΄, ἀσβέστου ζώσης < ιβ΄, βαλαυστίου < ι΄, ὑποκυστίδος χυλοῦ < ι΄, χάρτου κεκαυμένου < ι, καὶ λείου πάλιν σὺν οἴνῳ μαρτίτῃ ἢ σαβίτῃ, ἢ ἀμιναίῳ, ἐπὶ ἡμέρας *. καὶ ἀναλαβὼν ποίει τροχίσκους, ἀνδρείους μὲν < γ΄, γυναικείους < β΄, παιδικοὺς δὲ < α΄. καὶ ψύχε ἐν σκιᾷ, καὶ χρῶ. κάλλιον γὰρ γίνεται ὁ τροχίσκος ἐγχρονίζων. ποίει δὲ αὐτοῦ τὴν χρῆσιν οὕτω, προκλύσας τὸν πάσχοντα τῷ ζέματι τῆς φακῆς, καὶ διαστήσας, οὕτω παράπεμπε μετὰ χυλοῦ ὀρύζης. καὶ ὀλίγου στέατος τραγείου τὸν τροχίσκον, προλειώσας μετὰ οἴνου καλοῦ. τὸ δὲ μέτρον ἔστω τοῦ παραπεμπομένου, κράσεως ἥμισυ. περίστρεφε δὲ τὸν κάμνοντα, καὶ οὕτως ἔνιε τὸ βοήθημα. καὶ συγχώρει κρατεῖν. μετὰ τοῦτον τὸν τροχίσκον περιττόν ἐστιν ἄλλου μεμνῆσθαι. τοσαῦτα περὶ τῆς δι᾽ ἑλκώσιν ἐν τοῖς παχέσιν ἢ μέσοις ἐντέροις γινομένης δυσεντερίας εἰρήσθω.

Περὶ τῆς ἐν τοῖς λεπτοῖς ἐντέροις συνισταμένης δυσεντερίας.

Εἰ δὲ συμβῇ γενέσθαι τὴν διάβρωσιν περὶ τὰ λεπτὰ τῶν ἐντέρων, τὰ διὰ στόματος ἁρμόζει μᾶλλον διδόναι βοηθήματα. τοιαῦτα δέ εἰσιν ἐν μὲν ἁπλοῖς, ἥ τε λημνία σφραγὶς ἐν ὀξυκράτῳ πινομένη, καὶ τὸ τυρῶδες γάλα κάλλιστόν ἐστιν ἐπὶ πάντων τῶν κατὰ γαστέρα δριμέων ῥευμάτων. χρὴ δὲ παραφεψημένῳ διαπύρους κόχλακας ἐμβάλλειν, καὶ πάλιν ἕψειν ἠρέμα, μέχρις ἂν ἐκδαπανηθῇ τὸ πολὺ τὸ ὀρρῶδες αὐτοῦ περίττωμα. τινὲς δὲ καὶ σιδήρια περιπυρώσαντες μᾶλλον ἀντὶ τῶν κοχλάκων, ἐνέβαλον τῷ γάλακτι. στυπτικὸν γὰρ ἔχων ὁ σίδηρός τι, μεταδίδωσιν αὐτῷ, καὶ πλέον ἐφεκτικώτερον ἀπεργάζεται. τινὲς δὲ καὶ κυνείαν κόπρον αὐτῷ λεπτοτάτην προσέμιξαν. ἀλλ' οὐκ εὔλογον τοῦτο ποιεῖν, ἀφθόνως ἡμῖν δεδομένων ὑπὸ τῆς φύσεως ἐδεσμάτων τε καὶ βοηθημάτων, καὶ βοτανῶν, ἅτινα σὺν ὄξει ἑψηθέντα καὶ ποθέντα, ξηραίνει τὰ κατὰ γαστέρα ῥεύματα. κάλλιον δ' ἂν γένοιτο, προσμιχθέντος αὐτῷ τινος τῶν πρὸς δυσεντερίαν καὶ κοιλιακὰς διαθέσεις ἁρμοζόντων, καὶ ἐπὶ ἀκάπνου πυρὸς τηγανισθέντων. τὰ δὲ βουλόμενα, ῥοῦς ἐστιν ὁ ἐρυθρός, ὅ, τε χυλὸς αὐτοῦ, καὶ ὀμφάκιον, καὶ σίδια, καὶ κηκὶς, καὶ ἡ τέφρα τῶν ὀπτηθέντων κοχλιῶν. ἐπιτήδεια δὲ καὶ γίγαρτα στεμφύλων, καὶ μύρτα, καὶ μέσπιλα, καὶ κράνια, καὶ κυδώνια. ἀνδράχνη δὲ δυσεντερικοῖς ἀγαθὸν ἔδεσμα. δραστικώτερος δὲ αὐτῆς ὁ χυλὸς πινόμενος. ἀρνόγλωσσον ὁμοίως ἁρμόζει μάλιστα ταῖς θερμαῖς, βάτου καρπὸς καὶ τὰ ἄνθη, φακὴ δὶς ἢ τρὶς ἀποζεσθεῖσα καὶ προσφερομένη, δρυὸς τὸ ὑπὸ τὸν φλοιὸν τοῦ πρέμνου τὸ ὑμενῶδες, ἢ τὸ κέλυφος τῆς βαλάνου, ἀποζεννύμενα, καὶ τὸ ζέμα πινόμενον. μορέας ὁ καρπὸς ἄωρος ξηρανθεὶς, στυπτικὸν ἱκανῶς γάρ ἐστι φάρμακον, ὥστε καὶ πρὸς δυσεντερίαν ἁρμόζειν καὶ κοιλιακὰς διαθέσεις. κόπτεται δὲ, καὶ τοῖς ὄψοις μίγνυται, καθάπερ ὁ τοῦ ῥοῦ καρπός, εἰ δ' ὕδατός τις αὐτὸν θέλει πίνειν, ἢ οἴνου, ἢ οὕτως ὡς ἀπόβρεγμα. κοιλιακοὺς γὰρ καὶ δυσεντερικοὺς ὀνίνησι. πολλῶν δὲ καὶ ἄλλων ἐστὶ μεμνῆσθαι ἁπλῶν βοηθημάτων, ἀλλ' ἀρκεῖ καὶ ταῦτα πρὸς τὴν ὑποκειμένην ὕλην ἀναλέγεσθαι τῷ βουλομένῳ, καὶ συντιθέναι πρὸς τὴν ὑποκειμένην διάθεσιν. οὐκ ἄτοπον δὲ καὶ ἡμᾶς τῶν ἐκ πείρας πολλάκις ἀνυσασῶν μνημονεῦσαι γραφῶν.

Πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς σύνθετα βοηθήματα. Τὸ διὰ τῶν ὀπωρῶν σύνθετον βοήθημα χρησιμώτατον πρὸς τὴν ὑποκειμένην διάθεσιν, ἐφ' ὧν καὶ μάλιστα δυσκρασία γαστρὸς καὶ ἥπατος, ἢ στομάχου πάρεστι, ῥευματίζεσθαι μᾶλλον τὰ ἔντερα παρασκευάζουσα. ῥοιαὶ ὁλόκληροι, καὶ μῆλα κυδώνια ἀνὰ κ', ῥόδων ξηρῶν ξε α', προύμνων ἀγρίων ξε β', οὔων ἐφεκτικῶν ξε β', ἀπίους καὶ μῆλα λ', ῥοῦ συριακοῦ ξε γ', ξυλοκέρατα μ', μύρτων μελανῶν ξε α', γλεύκους ἀμιναίου ἀφεψημένου εἰς ὄστρακον, ἢ εἰς κάκαβον, ἕως οὗ γένηται μέλιτος πάχος, καὶ βάλε εἰς κέραμον, καὶ τήρει. Καταπότια κοιλιακοῖς καὶ δυσεντερικοῖς πεποιημένα. Κηκῖδος ὀμφακίτιδος ἀτρήτου, ὀπίου ἀνὰ Γο β', πετροσελίνου Γο α', ἀναλάμβανε ὕδατι, καὶ ποίει καταπότια, καὶ δίδου ἐρεβίνθου μέγεθος πρὸς τὴν δύναμιν ἀποβλέπων, καὶ τὸ ποσὸν στοχάζου. τοῦτο τὸ βοήθημα ἐπὶ τὰς πάνυ θερμὰς δυσκρασίας καλῶς ποιεῖ. πρὸς δὲ τὰς ἐπὶ πλέον θερμὰς καὶ ὁ χυλὸς τῆς [illegible] μετὰ ἀλφίτων καὶ οἴνου ποτιζόμενος. ἐφ' ὧν δὲ τὸ ἧπαρ πάνυ ἀτονεῖ καὶ ῥευμα-

ύζει τὴν γαστέρα, ἢ ἔμφραξιν ἔχον, ἐμποδίζει τῇ ἀναδόσει, καλῶς ποιεῖ καὶ ἡ πικρά, πλέον πάντων ἡ ἀλόη πλυνομένη, καὶ γινομένη καταπότια. πρὸς δὲ τὴν διὰ ψύξιν δυσεντερίαν, οἱ ὄλυνθοι τῆς συκῆς πινόμενοι, καὶ θαυμασίως πως ἀθετοῦσι. δεῖ δὲ καίειν αὐτοὺς ἐν ἀγγείῳ χαλκῷ, καὶ οὕτω παρέχειν ἐξ αὐτοῦ ὅσον τοῖς τρισὶ δακτύλοις δυνατόν ἐστι λαβεῖν, καὶ τοῦτο ποιεῖν ἐκ τρίτου. διδόσθω δὲ μετὰ οἴνου καλοῦ, μάλιστα ἐπὶ τῶν χρονίων διαθέσεων, καὶ ἰσχυροτέρων, καὶ γεωργικῶν σωμάτων. Δυσεντερικὸς τροχίσκος διὰ στόματος διδόμενος, ποιεῖ πρὸς πάντα τὰ ἐντός, καὶ πᾶν ῥεῦμα. Ἀνίσου < β', ὑοσκυάμου < δ', σελίνου σπέρματος < δ', ὀπίου < β', ἀπυρέτοις μετὰ οἴνου, πυρέττουσι δὲ καὶ τὰ ἄνω πεπονθόσιν ἔντερα, καὶ ἀγρυπνοῦσι πολλά, μετὰ ὕδατος. προπινόμενος δὲ τῶν καταρροϊκῶν, οὐκ ἐᾷ τὸν στόμαχον ὑπὸ τῶν ἐνεμάτων ἀνατρέπεσθαι. Περὶ ἐπιθεμάτων καὶ χρισμάτων. Ἐπὶ δὲ τῶν δυσεντερικῶν διαθέσεων ὅθεν ἂν εἴη γεγονὸς τὸ νόσημα, διὰ πάσης προσήκει θεραπείας ἔρχεσθαι, καὶ σπουδάζειν βοηθεῖν τῷ κάμνοντι. κίνδυνος γὰρ ἐπακολουθεῖν εἴωθε θανάτου, καὶ διὰ τὸ πλῆθος τῶν ἐκκρινομένων, καὶ τὴν πυκνότητα τῶν ἐξαναστάσεων, καὶ τὴν ἐκ τούτων ἑπομένην τῆς δυνάμεως ἀσθένειάν τε καὶ ἀνορεξίαν, ὅθεν οὐ μόνοις ἀρκεῖσθαι δεῖ τοῖς διὰ στόματος παρεχομένοις, καὶ δι' ἐνεμάτων ἐνιεμένοις, ἀλλὰ διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων πειρᾶσθαι βοηθεῖν. εἰσὶν οὖν ἐπιτήδεια τά τε πόματα καὶ ἐπιθέματα, ὧν τὰς συνθέσεις ἀναγκαῖον ὑμῖν ἡγησάμην ἐκθέσθαι.

Ἐπίθεμα δυσεντερικοῖς καὶ κοιλιακοῖς. Ὑοσκυάμου λευκοῦ σπέρματος ℥ δ', ἀνίσου, ῥόδων ἀνθοῦς, ῥοῦ συριακοῦ, ὑποκυστίδος χυλοῦ, βαλαυστίων ἀνὰ ℥ β', ὀπίου, κρόκου ἀνὰ ℥ α'. τούτων ἕκαστον λειώσας μετὰ οἴνου μυρτίτου, καὶ μίξας ὁμοῦ, ἀνάπλασον τροχίσκους καὶ ψῦχε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει κόπτων καὶ σήθων ὅσον ἐξαρκεῖ, ἀναλάμβανε φοίνιξι πατητοῖς, καὶ ἐπιπλάσας εἰς ὀθόνιον, ἐπίθες. Κηρωτὴ καλλίστη. Ἐφ' ὧν δὲ μάλιστα ὁ στόμαχος ἀσθενῶν ῥευματίζει τὰ ἔντερα, κέχρησο καὶ τῇ κηρωτῇ ταύτῃ ἐχούσῃ ταῦτα, φοινίκων λιπαρῶν ℔ α', μαστίχης ℥ α', στυπτηρίας ὑγρᾶς ℥ ϛ', ἀλόης ℥ α', οἴνου καὶ ῥοδίνου τὸ ἀρκοῦν. σκευάσας ἐπιμελῶς ἐπίθες. Τὸ δι' οἰνάνθης ἐπίθεμα. Καλῶς ποιεῖ καὶ τοῦτο τὸ φάρμακον πρὸς δυσεντερίαν, ἐφ' οἷς καὶ τὸ στόμα τῆς γαστρὸς πέπονθε, καὶ ῥευματίζει τὰ ἔντερα· οἰνάνθης < β', ὀμφακίου < δ', στύρακος < δ', ἀκακίας < η', ῥόδων ξηρῶν < η', κηκῖδος ὀμφακίτιδος < δ', φοινίκων < ϛ', οἴνου αὐστηροῦ, καὶ μυρσίνου ἐλαίου τὸ ἀρκοῦν, πίσσης < ϛ', κηροῦ < ιϛ'. ποιεῖ θαυμασίως. Ἐπίθεμα πρὸς τεινεσμοὺς μάλιστα, καὶ αἱματώδεις ἐκκρίσεις μετὰ ψύξεως. Κηροῦ ℥ ϛ', πίσσης, κρόκου, ἀλόης, ἀκακίας, ἀμώμου, ἀνίσου ἀνὰ ℥ α', στύρακος ℥ α' S'', στέατος ℥ δ', καρποβαλσάμου ℥ δ', γλευκίνου ℥ ιβ'. Χρῖσμα δυσεντερικόν. Ῥοῦ < δ', ὀμφακίου < β', ὑποκυστίδος, κηκίδων, μύρτων ἀνὰ ℥ δ'. οἴνῳ μυρτίτῃ ἀναλάμβανε. καλῶς ποιεῖ ἐπιχριόμενον, καὶ * τὸ ἥπατι τόνον ἐντιθέναι. καὶ ὄρυζαν δὲ τρίψας μετ' οἴνου, ἐπίπασσε καὶ ἔμπροσθεν καὶ ὄπισθεν. τοῦτο πρὸς τοὺς ὑπὸ ψύξεως τεινεσμοὺς καλῶς ποιεῖ παντὸς πλέον, καὶ ὁ μασσούχας σὺν σιδίοις καὶ κηκῖσι, καὶ ἀκακίᾳ, καὶ σμύρνῃ, λαδάνῳ, ἀλόῃ, σχοινάνθοις, ῥόδοις, ναρδοστάχυϊ, καὶ τοῖς ὁμοίοις τούτων, ἁρμόζειν πεπίστευται πάνυ πρὸς τὰς τοιαύτας διαθέσεις. δεῖ δὲ τὸν τεχνίτην πρὸς τὸ τῆς δυσεντερίας εἶδος, καὶ τὴν μίξιν τοῦ βοηθήματος ποιεῖσθαι.

ἵνα εἰ

ἵνα εἰ μὲν ἐκ θερμῆς δυσκρασίας εἴη τὸ πάθος γεγονός, ἡ τῶν ψυχροτέρων ἐπικρατῇ δύναμις· εἰ δὲ διὰ ψυχρὰν αἰτίαν, ἡ τῶν θερμαινόντων καὶ τονούντων ἐπιτείνηται κρᾶσις. τοιαύτη δέ ἐστιν ἡ τῶν ἀρωματιζόντων πάντων ὕλη, τουτέστι, κάλαμος ἀρωματικός, σχίνου ἄνθος, ναρδόσταχυ, καὶ τὰ τούτοις παραπλήσια καταπλάσματα. ἐφ' ὧν ἐστι τῶν ἐντέρων μάλιστα ῥευματισμός, κρίθινον ἄλευρον, ἕψημα, ὄξος, ἕψε πάνυ καὶ κατάπλασσε. τοῦτο καὶ πρὸς αἱμόρροιαν θαυμασίως, καὶ τὸ ἀπὸ τῶν ἀλφίτων, καὶ τῶν εἰρημένων ἀρωματικῶν καταπλασμάτων, ὁμοίως ποιεῖν πεπίστευται. δεῖ δὲ σὺν οἴνῳ στύφοντι, οἷον, σχινίνῳ, ἢ μηλίνῳ ἑψήσαντας, ἐπιθεῖναι χλιαρόν. εἰδέναι δὲ δεῖ ὡς οὐκ ἐνδέχεταί ποτε τὴν τῶν ἐντέρων ἕλκωσιν ἰαθῆναι, εἰ μὴ πρότερον κωλύσει τις τὴν ἐπιρρέουσαν ὕλην ἐξ ἑτέρων μορίων· συμβαίνει γάρ, ὡς εἴρηται, καὶ σπλάγχνων ἐκκαθαιρομένων, ἢ φλεγμαινόντων, ἢ ἀτονούντων, ῥευματίζεσθαι τὰ ἔντερα καὶ ἥκουσα. καὶ δι' ὅλου δὲ τὸ σῶμα συντηκόμενον, ἔσθ' ὅτε καὶ τὴν κεφαλὴν ἐπιπέμπουσαν, καὶ τὸν στόμαχον ῥευματιζόμενον. ἐπὶ γὰρ τῶν κατὰ συμπάθειαν δυσεντεριώντων κατὰ παντὸς σώματος συντηκομένου, φεύγειν προσήκει τοὺς ἀπὸ σανδαράχης καὶ * τιτάνεως, καὶ τῶν τοιούτων κατασκευαζομένους τροχίσκους, δύσκρατον μᾶλλον ἀποτελοῦντας τὸ σῶμα, καὶ μᾶλλον αὐτὸ συντήκοντας. ἐπ' ἐκείνων δὲ χρηστέον αὐτοῖς μόνον, ἐφ' ὧν ἐκνεμομένου καὶ σηπεδονώδους ἕλκους τὰ διαχωρήματα φαίνεται φερόμενα. ἐγὼ γοῦν τινα θεασάμενος τῶν σύντηξιν ἐσχηκότων, καὶ ὑπὸ τῶν προσφερομένων αὐτῷ τροχίσκων ἐπὶ πλέον παροξυνόμενον, ἐκέλευσα ταῦτα μὲν ἀπορρίψαι, λουτροῖς δὲ μᾶλλον καταχρήσασθαι, καὶ ἐμψύχουσιν ἐδέσμασιν, οἷον, πέπονι χωρὶς τῆς ἐντεριώνης, καὶ ἰντύβοις, καὶ βολβῷ, καὶ ἰσικῷ· καὶ οὕτω διαιτηθέντα χωρὶς φαρμακείας ἀπήλλαξα τὸν κάμνοντα τοῦ προσδοκηθέντος αὐτῷ θανάτου. καὶ ἄλλους δὲ πολλοὺς ἐκ διαίτης καὶ μόνης οἶδα θεραπευθέντας, ἐσχηκότας ἕλκη δυσίατα καὶ μεγάλα, πρὸς τὴν κρατοῦσαν ἁρμοσάμενος δυσκρασίαν. οὐ δεῖ οὖν, ὡς εἴρηται, σπουδάζειν, εἰ μὴ νεμόμενον εἴη τὸ ἕλκος ἔξωθεν, ἀλλὰ καὶ ἔσωθεν καταφαρμακεύειν, ἀντιδότοις τε καὶ τροχίσκοις τὸ σῶμα.

* Περὶ παρέσεως. β'

Τὸ τῆς παρέσεως πάθος, ὃ καὶ παράλυσιν ὀνομάζειν εἰώθασιν, οὐδὲν ἄλλο, ἢ ἀναισθησία καὶ ἀκινησία τῶν πεπονθότων τόπων ἐστί. διαφέρει δὲ τῆς ἀποπληξίας, ὅτι αὕτη μὲν τοῦ παντὸς σώματός ἐστιν ἀναισθησία, καὶ ἀκινησία, μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν, καὶ τρόπον τινὰ θάνατος· ἡ δὲ πάρεσις τοῦ ἡμίσεος σώματος ἢ ἑνός ἐστι μέρους νέκρωσις, ἢ καί τινων μορίων νευρωδῶν ἐσχηκότων ἔμφραξιν, χωρὶς τοῦ παθεῖν ἢ τὸν ἐγκέφαλον, ἢ τὸν νωτιαῖον. διαγνοὺς οὖν πρότερον πόθεν ἤρξατο καὶ πόθεν * ἡ αἰτία συνέβη, οὕτως ἔρχου ἐπὶ τὴν θεραπείαν. ἀμήχανον γὰρ ἀγνοοῦντα τὸ αἴτιον, ἤ τι τὸ πάθος, ἐκκόψαι δυνηθῆναι τὴν ἐνοχλοῦσαν διάθεσιν. Διάγνωσις. Εἰ μὲν οὖν εἴη τι τὸ πεπονθὸς τῶν ἄνω μορίων, οἷον, ὀφθαλμός, ἢ ῥίς, ἢ γλῶσσα, ἤ τι τῶν περὶ τὸ πρόσωπον, εὔδηλον ὡς αὐτὸς ὁ ἐγκέφαλος ἔχει τὴν νόσον, καὶ αὐτῷ δεῖ βοηθεῖν προηγουμένως. εἰ μὲν οὖν μηδὲν εἴη βλαβὲν τὴν αἴσθησιν, ἢ τὴν κίνησιν, ἢ τὸ συναμφότερον τῶν εἰρημένων τόπων, ἀνάγκη τὸν νωτιαῖον νοσεῖν, καὶ αὐτῶν τῶν νεύρων ἀρχὴν ὑποτίθεσθαι πεπονθέναι, ἤ τι τῶν ἐξ αὐτοῦ νεύρων. πρόσεχε οὖν

ἀκριβῶς, ποῖον μέν ἐστι τὸ πάσχον, ἢ πόθεν ἔσχε τὴν ἀρχήν, ἢ ἀπὸ ποίου δέχεται σπονδύλου, ἢ νεύρου, κἀκείνῳ τὴν θεραπείαν προσφέρειν, καὶ μὴ ὡς οἱ πολλοί, τοῖς συμπτώμασιν ἐθέλειν ἀπομάχεσθαι μόνον. τὰ μὲν οὖν προτεθέντα μόρια οὕτω δεῖ διαγινώσκειν προσέχοντα τῇ ἀνατομικῇ θεωρίᾳ. Περὶ αἰτίας παρέσεως. Τὴν δὲ ποιοῦσαν τὴν πάρεσιν αἰτίαν ὡς ἐπὶ τὸ πολὺ διαγινώσκειν χρὴ ἐκ πάχους καὶ γλίσχρου, καὶ ψυχροῦ, ἔσθ' ὅτε καὶ γεώδους, καὶ μελαγχολικοῦ χυμοῦ συνισταμένην. εἰδέναι δὲ δεῖ ὅτι καὶ διὰ ποιότητα θερμὴν ἢ ξηρὰν γίνεται τὸ πάθος τοῦτο, τῆς θερμῆς δυσκρασίας ὑπεροπτώσης τὸ αἷμα καὶ τοὺς χυμούς· ὁμοίως δὲ καὶ διὰ ψυχρὰν ποιότητα μόνην. ἐπεὶ οὖν ἡ αἰτία διάφορος, ἥτις τὴν τῆς παρέσεως ἐργάζεται διάθεσιν, ἐπισκέπτεσθαι δεῖ καὶ διαγινώσκειν ἀκριβῶς, εἴτε πλῆθός ἐστιν, εἴτε ποιότης μόνη· οὐ μικρὰ γὰρ ἡ διαφορά. εἰ μὲν γὰρ πλῆθος καὶ παχύτης, ἀνάγκη παραλαμβάνειν ὅσα λεπτύνειν οἶδε καὶ κένωσιν ἐργάζεσθαι τοῦ τὴν πάρεσιν ἐργασαμένου χυμοῦ· εἰ δὲ ποιότης εἴη μόνη θερμὴ καὶ ξηρά, τότε τὰ λεπτύνοντα καὶ θερμαίνοντα. πάντα γὰρ τὰ τοιαῦτα δαπανῶντα τὸ ἔμφυτον ὑγρόν, ἔτι μᾶλλον ὑπεροπτᾷ, καὶ παχυτέραν ἐργάζεται τὴν ὕλην. δῆλον οὖν ὅτι τἀναντία τῇ ποιότητι ἀντεισάγειν δεῖ βοηθήματα, τουτέστι, τὰ ψύχοντα καὶ ὑγραίνοντα πάντα· πρὸς δὲ τὴν ψυχράν, ἐξ ἀνάγκης τὰ θερμαίνοντα. τούτων οὕτως ἐχόντων, εἴπωμεν ὅπως δεῖ καὶ τῇ θεραπείᾳ κεχρῆσθαι, πρότερον ἀπὸ τῆς διὰ πλῆθος γινομένης διαθέσεως ἀρξάμενοι. Περὶ θεραπείας. Εἰ μὲν οὖν εἴη πλῆθος αἵματος ἐκ τῆς διαγνώσεως ὑπαγορευθέν σοι, δῆλον ὅτι περὶ τῆς ἀρχῆς ἁπάσης θεραπείας, συμμέτρως δεῖ ποιεῖσθαι κένωσιν αἵματος. οὐ δεῖ γὰρ ἐπὶ τούτων, εἰ καὶ πλεονάζει, πολλὴν αἵματος ποιεῖσθαι κένωσιν, ἀλλ' ἐπὶ τὰ τοπικὰ ἔρχεσθαι μᾶλλον βοηθήματα. εἰ γὰρ εἴη περὶ τὸ πρόσωπον ἡ διάθεσις, ὑπὲρ ἅπαντα τῆς κεφαλῆς προνοητέον. εὔδηλον γὰρ ὅτι τῆς ἀρχῆς παθούσης, εἰκότως καὶ τὰ κατὰ πρόσωπον ἐβλάβη μέρη. ἐξ ἀνάγκης οὖν ἅπαντα τὰ κενοῦντα τὴν κεφαλήν, καὶ ἀπέριττον αὐτὴν ἐργαζόμενα, σπουδάζειν προσφέρειν, ὥσπερ καὶ ἀποφλεγματισμοῖς ἐθέλειν κεχρῆσθαι, ἀνατρίψει τε καὶ δρώπαξι, καὶ πᾶσι τοῖς λεπτύνειν δυναμένοις, καὶ ἐκφράττειν. εἰ δὲ φλεγματικώτερον εἴη τὸ αἷμα, τοῖς ἀποφλεγματίζειν δυναμένοις, ὥσπερ καὶ εἰ μελαγχολικώτερον, τοῖς τούτων τὸν χυμὸν ἐκμοχλεύουσιν. ἄριστα δὲ πρὸς ἀμφότερα ποιεῖν δύναται καὶ τὰ διὰ κολοκυνθίδος σκευαζόμενα καταπότια, ὧν ἡ γραφή ἐστιν αὕτη. Τὰ διὰ κολοκυνθίδος καταπότια. Ἀλόης ἡπατίτιδος, κολοκυνθίδος ἀνὰ Γο α', εὐφορβίου Γο S'', ἑλλεβόρου μέλανος Γο α', βδελλίου ἀνὰ Γο α', νίτρου ἀλεξανδρινοῦ Γο τὸ S''. τούτοις ἀεὶ κέχρησο ὁπηνίκα καθᾶραι βουληθείης ἢ μελαγχολικὸν χυμόν, ἢ φλέγμα. οὐδὲν γὰρ οὕτω μετασυγκρῖναί τε καὶ καθᾶραι νεῦρα νοσοῦντα καὶ κεφαλήν, ὡς ἡ τῶν καταποτίων τούτων σύνθεσις. ἀρκεῖ δὲ αὐτὰ ἄχρι ɼ δ' ἢ ϛ', πρὸς τὴν δύναμιν τοῦ κάμνοντος. ἔρχεσθαι δὲ ἐπὶ τὴν τελείαν δόσιν οὐ δεῖ, ἀλλὰ κατὰ μέρος ἀπὸ δύο ἢ τριῶν ἀρξάμενοι ɼ. εἰ μὲν οὖν εἴη ἡ διάθεσις νεαρά, πολλάκις δὲ ὁ κάμνων εὐεμής, καὶ ἀποστρεφόμενος τὴν τῶν φαρμάκων πόσιν, οὐδὲν ἄλλο τι δεῖ περιτιμᾶν, ἀλλὰ τούτοις κεχρῆσθαι· πρὸς γὰρ τῷ μὴ δυσχερῶς ἐμεῖσθαι, ἔχουσι καὶ τὸ ἀλύπως καθαίρειν τὴν ὕλην, καὶ εὐστρόφως μετασυγκρίνειν. οἶμαι δὲ μή τι δεηθῆναί τινα ταχέως ἑτέρου βοηθήματος, ἐὰν εὕρῃ τις αὐτοῖς καλῶς χρῆσθαι. εἰ δὲ πολὺν ἔχουσα χρόνον ἡ διάθεσις ἐνοχλοίη τῷ κάμνοντι, καὶ τοῖς μετεωροτέροις

οὐ πεί-

οὐ πείθεται βοηθήμασιν, ἀλλὰ δυσμετακινήτως ἔχει τούτοις, καὶ μᾶλλον ἅπασι τοῖς ἐκφράττειν τε καὶ λεπτύνειν δυναμένοις χρήσασθαι δέον. μετὰ δὲ τὸ λεπτῦναι καὶ εὔροιαν ἐργάσασθαι τὴν ὕλην, οὕτω τὴν ἱερὰν παραλαμβάνειν τὴν ὑπ' ἐμοῦ σκευαζομένην, καλλίστην οὖσαν καὶ ἀκίνδυνον. ἔχει δὲ ἡ γραφὴ αὐτῆς οὕτως. Ἡ ἱερὰ ἀκίνδυνος. Ἀλόης γρ. ϛ', ἐν ἄλλῳ γρ. η', φύλλου γρ. ι', ἀγαρικοῦ γρ. η', ἐν ἄλλῳ γρ. ι', πολυποδίου γρ. η', πεπέρεως λευκοῦ γρ. ε', πεπέρεως μακροῦ γρ. η', πεπέρεως μέλανος γρ. ε', κασίας γρ. η', ὀποπάνακος, ἀμώμου, κρόκου, σαγαπηνοῦ, καστορίου ἀνὰ γρ. ε', δακρυδίου γρ. ι, ἀμμωνιακοῦ θυμιάματος γρ. ι', πετροσελίνου μακεδονικοῦ, ἀριστολοχίας, ἑλλεβόρου ἀνὰ γρ. ε', πρασίου ξηροῦ γρ. η, χαμαιπίτυος, βδελλίου, κολοκυνθίδος ἀνὰ γρ. η'. τὴν τελείαν δόσιν τῆς ἀντιδότου, εἰ μὲν ἄνευ μέλιτος ἔχεις, δίδου γρ. ζ', εἰ δὲ μετὰ τοῦ μέλιτος γρ. ιβ', ἢ μικροῦ πλέον, ἢ ἔλαττον. οὐ δεῖ δὲ παραπλέκειν ἔξωθεν ἑτέρας σκαμμωνίας τῇ δόσει. πολλοὶ γὰρ νομίσαντες ὠφελεῖν εἰς τὸ κενωτικὸν ἐργάσασθαι τὸ φάρμακον, οὕτως ποιοῦσιν, οὐκ εἰδότες ὅτι μᾶλλον ἄχρηστον αὐτὸ ἀπεργάζονται. οὐ βουλόμεθα γὰρ αὐτὸ ταχέως ἐπὶ τὴν γαστέρα φέρεσθαι, ἀλλὰ μᾶλλον ἀναδίδοσθαι καὶ χρονίζειν ἐν τῷ σώματι καὶ ἀπολεπτύνειν, καὶ μετασυγκρίνειν τὸ περίττωμα, καὶ ἀνευρύνειν τοὺς πόρους, ὥστε τὰς ἐμφράξεις τῶν νευρωδῶν διανοίγεσθαι, καὶ ἀνεμπόδιστον καὶ καθαρὸν χορηγεῖσθαι τὸ πεμπόμενον πνεῦμα εἰς αὐτά. οὐ δεῖ οὖν κενωτικὸν ἐργάζεσθαι τὸ φάρμακον, καὶ μάλιστα ἐπὶ τῶν φλεγματικῶν, ἀλλὰ τοὐναντίον σπουδάζειν ἀφαιρεῖν ἐκ τῆς σκαμμωνίας. αὔξειν δὲ μᾶλλον τὸν σταθμὸν τῆς κολοκυνθίδος. ὅλην δὲ τὴν δόσιν οὐ δεῖ διδόναι πίνειν εὐθύς, ἀπὸ τῆς πρώτης ἡμέρας, ἀλλὰ μερίζειν αὐτὴν εἰς τρία, καὶ παρέχειν πρῶτον < α', ἔπειτα διαστήσαντας ἡμέρας γ', διδόναι < β', παραπλέκοντας ἄλλων τῇ ἀντιδότῳ κόκκον α', πεπέρεως δηλονότι. ἔστω δὲ τὸ πέπερι πάνυ χνοῶδες. ἀναδοθῆναι γὰρ ἡμῖν ἐστι σκοπός, ὡς εἰρήκαμεν, τὸ φάρμακον, οὐ παχυνθῆναι. διαστῆναι δὲ κελεύσας ἄλλας ὀλίγας ἡμέρας τὸν κάμνοντα, δίδου πάλιν αὐτῷ τὰς γ' <, εἶτα πάλιν ἄλλας ὀλίγας ἡμέρας διαστήσας, δὸς αὐτῷ < ϛ'. οὕτω γὰρ ὠφελήσεις τὸν κάμνοντα, καὶ ἅμα τὴν τοῦ φαρμάκου θαυμάσεις δύναμιν, ὅσα τε καὶ οἷα δρᾶν πέφυκεν. ἀφανίζουσι δὲ αὐτὸ οἱ πολλοί, μὴ εἰδότες αὐτοῦ τὴν χρῆσιν. εἰδέναι δὲ δεῖ ὡς εἰ ἔρρωται τοῦ πάσχοντος ἡ δύναμις, οὐ δεῖ δεδοικέναι πέντε παρέχειν <, ἔσθ' ὅτε δὲ καὶ ἕξ, καὶ μᾶλλον εἰ πληθωρικὸς εἴη καὶ ἀκμάζων τὴν ἡλικίαν, καὶ ὑγρὸς τὴν κρᾶσιν. οὕτως ἰᾶσθαι δεῖ, τοὺς διὰ πλῆθος ὑγρῶν τε καὶ γλίσχρων χυμῶν καὶ παχέων ὑπομείναντας τὴν πάρεσιν.

Περὶ τῆς κατὰ ποιότητα μόνην γινομένης παρέσεως. Εἰ δὲ μὴ πλῆθος εἴη, ἀλλὰ ποιότης μᾶλλον ἡ ποιήσασα τὸ πάθος αἰτία, εἰ μὲν ξηρότης ἅμα θερμότητι, τοῖς ψύχουσιν ἠρέμα καὶ ὑγραίνουσι πόμασι καὶ σιτίοις συμβουλεύω κεχρῆσθαι μᾶλλον, οἷον, χυλῷ πτισάνης, ἢ βρώμῳ, ἢ χόνδρῳ, ἐν δὲ λαχάνοις, ἰντύβοις, ἢ καυλοῖς θριδάκων. ἐπιμιγνύσθω δὲ τούτοις ὅ, τε ἔλειος ἀσπάραγος, καὶ ἡ ῥίζα τοῦ σελίνου. ὄρνεις δὲ ἐσθιέτωσαν ὀλίγου δεῖν ἅπαντας, πλὴν τῶν πάνυ λιπαρῶν, ἢ ἐν ἕλεσι τρεφομένων. καὶ ἰχθύων δηλονότι τοὺς πετραίους μᾶλλον. τὰ δὲ ὀστρακόδερμα παραιτείσθωσαν, ἄνευ τῶν καλουμένων κτενίων, καὶ ἐχίνων. φευγέτωσαν δὲ καὶ τὰ ὄσπρια πάντα, καὶ μάλιστα τὰ ἁλυκά. τῶν δὲ ὀπωρῶν ἐσθιέτωσαν ἁπάντων, πλέον τὰ σῦκα, καὶ σταφυλάς, καὶ τὸ σπέρμα τῶν πεπόνων, καὶ μῆλα. ῥοιὰς δὲ καὶ περσικά, καὶ ῥοδάκινα, καὶ τῆς συκομο-

ῥέας τὸν καρπὸν, καὶ τὰ καλούμενα χρυσόμηλα παραιτείσθωσαν, καὶ ἁπλῶς τὴν σύμπασαν δίαιταν, ψύχειν καὶ ἐπικιρνᾶν δυναμένην, μετὰ τοῦ μηδὲν ἔχειν σφόδρα περιττωματικὸν, ἢ παχύχυμον. οἶνον δὲ πινέτωσαν ὑδατώδη, καὶ μὴ πάνυ παλαιόν. ὁ γὰρ τοιοῦτος μᾶλλον ἐπιξηραίνει, καὶ κακοῖ τὰ νεῦρα. διὸ καὶ τὰ προπόματα παραιτείσθωσαν, πλὴν ῥοσάτου καὶ ἰάτου. εἰ δὲ δυνατὸν εἴη καὶ χωρὶς οἴνου διάγειν τὸν κάμνοντα, μόνον εὐκράτῳ κεχρημένον, ἔτι πολλῷ τοῦτο κάλλιον. πινέτωσαν δὲ καὶ ἐν τῷ μέσῳ τῆς τροφῆς οἱ ἔθος ἔχοντες, ὕδωρ ψυχρὸν μετὰ οἴνου. τοῖς τοιούτοις οὖν ἐπιδιδόναι τι τῶν καθαίρειν δυναμένων, οὐ καλόν. ἅπαντα γὰρ αὐτοῖς ἐστι πολέμια, καὶ μάλιστα ἡ ἱερὰ καλουμένη, καὶ ὅσα δι' εὐφορβίου σύγκειται. μετὰ γὰρ τοῦ μηδὲν ὠφελεῖν, ἔτι μᾶλλον ἐπαύξουσι τὴν τῶν νεύρων ξηρότητα. οἶδα γοῦν ἐγώ τινα παθόντα πάρεσιν ἐπὶ λύπῃ καὶ φροντίδι μεγάλῃ, καὶ ἀσιτίᾳ, εἶτα εἰληφότα τὴν ἱερὰν, εἰς τοσαύτην τε βλάβην ἥκοντα, ὡς ὅλον αὐτὸν ἀκίνητον γενέσθαι, καὶ μικροῦ δεῖν ἀπολέσθαι τὸν ἄνθρωπον, εἰ μὴ πρὸς τοὐναντίον ἐτράπη, καὶ τοῖς ὑγραίνουσιν ἅπασι καὶ πόμασι καὶ σιτίοις ἐχρήσατο, καὶ τοῖς ἄλλοις ὅσα δυνατὰ ἦν εὔκρατον ἀποτελέσαι τὸν κάμνοντα. μάλιστα δὲ λουτροῖς πλείοσι, καὶ τῇ δι' ὑδρελαίου ἀλοιφῇ, καὶ μεταβολῇ εὐκράτων ἀέρων, εὐθυμίᾳ τε πάσῃ. καὶ γὰρ ἦν δύσθυμος καὶ ἐκτρεπόμενος πρὸς ὀργὴν, ὑπὸ τοῦ φαρμάκου δηλονότι καταξηρανθεὶς, καὶ ξανθοχολικὸν ἀθροίσας χυμόν. οὕτω μὲν εἰ ποιότης εἴη μάλιστα δυσκρασία θερμὴ, φεύγειν δεῖ τὰ δριμύτερα τῶν ἐδεσμάτων, ἔτι δὲ μᾶλλον ὅσα φαρμακώδη δύναμιν ἔχει καὶ καθαρτικήν. πρὸς γὰρ τὸ μηδὲν εὑρίσκειν τι κενῶσαι τοῦ σώματος, ἔτι μᾶλλον ἑτέραν γεννῶσι δυσκρασίαν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἐχόντων ψυχρὰν δυσκρασίαν, οὐ δεῖ κεχρῆσθαι φαρμάκοις καθαρτικοῖς. ἀρκεῖ γὰρ μόνη διαίτα τοὺς τοιούτους ἰάσασθαι. τούτοις οὖν καὶ οἶνος σύμμετρος ὁ παλαιότερος, καὶ σκόρδα, καὶ πράσα, καθ' ἑαυτά τε καὶ μετ' ἄλλων ἐσθιόμενα, καὶ τῶν σελίνων, καὶ πετροσελίνου, καὶ δαύκου, καὶ ὅσα ἔχει πέπερι, καὶ ἀλοιφαὶ θερμαίνουσαι, καὶ μάλιστα τὰ περὶ τὸν στόμαχον, οἷόν ἐστι καὶ τὸ μενκιάτον. ἔχει γὰρ τὸν ἐλάφειον μυελὸν, καὶ τὸν στύρακα. καὶ τὰ νεῦρα μεγάλως ὠφελεῖν δύναται, ὥσπερ καὶ τὸ πηγανέλαιον, καὶ σὺν αὐτῷ, καὶ μεθ' ἑτέρου, κατεψυγμένα τὰ νεῦρα ἀναθερμαίνει καλῶς. εἰ δὲ χρονίζει τὸ πάθος, καὶ τὰ αὐτοφυῆ τῶν ὑδάτων, ὅσον διὰ τὴν ψύξιν, εἰσὶν αὐτοῖς ἐπιτήδεια. δεῖ δὲ μὴ χρονίζειν αὐτοῖς, μηδὲ δὶς τῆς ἡμέρας λούεσθαι, ἀλλὰ καὶ συγχωρεῖν ἐν τῇ ψυχρᾷ κατέρχεσθαι δεξαμενῇ, ὥστε μὴ ὑπάγειν αὐτοὺς ὑποξηραίνεσθαι, ἀλλὰ καὶ μετρίως ἀπολαύειν τῆς ἐξ αὐτῶν ὠφελείας. οὕτω μὲν ἰᾶσθαι προσήκει κατὰ δυνατὸν τὴν πάρεσιν τὴν διὰ δυσκρασίαν. λοιπὸν δὲ λέξωμεν ποίοις βοηθήμασιν ἐπὶ τίνων ἐστὶν οἰκειότερον κεχρῆσθαι.

Περὶ ὀφθαλμῶν παρέσεως.

Εἰ μὲν οὖν ὀφθαλμὸς εἴη ὁ πεπονθὼς, ὑπὲρ ἅπαντα τῆς κεφαλῆς, ὡς εἰρήκαμεν, δεῖ ποιεῖσθαι τὴν πρόνοιαν, διά τε ἀποφλεγματισμῶν καὶ ἀνατρίψεων, καὶ ἀντισπάσεων, εἰς τὸ ὄπισθεν τῆς κεφαλῆς ἀποτιθεμένους σικύας, καὶ ἕλκοντας, καὶ κατασχάζοντας εἰ δέοι πλήθους ὑποκειμένου. εἰ δὲ ἐπιμένει τὸ πάθος, καὶ δρώπακες κατὰ τῶν ὀφρύων ἐπιτιθέσθωσαν. ἕλκουσι γὰρ ἐκ τοῦ βάθους, θάλπουσί τε τὰ πεπονθότα, καὶ μετασυγκρίνουσι, καὶ ἀνεγείρουσι τὰ ἐσκιῤῥωμένα, ὥστε τοὺς μῦας ἀναῤῥωσθέντας εἰς ὑπόμνησιν ἔρχεσθαι τῆς κατὰ φύσιν ἐνεργείας. κεχρήσθωσαν δὲ καὶ χυλῷ τοῦ στύ-

πλου μετὰ μέλιτος ἐγχέοντες κατὰ τῆς ῥινός. καὶ ὁ χυλὸς δὲ τῆς ἀναγαλλίδος καλῶς ποιεῖ, ἀλλὰ καὶ τοῖς πταρμικοῖς δεῖ κεχρῆσθαι, τῷ στρουθίῳ μάλιστα, ἢ τῷ εὐφορβίῳ μετὰ καστορίου, ἢ τοῖς τρισὶν ἅμα.

Περὶ χείλους παρεθέντος, ἢ γλώσσης.

Εἰ δὲ χεῖλος εἴη τὸ πεπονθός, ἢ γλῶσσα, ἢ γνάθος, ἀποφλεγματισμοῖς μάλιστα δεῖ κεχρῆσθαι τοῖς ἀπὸ ἀγριοσταφίδος, καὶ μαστίχης, καὶ πεπέρεως, καὶ διαχρίειν τοῖς διὰ νάπυος, καὶ πασίλλοις τοῖς ἔχουσι τὸ ὕσσωπον, ἢ γλήχωνα, ἢ πέπερι. ταῦτα ποιεῖ ὡς δριμύτερα, καὶ νενεκρωμένην τὴν αἴσθησιν ἀνακαλεῖται. ὠφελεῖ δὲ αὐτοὺς καὶ ὁ ἀτμὸς τῶν καιομένων στροβίλων. δεῖ δὲ συγχωρεῖν, ὥστε τοὺς πάσχοντας ἐμφυσᾶν ἀνακαιομένου τοῦ στροβίλου. πολὺ γὰρ ὠφελοῦνται τοῦτο ποιοῦντες. εἰ δὲ πλῆθος παραφαίνοιτο παρενοχλοῦν τὸ νόσημα χρονίζον, καὶ τὰς ὑπὸ τὴν γλῶτταν τέμνειν φλέβας. ἄριστον γάρ ἐστι τοῦτο βοήθημα τοῖς ἔχουσιν ἐν τοῖς περὶ τὸ πρόσωπον μορίοις τὴν πάρεσιν. ἀλείμμασι δὲ χρήσῃ τοῖς διὰ καστορίου, καὶ μυελοῦ ἐλαφείου, καὶ στύρακος. πάντας ὠφελεῖ τοῦτο, καὶ μάλιστα δὲ τοὺς ἔχοντας τὴν πάρεσιν, εἰς τοὺς σιαγονίτας μύας. ἐπὶ δὲ τῶν ἄλλων χωρίων, οἷον χειρός, στομάχου, ἢ κύστεως, οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὸ λυσιπόνιον καλούμενον, σφόδρα ἐστὶν ἰσχυρὸν βοήθημα, οὗ ἡ γραφή ἐστιν αὕτη.

Ἡ γραφὴ τοῦ λυσιπονίου. Καστορίου, εὐφορβίου, πεπέρεως ἀνὰ Γο α', ἀμμωνιακοῦ θυμιάματος Γο β', ὀποπάνακος, χαλβάνης ἀνὰ Γο β', μυελοῦ ἐλαφείου Γο γ', τερεβινθίνης Γο ς', κηροῦ < α', ἐλαίου παλαιοῦ < α', δαφνίνου Γο γ', ἰρίνου, γλευκίνου, κυπρίνου ἀνὰ Γο γ'. τοῦτο τὸ βοήθημα χρησιμώτατόν ἐστι πρὸς πᾶσαν πάρεσιν, καὶ καθ' αὑτό, καὶ μετὰ πηγανίνου ἐλαίου. κεχρήσθωσαν δὲ τοῖς ἐπιθέμασι, τῷ τε διὰ δαφνίδων, τῷ ἀπολλοφάνους, ἢ τῷ διὰ κασίας, ἢ σαμψύχου, ἢ κάγχρυος, καὶ καθόλου τοῖς μετασυγκρίνειν δυναμένοις, καὶ ἀμύττειν τὴν ἐπιφάνειαν, τούτοις καὶ ἐπὶ τῶν τὰ ἰσχία πεπονθότων, καὶ νεύρων δυσαισθήτων, καὶ μὴ κατέχειν τὴν κόπρον δυναμένων. συμφέρει τούτοις καὶ τὰ δι' εὐφορβίου, καὶ καστορίου, καὶ νίτρου ἐνέματα, καὶ ὅσα σκόρδων καὶ πηγάνου ἔχει καὶ κυμίνου, συνεψηθέντων ἅμα ἐλαίῳ. εἰ δὲ οἱ περὶ τὴν ἕδραν μύες τὴν πάρεσιν ὑπέμειναν, διὰ τῶν ἐγκαθισμάτων αὐτοῖς βοηθεῖν χρή, καὶ τοῖς * ὑποτμισμοῖς. ἄριστος δέ ἐστιν ὁ μυλίτης λίθος. χρὴ δὲ ὑποτιθέντα τὴν χώνην αὐτῷ, δέχεσθαι τὸν φερόμενον ἀτμόν, περικαλυφθέντα ἱματίοις. οἴνῳ δὲ περιρραινέσθω μετὰ τὴν πύρωσιν ὁ λίθος. τούτοις καὶ τοῖς ὁμοίοις τούτων δεῖ κεχρῆσθαι, μόνον ἀμείβοντα τὸν τρόπον τῆς χρήσεως ἐπὶ τῶν πεπονθότων μορίων.

Κεφάλαια τοῦ ἑνδεκάτου βιβλίου.

Ἄλλο

Ἄλλο ποδῶν καὶ χειρῶν προφυλακτικόν. Πρὸς ποδάγραν.
Φυλακτικὸν ποδαγρικῶν.
Πρὸς ποδάγραν μηδέπω κονδύλους ἐχουσῶν, θαυμάσιον, καὶ διὰ πείρας.
Ποδαγρικὸν φυσικόν. Ἄλλο πρὸς ποδάγραν, καὶ πρὸς ῥεῦμα.
Βοήθημα ποδαγρικὸν πάνυ καλόν.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

Περὶ ποδάγρας. α'



Ο τῆς ποδάγρας πάθος εἰδέναι χρὴ πρό γε πάντων ὡς ἐκ πολλῶν καὶ διαφόρων αἰτιῶν ἔχει τὴν σύστασιν· ὅθεν, οἶμαι, διὰ τὸ ποικίλον τῆς γενέσεως οὔτε διαγνωσθῆναι καλῶς, οὔτε θεραπείας τελείας ἠδυνήθη ἐπιτυχεῖν. ὑπόληψιν δὲ ἐκ τούτου τὸ πάθος δυσίατον ἐκτήσατο καὶ μηδὲ ὅλως ὑπὸ τέχνης ἰατρικῆς ἰαθῆναί ποτε δύνασθαι. ἐγὼ δέ φημι, ὡς εἰ διαγνωσθείεν καλῶς αἵ τε διαφοραὶ καὶ τὰ εἴδη αὐτῆς, ὅσα τε καὶ οἷα τυγχάνει, εὐθεράπευτος μὲν ῥᾳδίως ὑπὸ τῶν ἰατρῶν γενήσεται. εἴπωμεν οὖν ἤδη τὰς διαγνώσεις αὐτῶν, εἶτα οὕτω καὶ τὰς θεραπείας. ἐλπίζω γὰρ ὅτι τοῖς γεγραμμένοις ἄν τις ἀκριβῶς προσέχοι, ὠφελήσει πολλούς, οὐ μόνον τοὺς ἀρχὴν ἔχοντας εἰς τὸ πάθος, ἀλλὰ καὶ τοὺς ἤδη κεχρονικότας ἐν αὐτῷ. πολλὰ μὲν οὖν εἰσιν αἴτια, τὰ τὴν δυσίατον τίκτοντα ποδάγραν. καὶ γὰρ αἷμα συῤῥυὲν ἐν τῇ τῶν ἄρθρων κοιλότητι θερμόν, καὶ διατεῖνον αὐτά τε καὶ τοὺς συνδέσμους, ὀδύνην ἐργάζεσθαι πέφυκε σφοδράν. ὁμοίως καὶ χολὴ πολλάκις ἐπιῤῥυεῖσα μεταξὺ τῶν νεύρων καὶ συνδέσμων, καὶ τῷ φλέγειν ἅμα καὶ διατείνειν, ἐπιφέρειν οἶδε μεγάλας ὀδύνας. ἔτι δὲ φλέγμα χωρηθὲν εἰς τοὺς εἰρημένους τόπους, ὀδύνης ἰσχυροτέρας αἴτιος γίνεται, ἅμα τε τῇ ψύξει, καὶ τῷ στενοχωρεῖν, καὶ διατείνειν αὐτούς. οὕτω δὲ καὶ ὁ μελαγχολικὸς χυμὸς οὐ μόνον τῷ ψύχειν καὶ θλίβειν, ἀλλὰ καὶ τῷ βάρους ἐπιτελεῖν αἴσθησιν, οὐ μετρίους ἐργάζεται τοὺς παροξυσμούς. οὐ μόνον δὲ διὰ ἐπίῤῥοιαν ὕλης οἱ ῥευματισμοὶ τοῖς ἄρθροις ἐπιγίνεσθαι πεφύκασιν, ἀλλὰ καὶ διὰ ψιλὴν ποιότητα μόνην, καὶ θερμὴν, καὶ ψυχράν. ἔτι τε ξηρότης τε καὶ ὑγρότης, αἴτια γίνονται πολλάκις ῥευματισμῶν. δεῖ οὖν ἀκριβῶς, ὡς ἔφημεν, ὑπολαβεῖν, ἥτις ἀκριβῶς ἐστιν ἡ ποιητικὴ τοῦ πάθους αἰτία, καὶ τὴν ἁρμόττουσαν ἐπιφέρειν βοήθειαν.

Περὶ τῆς ὑπὸ χολώδους χυμοῦ γινομένης ποδάγρας.

Ἀρξώμεθα οὖν ἀπὸ τῆς ἐπὶ χολώδει χυμῷ γινομένης ὀδύνης λέγειν. καὶ γὰρ τὰ πολλὰ τοῦ τοιούτου πλεονάζοντος χυμοῦ, οἱ ῥευματισμοὶ τοῖς ἄρθροις εἰώθασι γίνεσθαι. γνωριεῖς δὲ τὸ ἐπιῤῥέον ὑγρὸν εἰ χολῶδες εἴη, ἐκ τοῦ μηδένα φανερὸν ὄγκον ἐπιφέρεσθαι τοῖς ἄρθροις· ἔπειτα δὲ καὶ ἐκ τοῦ θερμασίας πυρώδους αἰσθάνεσθαι τὸν κάμνοντα μᾶλλον, ἢ περὶ διατάσεως, ἢ βάρους ἐγκειμένου τινός. ἔτι δὲ καὶ τὸ ἐρυ-

θερμὸν ὁρᾶσθαι τῇ χροιᾷ τὸ ὀδυνώμενον μόριον. καὶ χαίρειν μὲν τοῖς ἐμψύχουσι, καὶ ὠφελεῖσθαι μᾶλλον ὑπ᾽ αὐτῶν, ἢ ὑπὸ τῶν θερμαινόντων. λοιπὸν δὲ καὶ τὰ προηγησάμενα τῶν αἰτίων, ἔτι δὲ καὶ ἡ τοῦ κάμνοντος ἡλικία, καὶ κρᾶσις, ὥρα τε καὶ χώρα, καὶ τὰ ἄλλα ὅσα μεμαθήκαμεν, ἐνδείξεταί σοι τὸν πλεονάσαντα χυμόν, ὅτι χολώδης ἐστὶ καὶ θερμός. εἰ μὲν οὖν σοι φανείη τὸ ἐπιρρέον ἐν τοῖς ἄρθροις ὑγρὸν εἶναι, δριμύ τε καὶ χολῶδες ἐξ ὧν εἰρήκαμεν σημείων, εὔδηλον ὡς οὐ δεῖ ποιεῖσθαι κένωσιν αἵματος, ἀλλὰ χολαγωγῷ κεχρῆσθαι μᾶλλον φαρμάκῳ, πρότερον ὑγραίνοντα καὶ ἐπικεράσαντα τὸ δριμὺ τοῦ χυμοῦ, ἢ δακνῶδες. οὐ δεῖ δὲ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις, εἰ δεήσει, καθαίρειν τὸν κάμνοντα. οὕτω γὰρ ἀπείρατα καὶ ἀρρευμάτιστα φυλάξαι τὰ ἄρθρα δυνηθείης, οὐκ ἀθρόως, ἀλλὰ κατὰ μέρος ὑποκλέπτειν ἀεὶ σπουδάζων τὴν πλεονάζουσαν ὕλην.

Περὶ καθαρσίου χολώδη κενοῦντος χυμόν.

Ἔστω δὲ τὸ καθάρσιον ἁπλούστερον, οὐ πάνυ τι τῶν θερμαινόντων ὄφελον ἔχειν, οἷόν ἐστι καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν ῥόδων σκευαζόμενον, ἡδὺ τῇ ὀσφρήσει καὶ τῇ καταπόσει φαινόμενον, οὐκ ἀνατρέπον δὲ τὸν στόμαχον. δεῖ γὰρ καὶ τούτου φροντίζειν ἐπὶ τῶν ῥευματικῶν διαθέσεων, ὥστε μὴ κεκακῶσθαι τὸ στόμα τῆς γαστρὸς ὑπὸ τῶν προσφερομένων. ἀσθενοῦντι γὰρ αὐτῷ πάντα συμπάσχει τὰ νεῦρα καὶ ῥευματίζεται. ἔχει δὲ ἡ γραφὴ τοῦτον τὸν τρόπον, ῥόδων χυλοῦ ℥ β΄, μέλιτος ℥ η΄, σκαμμωνίας ὀπτῆς Γο η΄. ἕψε ὁμοῦ πάντα. ἡ τελεία δόσις * κο ε΄, ἡ ἐλάττω κο β΄, ἡμέρας γ΄. τὸ δὲ πλέον ἢ ἔλαττον, ἐκ τοῦ ποσοῦ ἢ ἐκ τοῦ πλεονάζοντος ὁριζέσθω χυμοῦ. Ἄλλο τὸ αὐτό. Πρὸς δὲ τοὺς ἔχοντας ἠρέμα τὸ στόμα τῆς γαστρὸς ψυχρότερον, οὐδέν ἐστιν ἄτοπον καὶ πεπέρεως αὐτῷ προσπλέκειν. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτω, ῥόδων χυλοῦ ℥ α΄, σκαμμωνίας Γο α΄, ἀγαρικοῦ < η΄, πεπέρεως ℈ β΄, μέλιτος Γο ϛ΄. ἕψε μαλακῷ πυρί, καὶ ὅταν συστραφῇ, τότε ἐπίβαλλε τὴν σκαμμωνίαν, καὶ τὸ ἀγαρικόν, καὶ τὸ πέπερι, καὶ οὕτω χρῶ. ἡ δόσις * κο ε΄ ἢ ϛ΄, πρὸς τὴν δύναμιν. Ἄλλο τὸ διὰ τῶν κυδωνίων μήλων καθάρσιον. Λαβὼν μῆλα κυδώνια η΄, ἐπίβαλλε σκαμμωνίας Γο α΄, καὶ περίπλασσε ἔξωθεν αὐτῶν ζύμῃ, καὶ δίδου ὀπτᾶσθαι. μετὰ δὲ τὸ ὀπτηθῆναι αὐτὰ καλῶς, ἐπίβαλλε αὐτοῖς μέλιτος τὸ ἀρκοῦν, ὥστε μήτε παχὺ γενέσθαι, μήτε λίαν ὑγρόν. καὶ δίδου * κο β΄ ἢ γ΄, πρὸς τὴν δύναμιν. τοιαῦτα μὲν εἰσὶ τὰ καθάρσια τοῖς πίνειν αὐτὰ ἡδέως ἔχουσιν. εἰ δὲ μὴ προσφέρεσθαι πόμα βούλοιντο, καὶ καταπότια, αὐτοῖς τὸν ὀπὸν τῆς σκαμμωνίας ποιητέον. ἔχει δὲ οὕτως, ἀψινθίου < γ΄, σκαμμωνίας ℈ α΄, μίξας ὀλίγου ῥοσάτου, καὶ ποιήσας κόκκους, δίδου ἁπλῆν τὴν σκευασίαν, ποτὲ δὲ διπλῆν, πρὸς δύναμιν καὶ τὴν ποσότητα τοῦ χυμοῦ. οὕτω μὲν δὴ τοὺς ἐπὶ χολώδει χυμῷ ῥευματιζομένους τὰ ἄρθρα καθαίρειν δεῖ. οὐ δεῖ δὲ δι᾽ αὐτοῦ μόνου πρόνοιαν ποιεῖσθαι τοῦ σώματος, ἀλλὰ καὶ τὰ πάσχοντα μόρια ἐμψύχειν καὶ παρηγορεῖν σπουδάζειν, ὥστε μὴ διὰ τὴν ἄπειρον πύρωσιν, ἢ τὴν πολλὴν ὀδύνην τῶν ἄρθρων, ἐπὶ πλέον ῥευματίζεσθαι τὰ μόρια. καὶ γὰρ ἡ θερμασία τῶν πεπονθότων μορίων, ἕλκειν εἰς ἑαυτὰ πέφυκε τὴν ὕλην, καὶ ὀδύνην πάλιν ἐπισπᾶσθαι. διὰ τοῦτο οὖν ἀμφοτέρων προνοεῖσθαι σπουδάζειν χρή, ἐμψύχειν τε καὶ παρηγορεῖν, ὥστε εὔκρατα καὶ ἀνώδυνα γίνεσθαι τὰ μόρια. κάλλιστον οὖν ἐστιν ἐπὶ τούτων, τό τε ῥόδινον ἐπιβαλλόμενον ἑκάστης ἡμέρας τοῖς πεπονθόσι, καὶ ἀνατριβόμενον ἠρέμα. βέλτιον οὖν ποιήσει τις προσμίξας λέκυθον ὠοῦ, καὶ οὕτω χρῖσμα ποιήσας,

οὕτως

οὕτως διατρίβειν ἐθελήσειε τὰ πεπονθότα, πρός τε τῷ ὕπνῳ ἐν ἑσπέρᾳ, καὶ πάλιν ἕωθεν. τὸ δὲ αὐτὸ τοῦτο καὶ προφυλακτικὸν εἶναι δύναται κατὰ τὸν καιρὸν τῆς ὑγείας, εἴ τις καθεύδειν μέλλων, καὶ προϊέναι, χρώμενος εἴη καθ' ἑκάστην ἡμέραν. χρὴ δὲ μὴ μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἐμψύχουσι καὶ ῥωννύειν τὰ ἄρθρα δυναμένοις κεχρῆσθαι, περὶ ὧν μετ' ὀλίγον ῥηθήσεται. τὰ νῦν δὴ ἀπὸ τῆς διαίτης ἀρξώμεθα, διδάσκοντες ὡς δεῖ καὶ αὐτὴν μηδὲν ἔχειν θερμὸν, ἤτοι χολὴν ὅλως τίκτειν δυνάμενον. οὕτω μὲν οὖν προνοεῖσθαι δεῖ τοῦ τε ὅλου καὶ τῶν πεπονθότων μορίων. λοιπὸν δὲ καὶ τῇ διαίτῃ προσέχειν, ὥστε καὶ αὐτὴν ἐμψύχουσαν τε καὶ ὑγραίνουσαν εἶναι· παραιτεῖσθαι δὲ πᾶν ὅ,τι ἂν θερμαῖνον, πάνυ τε χολῶδες τίκτειν δύναται. Ἄλλο πρὸς τοὺς βραδύτερον καθαιρομένους. Ῥόδων χυλοῦ Γο γʹ, σκαμμωνίας Γο αʹ, μέλιτος Γο αʹ, τιθυμάλου ὀποῦ ʒ γʹ, δίδου κοχλιάριον αʹ, ἢ βʹ, πρὸς δύναμιν. ποιεῖ πρὸς πολλὰ τὸ καθάρσιον τοῦτο, καὶ πρὸς τριταΐζοντας, καὶ ἰκτερικοὺς, καὶ ὀφθαλμιῶντας. καί ἐστιν ἄλυπον σφόδρα καὶ ὀξύ. καὶ θαρρῶν αὐτὸ δίδου, ὡς ἂν βούλει, καὶ μάλιστα ἐπὶ τῶν πυρεσσόντων, μετὰ χυλοῦ πτισάνης. Περὶ λαχάνων. Λαχάνων δὲ προσφερέσθωσαν ἴντυβόν τε καὶ θριδακίνην, καὶ μαλάχην. εἰ δὲ ἡδέως ἔχοιεν, καὶ βλῆτον, καὶ χρυσολάχανον, καὶ σόγχον, καὶ πᾶν ὁτιοῦν ψύχειν τε καὶ ὑγραίνειν δυνάμενον. κράμβην δὲ καὶ κάρδαμον, καὶ εὔζωμον, καὶ πράσον, καὶ σκόροδον, ὡς πολέμια φεύγειν δεῖ. Περὶ ὀρνίθων. Τῶν δὲ ὀρνίθων προσφερέσθωσαν, τῶν τε φασιανῶν, καὶ τῶν κατοικιδίων ὀρνίθων τὰ μὴ λιπαρὰ, καὶ ἀτταγῆνας, καὶ πέρδικας, καὶ κοσσύφους, καὶ κίχλας.

Περὶ ἰχθύων. Καὶ τῶν ἰχθύων τοὺς πετραίους μάλιστα, καὶ τῶν ἄλλων οἷς ἡ οὐσία λευκὴ καὶ ψαφαρὰ κατὰ φύσιν, καὶ οὐδὲν ἔχουσα πιμελῶδες. τὰ μέντοι ἐκ λίμνης παραιτείσθωσαν. ἔστωσαν δὲ πάντων αἱ ἀρτύσεις ἀπέριττοι, μήτε ἐλαίου πολὺ, μήτε τῶν δριμέων σπερμάτων προσλαμβάνουσαι. Περὶ ἰσικοῦ. Καὶ ὁ ἰσικὸς δὲ ὁ ἐκ τούτων ὠφέλιμός ἐστι, καὶ μάλιστα ὁ ἐκ τῶν σκληροτέρων, οἷον, ὀρφοῦ, κηρίδος, τευθίδος, σηπίας, κτενίων. καὶ τῶν ὀστρακοδέρμων δὲ μὴ φοβεῖσθαι ἐπιδιδόναι. Περὶ κρεῶν. Καὶ τῶν προβατείων δὲ κρεῶν προσφερέσθωσαν τὸ ἀπόζεμα, καὶ μάλιστα τῆς κοιλίας τῶν βοῶν. ὁμοίως γοῦν οἶδά τινας τῶν οὕτω ῥευματιζομένων ἐπὶ πλεῖστον καὶ δριμεῖ ῥεύματι, μέγιστα ὠφελουμένους ὑπὸ τῶν βοείων κρεῶν. οὐκέτι γὰρ οὔτε συνεχῶς, οὔτε σφοδρῶς ἔλεγον ἀλγεῖν τοὺς πόδας, * ὥσπερ ἐν τῇ λεπτυνούσῃ διαίτῃ κεχρημένος ἦν. ἐσθίειν δὲ τοὺς πόδας αὐτῶν μᾶλλον καὶ τὰς κοιλίας, ἀποζέματος. ἢν δὲ αὐτὸς ἀκμάζων τὴν ἡλικίαν, καὶ θερμὸς τὴν κρᾶσιν. Περὶ ὀσπρίων. Τῶν δὲ ὀσπρίων προσφερέσθωσαν αὐτοὺς τε τοὺς κυάμους χλωροὺς, καὶ τῶν ξηρῶν τοὺς ἀκροζέσους, καὶ τοῦ φασιούλου τοῦ ἀλεξανδρινοῦ, μάλιστα τοῦ ἀποβραχέντος, καὶ τῆς τήλεως τοὺς βλαστοὺς, * καὶ ἄλλης καὶ πτισάνης, οὐδὲν ἄτοπον αὐτοὺς προσφέρεσθαι. τὰ δ' ἄλλα τῶν ὀσπρίων κάλλιόν ἐστιν αὐτοὺς παραιτεῖσθαι. Περὶ ὀπωρῶν.

Καὶ τῶν ὀπωρῶν τὴν πάνυ γλυκεῖαν καὶ πέπειρον συμβουλεύω προσφέρεσθαι, περὶ ὥραν δευτέραν ἢ τρίτην, μάλιστα τῶν περσικῶν ἢ ῥοδακίνων, καὶ σταφυλῆς τῆς σκληρᾶς, καὶ ἀστύφους ἐχούσης τὰς ῥάγας, καὶ δαμασκηνῶν, καὶ μήλων τῶν γλυκέων, καὶ κιτρίων καθαρθέντων, καὶ λελεπισμένων, καλῶς ποιεῖ. ἀπίων δὲ καὶ ῥοιῶν καὶ τῶν ἄλλων ἁπάντων σπανίως ἢ μηδὲ ὅλως προσφέρεσθαι δεῖ. Περὶ τραγημάτων. Τῶν δὲ τραγημάτων συμφέρει μάλιστα τὰ κάστανα λαμβάνειν, μήτε καρύων,

ἢ στροβίλων, ἢ ἀμυγδάλων ἐσθίειν, ἀλλὰ μηδὲ πλακούντων, ἢ κρεαδίων. ἅπαντα γὰρ ταῦτα βλαβερὰ τοῖς διὰ χολῶδες περίττωμα ῥευματιζομένοις τὰ ἄρθρα.

Περὶ κινήσεως. Κινείσθωσαν δὲ μετρίως ἄνευ κόπου πολλοῦ, καὶ πρὸ τροφῆς μᾶλλον, ἢ μετὰ τροφήν. ὁ γὰρ κόπος, ἐναντιώτατός ἐστι τούτοις ἐκθερμαίνων ἐπὶ πλέον καὶ ἐκπυρῶν τὰ ἄρθρα, ἕλκειν τε παρασκευάζων εἰς αὐτὰ, καὶ ἐπισπᾶσθαι πάλιν ἑτέραν ἐκ τῶν πορρωτέρω μορίων ὕλην, αἴτιός τε διὰ τοῦτο γινόμενος ῥευματισμῶν. Περὶ βαλανείων. Βαλανεῖα δὲ τούτοις τὰ ἀπὸ τῶν γλυκέων ὑδάτων συμφέρει, καὶ τὰ ἐν ἑσπέρᾳ δὲ μᾶλλον τῶν ἑωθινῶν. τὰ γὰρ μετὰ τὸ τραφῆναι, μεγίστην κέκτηται δύναμιν, εἰς τὴν τῶν θερμῶν δυσκρασίαν καὶ ἐπανόρθωσιν, καὶ μάλιστα ἐπὶ τῶν ἰσχνῶν καὶ ξηροτέρων καὶ δριμυτέρων σωμάτων. ἐπὶ γὰρ τῶν τοιούτων καθ' ἑκάστην ἡμέραν εἰ παραβάλῃς λουτρὰ, οὐ βλάψεις, ἀλλὰ καὶ ὠφελήσεις τὰ μέγιστα. πρὸ δὲ τοῦ μέλλειν εἰς τὸν ἀέρα τὸν θερμὸν εἰσιέναι, συμφέρει τούτοις ὕδατι ψυχρῷ περιρραίνειν τοὺς πόδας. εἰσελθόντας δὲ κατὰ τὸν μέσον οἶκον, εἶτα μετρίως ἱδρώσαντας, περιχυθῆναι σίτλας χλιαρὰς, καὶ οὕτως ἀλείφεσθαι τὸ ὅλον σῶμα ὑδρελαίῳ. εἶτα δὲ χρὴ καὶ τὸν ἀέρα τοῦ λουτροῦ εὔκρατον, ὁμοίως δὲ καὶ τὴν τοῦ λουτροῦ δεξαμενήν. χρὴ δὲ μετὰ τὸ ἀλείφεσθαι, προόδῳ χρησάμενον, εὐθέως ἐν τῇ τοῦ θερμοῦ εἰσιέναι δεξαμενῇ. εἰ δὲ τύχῃ καὶ ψυχρὸν ὕδωρ ἐπιρρεῖν, ὑποτιθέτω κατὰ τοῦ κρουνοῦ τοὺς πόδας, πρὶν εἰς αὐτὴν εἰσιέναι. ἐξελθὼν δὲ πάλιν ἐκ τῶν θερμῶν, κατερχέσθω πάντως εἰς τὴν τοῦ ψυχροῦ δεξαμενὴν, καὶ εἰ θέρος εἴη, καὶ ἡδέως ἔχοιεν, νηχέσθωσαν ἐν αὐτῇ. μετὰ δὲ τὸ περιβάλλεσθαι τὰ σάβανα, πάλιν ἐπιβαλλέσθωσαν ψυχρὸν ὕδωρ τοῖς ποσίν. ἀνελθὼν δὲ εἰς τὸν οἶκον ἀπὸ τοῦ λουτροῦ, μὴ εὐθὺς πινέτω οἶνον, καὶ μάλιστα τὸν ἄκρατον, ἀλλὰ πτισάνης χυλὸν, ἢ εὔκρατον προσφερέσθωσαν πρότερον. ἐν δὲ τῷ μέσῳ τοῦ ἀρίστου, εἰ μὲν θέρος εἴη, ψυχρὸν ὕδωρ, εἰ δὲ χειμὼν, εὔκρατον πινέτωσαν.

Περὶ περιπομάτων. Τῶν δὲ περιπομάτων ἀπεχέσθωσαν. εἰ δὲ ἄρα ἡδέως ἔχοιεν, λαμβανέτωσαν ἢ ῥοσάτου, ἢ ἀψινθάτου, ψυχρίζοντες ὡσαύτως, καθάπερ εἰώθασι ποιεῖν οἱ ῥωμαῖοι τὸ καλούμενον * ῥαικεντάτον. οὕτω μὲν προφυλάττεσθαι χρὴ τοὺς ἐπὶ χολώδει χυμῷ ῥευματιζομένους τὰ ἄρθρα. εἰ δέ ποτε συμβῇ πάλιν ἐπιρρευματισθῆναί τινα, διὰ τὸ ἀφυλακτότερον αὐτὸν, οἷα εἰκὸς, διαιτηθῆναι, τοιαύτῃ ἀγωγῇ κεχρῆσθαι δεῖ, καὶ μηδὲν τῶν θερμαινόντων προσφέρειν, ἀλλ' ὅσα μᾶλλον τῆς ψυχούσης ἐστὶ δυνάμεως, ἐξ ὧν ἐστι ψύλλιόν τε, καὶ στρύχνος, καὶ ἀνδράχνη, ὑοσκύαμος, ἀείζωον, θριδακίνη, καὶ ὁ ἐκ τῶν τελμάτων φακός. ἀλλὰ ταῦτα μὲν ἅπαντα καθ' ἑαυτὰ λειούμενα, καὶ μάλιστα χλωρὰ, παρηγορεῖν εἰσιν ἱκανὰ τὰς ἐν τοῖς παροξυσμοῖς γινομένας ὀδύνας. ἔτι δὲ μᾶλλον εἰ καὶ ἐν βρέγμασιν ἀλεύροις ἐκ κριθῶν πεποιημένοις ἐπιμίξειέ τις, ἢ μίαν, ἢ δύο ἐκ τῶν εἰρημένων. πρὸς δὲ τὸ μὴ ξηραίνεσθαι καλόν ἐστι καὶ ῥόδινον ἐπιβάλλειν τῷ καταπλάσματι. ψυχρά τε προσφερέσθω τούτοις ἅπαντα, καὶ συνεχέστερον ἀμειβέσθω, χάριν τοῦ τὴν ψυχρότητα παραμένειν. εἰδέναι δὲ δεῖ ὡς τὸ σπέρμα τοῦ ψυλλίου βρεχόμενον δι' ὕδατος, ἀνακοπτόμενόν τε φιλοπόνως καὶ γλοιῶδες γινόμενον, ἀναμιγνύμενόν τε τοῖς κριθίνοις ἀλεύροις, θαυμαστῶς τὰς ὀδύνας οἶδε παρηγορεῖν, καὶ τὸ ζέον καὶ πυρῶδες ἀποσβεννύειν τῆς ὀδύνης, καὶ εἰς εὐκρασίαν φέρειν τὰ πεπονθότα. εἰ μὲν οὖν εὐπορεῖς τῶν βοτανῶν, ἀγαθόν ἐστι κεχρῆσθαι ταύταις. εἰ δὲ μὴ ἔχει ὁ καιρὸς, ἀντὶ τούτων τῇ ῥοδί-

νη κη-

νη κηρωτῇ παρηγορεῖν, ἀπομάχεσθαι δυναμένη καλῶς πρὸς τὰς θερμὰς δυσκρασίας, ἀλλασσομένη μάλιστα συνεχέστερον. δεῖ δὲ ψυχρίζειν τὸν κηρὸν ἅπαξ καὶ δίς, ἀναπάσσοντας τὸ πρότερον ὕδωρ. ἰσχυρότερον δὲ αὐτὸ ποιήσεις, εἰ ὄμφακος χυλὸν, ἢ ἀνδράχνης, ἢ τὰ λευκὰ τῶν ὠῶν, καὶ πλιασλύης χυλὸν παραπλέξεις. πρὸς δὲ τὰς μὴ πολὺ πυρώδεις δυσκρασίας ἄριστα ποιεῖ καὶ ἡ διὰ τοῦ κυαμίνου ἀλεύρου κηρωτή. ἔχει δὲ οὕτω, κηροῦ γο ε', χαμαιμήλου γο β' S'', ῥοδίνου γο β' S'', κυαμίνου ἀλεύρου γο S'', ὠῶν πέντε τὰς λεκύθους. λεάνας πρότερον τὰ πυῤῥὰ τῶν ὠῶν, εἶτα ποιήσας κηρωτὴν καὶ ἀναμίξας ἐν τῇ θυΐᾳ, καὶ ἀναλαβὼν, χρῶ συνεχέστερον. εἰ δὲ ὀδύνη τις εἴη πολλὴ, καὶ τὰ διὰ κρόκου καὶ χυλοῦ * κρείου, καὶ γλαυκίου, καὶ ὀπίου βραχέος σκευαζόμενα προσφέρειν δεῖ. δεῖ δὲ οὕτω ποιεῖσθαι τὴν δόσιν μετὰ ὀξυκράτου. εἰδέναι δὲ δεῖ ὡς φυλάττεσθαι χρὴ τῶν ναρκωτικῶν ἐπιθεμάτων τέ καὶ χρισμάτων τὴν πλείονα χρῆσιν, μειζόνως βλαπτόντων αὐτοὺς μᾶλλον ἢ ὠφελούντων. εἰ δὲ ἄρα διὰ σφοδρὰν ὀδύνην καὶ πύρωσιν ἀναγκασθῶμεν αὐτοῖς κεχρῆσθαι, προσέχειν ἀκριβῶς δεῖ, καὶ μὴ ἐπὶ πολὺ συγχωρεῖν ἐπικεῖσθαι τὰ τοιαῦτα τῶν βοηθημάτων, ἀλλ' εἴτε χρίσματα, εἴτε φάρμακα τύχῃ εἶναι τὰ προσφερόμενα, δεῖ σπουδάζειν εὐθὺς ἅμα τῷ παύσασθαι τὸ ζέον τῆς ὀδύνης, ἀφαιρεῖν αὐτὰ παντελῶς. ἅπαντα γὰρ ταῦτα χρονίζοντα νάρκην καὶ δυσκινησίαν ἐν τοῖς ἄρθροις πέφυκεν ἀποτίθεσθαι. εἰ οὖν συμβῇ τινα γεύσασθαι τῶν τοιούτων, ἀμετρότερον ἡμῶν αὐτοῖς χρησαμένων, δυσκινησίαν, ἢ νάρκην, καλόν ἐστι τηνικαῦτα καὶ τῇ διὰ χυλῶν ἀναλυθείσῃ μετὰ χαμαιμηλίνου χρήσασθαι, ἢ τῇ δι' ἀλθαίας. ταῦτα γὰρ ἅπαντα πέττειν οἶδε, καὶ ἀνακαλεῖσθαι τὰς ἀπὸ τῆς τῶν ψυχόντων ἀκαίρου προσφορᾶς ἐπιγινομένας νόσους. ἡ δὲ γραφὴ τοῦ δι' ἀλθαίας φαρμάκου ἐστὶν ἥδε. Φάρμακον τὸ δι' ἀλθαίας. Τήλεως, λινοσπέρμου, ἀλθαίας ἀνὰ γο η', ἑψηθέντων ὁμοῦ, κηροῦ, κολοφωνίας ἀνὰ λι α', ἐλαίου λι β', χαλβάνης χρηστῆς γο η', ἑψήσας τὸν χυλὸν μετὰ τοῦ ἐλαίου ἄχρις οὗ δαπανηθῇ ὁ χυλὸς ὅλος, βάλε τὴν κολοφωνίαν, καὶ ἄρας ἀπὸ τοῦ πυρὸς τὴν κηρωτὴν, βάλε εἰς ἀγγεῖον, καὶ χρῶ. ποιεῖ καὶ ἡ ὑπὸ πολλῶν σκευαζομένη, ἀλλὰ ταύτης πολλὴν ἐσχήκαμεν πεῖραν, οὐ μόνον ἐπὶ ποδαγρικῶν, ἀλλὰ καὶ ἐπὶ σπλάγχνων σκληρίαν ἐχόντων, καὶ ἄλλων ὁμοίων πολλῶν. μετὰ δὲ τὸ ἀναθάλψαι τὰ κατεψυγμένα, καὶ πάλιν ἄρξασθαι τὰ ἄρθρα τὴν ἰδίαν ἀναλαμβάνειν κίνησιν, ἀναγκαῖόν ἐστι καὶ τοῦ ῥώμην ἐντιθέναι φροντίζειν τοῖς μορίοις, ὥστε μὴ ῥευματίζεσθαι ταχέως τοῦ λοιποῦ. ἔσται δὲ τοῦτο κάλλιον, ἐὰν τῇ φοινίκῃ χρησώμεθα ταχείσῃ σὺν ὄξει ῥοδίνῳ. μὴ παρόντος δὲ ῥοδίνου, τὸ ὠμοτριβὲς ἔλαιον, ἔσται σοι χρήσιμον. δεῖ δὲ πρότερον αὐτὴν ἁπαλωτέραν ἐπιτιθέναι, καὶ προσηνῆ τὴν σύστασιν ἔχουσαν. ὕστερον δὲ λοιπὸν τῶν ἄρθρων κινουμένων, καὶ τὰ σκληρὰ ἐχεκόλλων ἔχοντα σύστασιν εὔλογόν ἐστι προσφέρειν. εἰ δὲ μὴ ὁ κάμνων φάρμακα δυνηθείη φέρειν. πολλοὶ γάρ εἰσι βαρυνόμενοι τὴν τῶν φαρμάκων ἐπίθεσιν. οὐδὲν ἄτοπόν ἐστιν ἐπὶ τούτων κεχρῆσθαι καὶ ἄλλοις τισὶν ἐπιῤῥωννύειν τὰ πεπονθότα δυναμένοις. εἰσὶ μὲν οὖν πάμπολλα. μάλιστα δὲ καὶ ὁ χυλὸς ἐπιχριόμενος τῆς ἀκακίας, ἅμα ὀξυκράτῳ, τό, τε λύκιον ἅμα κρόκῳ, καὶ γλαύκιον, καὶ ὁ χυλὸς τῆς περδικιάδος ἐπιχριόμενος ἰσχυρὰν ἔχει τὴν δύναμιν, ἅμα ὀξυκράτῳ. εἰσὶ δὲ καὶ ἄλλα τὴν αὐτὴν δύναμιν ἔχοντα τούτοις, ἀλλ' ἀρκείτω καὶ ταῦτα, βραχέα μὲν εἶναι δοκοῦντα τοῖς εἰρημένοις, ἰσχυρὰν δὲ τὴν δύναμιν κεκτημένα.

καὶ εἴ τις αὖθις ἐθέλει καὶ ἐν τῷ τῆς ὑγείας χρόνῳ κεχρῆσθαι, θαρρῶν ἔστω ὅτι ὑγιῆ καὶ ἀρρευμάτιστα διαφυλάξει τὰ πρὶν εἰωθότα μόρια πάσχειν τε καὶ ῥευματίζεσθαι συνεχῶς.

Περὶ τῆς ἀπὸ φλέγματος γινομένης ποδάγρας.

Οὕτω μὲν οὖν ἰᾶσθαι χρὴ τοὺς ἐπὶ χολώδει χυμῷ καὶ θερμῷ καὶ δριμεῖ ῥευματιζομένους. εἰ δὲ τύχοι τὸ ἐπιρρέον εἶναι φλεγματῶδες, καὶ ψυχροῦ ἐπιρρέοντος αἰσθάνεσθαι περὶ τὰ πεπονθότα, μήτε δὲ ἐξέρυθρα, μήτε ζέοντα εἶναι τὰ μόρια, ἀλλὰ μᾶλλον ἀποτεταμένα, ὑπὸ τῶν θερμαινόντων μὲν ὠφελεῖσθαι, ἀνιᾶσθαι δὲ καὶ βλάπτεσθαι ὑπὸ τῶν ψυχόντων· πρὸς τούτοις δ' ἔτι καὶ εἰ ὁ προηγησάμενος αὐτοῦ βίος εἴη ψυχρός, μᾶλλον φλεγματώδη εἶναι τὴν ἐν τοῖς ἄρθροις ἐπιρρέοντα χυμὸν ἐνδείκνυται. ἀργίαι γὰρ ὡς ἐπὶ τὸ πολὺ προηγοῦνται μᾶλλον, ἢ γυμνασία, καὶ πλειόνων ἐδεσμάτων, καὶ κακοχύμων συνεχὴς προσφορά, οἷον, ἰσικίων, ἀστακῶν, ἢ κηρυκίων, ἢ κτενίων, ἢ πολυπόδων, ἢ ὀστρείων, ἢ πλειόνων ὀπωρῶν, καὶ λουτρῶν ἀκαίρων χρήσεις. εἰ οὖν καὶ ταῦτα πρὸς τοῖς ἄλλοις σημείοις ἐνδείξεταί σοι μᾶλλον εἶναι τὸ ἐπιρρέον ψυχρόν τε καὶ φλεγματῶδες, θαρρῶν τότε λοιπὸν ἔρχου ἐπὶ τὴν θεραπείαν αὐτῆς. Περὶ θεραπείας. Λέγωμεν οὖν ἤδη πῶς χρὴ καὶ τὸ ψυχρὸν εἶδος ἰᾶσθαι τῆς ποδάγρας. ὅτι μὲν οὖν ἡ διὰ ψυχρὸν χυμὸν γινομένη τοῖς ποσὶν ἐπίρροια τῶν θερμαινόντων ἀεὶ δεῖται βοηθημάτων, ἅπασι πρόδηλον, ἀλλ' ἐπειδὴ τὸ φερόμενον ὅμοιον οὐκ ἔστιν ἀεί, οὔτε κατὰ ποσότητα, ἢ ποιότητα, ἢ σύστασιν, ἀλλὰ τοῖς μὲν πολὺ τὸ ἐπιρρέον, τοῖς δὲ ὀλίγον· καὶ τοῖς μὲν παχύ, τοῖς δὲ λεπτόν· καὶ τοῖς μὲν ἐπιπολῆς, τοῖς δὲ περὶ τοὺς ἔνδον ὑμένας, ἀνάγκη πρός τε τὸ ποιὸν καὶ τὸ ποσὸν τῆς παρὰ φύσιν διαθέσεως προσέχοντας, οὕτω καὶ ἡμᾶς ὁμοίως ἐφαρμόζειν τό, τε ποσὸν καὶ τὸ ποιόν, καὶ ἁπλῶς εἰπεῖν, τὸν τρόπον ἅπαντα τῆς θεραπείας ποιεῖσθαι πρὸς τὴν ὑπαγορευομένην διάθεσιν. εἰ μὲν οὖν σοι φανείη τὸ λυποῦν εἶναι φλέγμα, ἀναγκαῖον τοῦτο κενῶσαι πρό γε πάντων * εἰς ἡμᾶς. ἀμήχανον γάρ ἐστι τοῖς μερικοῖς χρώμενον βοηθήμασιν ὠφελῆσαί τι, μὴ τὸ ὅλον σῶμα πρότερον ἀπέριττον ἐργασάμενον. εἰ δὲ μὴ μόνον εἴη φλεγματικὸν τὸ λυποῦν, ἀλλὰ καὶ σὺν αὐτῷ φαίνοιτό σοι καὶ αἱματικὸς ἅμα πλεονάζειν χυμός, ἀμφότερα δεῖ πράττειν· ἀλλὰ τὴν μὲν φλεβοτομίαν πρότερον, εἶτα οὕτως ἀναλαμβάνοντας τὴν δύναμιν, ἐπὶ τὸ καθάρσιον ἔρχεσθαι τὸ δυνάμενον ἑλκῦσαι παχὺ φλέγμα, καὶ μὴ ὀρρῶδες, ὥσπερ ποιοῦσι πολλοί, λαθυρίδας τὲ καὶ ὀπὸν τιθυμάλου καὶ κνίδειον κόκκον παρέχοντες αὐτοῖς, οἳ τὰ λεπτὰ κενοῦντες ῥεύματα, αἴτιοι μᾶλλον βλάβης ἢ ὠφελείας γίνονται, παχυτέρους ἔτι καὶ ξηροτέρους καὶ δυσδιαφορήτους ἐργαζόμενοι τοὺς χυμούς. δεῖ οὖν ἀεὶ φεύγειν τὰ τοιαῦτα. εἰ δ' ἄρα καὶ δώσει τις, ἐπιμιγνύειν αὐτοῖς ἐχρῆν τινα τῶν λεπτυνόντων. οὕτω γὰρ ἡ ἐπιμιξία τῶν τοιούτων ἀβλαβῆ τὴν ἐξ αὐτῶν ἐργάσεται κένωσιν. τὸ γοῦν ἰουλιανὸν ὀξύμελι τοιοῦτόν ἐστι, συγκείμενον ἔκ τε τῶν λεπτύνειν δυναμένων, ὑποκαθαῖρόν τε οὐ μόνον εἴ τι λεπτόν, ἀλλὰ καὶ παχὺ προσαποπεπλασμένον ἐν τοῖς ἄρθροις καὶ ἐμφωλεῦον ὑπάρχει. ἔστι δ' αὐτοῦ ἡ σύνθεσις ἥδε. Τὸ ἰουλιανὸν ὀξύμελι. Πηγάνου, ὀριγάνου, λαθυρίδων, δαδῶν, ἀλυπιάδος, σκίλλης, ἀκτῆς ἀκρεμόνων, γλήχωνος ἀνὰ γο γ', θύμου κόμης γο δ', ἀνήθου, μανδραγόρου ῥίζης ἀνὰ γο S'', ἴρεως, φύλλου, κόστου, ναρδοστάχυος, ἀσάρου, ἐλλεβόρου λευκοῦ, * λεσβίου, ἀμώμου, ὑπερικοῦ, κυ-

μίνου

μίνου ἀνὰ ℥ α΄, ἀγαρικοῦ, πολυποδίου, ἐπιθύμου, ἀνίσου ἀνὰ ℥ β΄, ῥέου ποντικοῦ ℥ α΄ S΄΄. τὰς λαθυρίδας καὶ τὸν κόστον, καὶ κνίδιον κόκκον, καὶ τὸ ναρδόσταχυ ἐπίπασσε εἰς τὸ ἑψηθὲν ὀξύμελι. ἔστω δὲ τοῦ μὲν ὄξους ξε ι΄ ἢ ιγ΄. τοῦ δὲ μέλιτος ξε ε΄. εἰς τὸ ὄξος ἀποβρέχων τὰς βοτάνας, ἔασον ἄχρι τριῶν ἡμερῶν, εἶτα οὕτως ἕψησον ἄχρις οὗ τὸ πλεῖον τοῦ ἡμίσεος ἀναλωθῇ, εἶτα σύμπλεξον τὸ μέλι, οὕτω τε ἐπίπασσε τὰ ὀφείλοντα ἐπιπασθῆναι, καὶ συλλειώσας τὸν κνίδιον κόκκον καὶ τὰς λαθυρίδας, ἀναλάμβανε, καὶ χρῶ πρὸς δύναμιν. ἡ δόσις ἡ τελεία ℥ δ΄ S΄΄, ἐν ἄλλῳ ℥ α΄, ἡ δὲ ἐλάττων ʒ η΄. οὕτω μὲν σκευάζουσιν οἱ πολλοί. ἐγὼ δὲ μόνον ἐν τῷ ὀξυμέλιτι ἀγαρικὸν λεπτὸν καὶ χνοῶδες γενόμενον ἐπιπάσσων, ἡδύτερον καὶ ἀλυπότερον ἀπετέλεσα. πολλάκις δὲ αὐτῷ σκαμμωνίαν προσπλέκομεν, ἰσχυρότερον καθᾶραι βουλόμενοι. εἰ δὲ μὴ ἔχοιεν ἡδέως ὀξυμέλιτος λαμβάνειν, τούτοις δίδου τὰ καλούμενα καταπότια, ἐμβαλὼν ἐν τοῖς ὠοῖς. ἔστωσαν δὲ τοιαῦτα, ὥστε δύνασθαι καὶ αὐτὰ τῶν ἄρθρων ἐκκαθᾶραι τά τε γλίσχρα καὶ παχύχυμα τῶν περιττωμάτων. πολλὰ μὲν οὖν εἰσι τοιαῦτα. πλείω δὲ πάντων οἱ ὑφ᾿ ἡμῶν σκευαζόμενοι κόκκοι. ἔστω δὴ αὐτῶν ἡ σύνθεσις τοιαύτη, ἀλόης ἡπατίτιδος, κολοκυνθίδος, ἑλλεβόρου μέλανος φλοιοῦ ἀνὰ ℥ α΄, εὐφορβίου, νίτρου ἀνὰ ℥ δ΄ S΄΄. χυλῷ κράμβης ἀναλάμβανε, ἢ μήλων, ἢ κιτρίου. χρῶ πρὸς δύναμιν. βέλτιον δὲ μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις αὐτὰ διδόναι. οὔτε γὰρ ἀθρόως ἐκκενῶσαι δυνατόν ἐστι τὰ παχύτερα τῶν περιττωμάτων, ἀλλὰ κατὰ μικρόν. ἀπολεπτύνεται γὰρ οὕτως ἐκ τῆς συνεχοῦς αὐτῶν δόσεως, εἴ τι παχὺ καὶ γλίσχρον ἔνδον ἐστὶ, καὶ ἐπιτηδειότερον πρὸς κένωσιν τοῖς ἕλκουσι γίνεται. γινώσκειν δὲ δεῖ ὡς οὐ μόνον προφυλακῆς ἕνεκα ἐν τοῖς διαλείμμασιν αὐτὰ χρὴ διδόναι, ἀλλὰ καὶ ἐν τοῖς περιόδοις. τὸν παροξυσμὸν γὰρ παραμυθοῦνται ἱκανῶς ἐξ αὐτῶν ἕλκοντα τῶν πεπονθότων τὴν ὕλην, καὶ οὐκ ἐῶντα τοῦ λοιποῦ ῥευματίζεσθαι. τούτοις ἄρα μετὰ τὰς καθάρσεις, καὶ τῶν ἀντιδότων ἐπιδιδόναι τινὰς, ὅσαι λεπτύνειν εἶεν μεμαρτυρημέναι, τά τε γλίσχρα καὶ παχέα τῶν περιττωμάτων. ὠφελοῦνται δὲ πλέον ἁπάντων ὅσοι φύσει φλεγματώδεις εἰσίν, ὑγραί τε καὶ ψυχραὶ ἔχουσι τὴν κρᾶσιν, ὥσπερ γε πάλιν ἀδικοῦνται μεγάλως οἱ τὰς θερμασίας κεκτημένοι, καὶ φροντιστικοὶ, καὶ ἐν ἀγρυπνίαις τὸν πάντα βίον διατελοῦντες. πολλαὶ μὲν οὖν εἰσι τῶν ἀντιδότων ἔχουσαι δραστικὴν τὴν δύναμιν, ἐπιδεξάμεναί τε πολλάκις μεγίστην ἐνέργειαν ἐπὶ τῶν φλεγματικὴν ἐχόντων καὶ ὑγρὰν τὴν κρᾶσιν. ἀλλὰ τῆς γε διὰ κοραλλίων καλουμένης ἐγὼ κάλλιον οὐχ εὗρον. μετὰ γὰρ τοῦ μηδὲν ἔχειν ἀηδὲς ἐν τῇ πόσει, προσέτι καὶ τὸ δραστικὸν καὶ ἀκίνδυνον κέκτηται. οὐ γὰρ ἀμέτρως ἔχει τὸ ξηραίνειν, ἀλλὰ τὸ διικνεῖσθαι περὶ τὸ βάθος, λεπτύνουσα τὰ γλίσχρα καὶ προσαποπεπλασμένα ἐν τοῖς ἄρθροις, ἐνδείκνυται τὴν ὠφέλειαν. ἔχει δὲ τῆς ἀντιδότου ἡ γραφὴ οὕτως, κοραλλίου ʒ ϛ΄, σμύρνης τρωγλίτιδος ℥ δ΄, καρυοφύλλου ʒ ιβ΄, ῥέου ποντικοῦ ℥ α΄, φύλλου ἀδόλου ʒ ιϛ΄, παιωνείας ῥίζης ℥ α΄, ἀριστολοχίας μακρᾶς ℥ β΄, ἀριστολοχίας στρογγύλης ℥ β΄, ναρδοστάχυος ℥ δ΄. ταῦτα κάλλιστα καὶ ἄδολα ἐπιλεξάμενος, ἵνα μὴ ἀποτύχῃ τὸ βοήθημα, κόψον καὶ σῆσον πάνυ λεπτῷ κοσκίνῳ, καὶ δίδου τῷ πάσχοντι ʒ α΄, ἕωθεν εἰς εὔκρατον, καὶ μενέτω ἕως ὡρῶν ϛ΄. ἀρχὴν δὲ ποιεῖ τοῦ διδόναι τὴν ἀντίδοτον ταύτην, ἰανουαρίῳ. λαμβανέτω δὲ ὁ πάσχων πρῶτον ἡμέραν μίαν ὑπὲρ μίαν, καὶ παραλιμπανέτω ἡμέρας ιε΄, καὶ μετὰ τὸ πληρωθῆναι τὰς * σ΄ δόσεις, μίαν ὑπὲρ μίαν, ἢ ὑπὲρ δύο λαμ-

βανέτω, ἕως ἂν πληρωθῶσι τὰς ἐξ' δόσεις. παραφυλαττέσθω δὲ ὁ παραλαμβάνων, μὴ χολᾶν, μηδὲ ἀφροδισιάζειν, μηδὲ πίνειν οἴνους στύφοντας, ἢ πάνυ γλυκεῖς, καὶ πάντα τὰ δριμέα λάχανα, καὶ τῶν ἰχθύων τὰς κεφαλάς, καὶ καρκίνους, ἀστακούς, σηπίας, * σμύλας, σεῦτλα, καὶ τὸ κρέας τῶν λαγωῶν, ὀσπρείων ἁπάντων, μάλιστα τοῦ ἀμύλου. διότι μὲν ἡ ἀντίδοτός ἐστι, καὶ δεῖ θαρροῦντως αὐτῇ κεχρῆσθαι τὸν θέλοντα τελείως ἀπαλλαγῆναι τοῦ πάθους. ἐπειδὴ δέ, καθάπερ εἰρήκαμεν, οὐ πᾶσιν ὁμοίως ὁ φλεγματώδης χυμὸς πλεονάζει, οὔτε ἡ αὐτὴ κρᾶσις πάντων, εὔδηλον ὡς οὐ δυνατόν ἐστιν ἅπαντας ὑπὸ μιᾶς ἀντιδότου θεραπευθῆναι, ἀλλὰ τοὺς μὲν ὑπὸ τῶν ἀσθενεστέραν ἐχόντων δύναμιν, ἑτέρους δὲ ὑπὸ τῶν δραστικωτέραν, ἀναγκαῖον ἐφάνη μοι καὶ χρήσιμον, μὴ μόνον μιᾶς, ἀλλὰ καὶ διαφόρων μνημονεῦσαι, ὥστε τὸν βουλόμενον ἁρμόζεσθαι πρὸς τὴν πλεονάζουσαν κακοχυμίαν, ἐντεῦθεν ἐπιλέγεσθαι τὸ φαινόμενον αὐτῷ χρήσιμον. Ἀντίδοτος ἡ Ἡρακλείδου τοῦ φιλοσόφου, ἥτις πολλὴν ἔδωκε πεῖραν ἐπὶ πολλῶν. Ναρδοστάχυος, φύλλου ἀνὰ ℥ β', γεντιανῆς κρητικῆς, ἀριστολοχίας μακρᾶς, ἀριστολοχίας στρογγύλης, σμύρνης τρωγλίτιδος ἀνὰ < δ', δαφνοκόκκων λελεπισμένων < δ', ῥέου ποντικοῦ < η'. ἡ τελεία δόσις τῆς ἀντιδότου ἐστὶ < α'. δεῖ δὲ πλείω διδόναι, ὡς ἂν συνίδῃ ὁ παρέχων ἰατρός, ἀποβλέπων καὶ εἰς ἅπαντα. δεῖ δὲ καὶ ταύτης τῆς ἀντιδότου μὴ ἁπλῶς ἄρχεσθαι τῆς δόσεως, ἀλλ' ἐν καιρῷ δέοντι. κάλλιστος δὲ καὶ πρῶτος ἔστω σοι καιρὸς τῆς ἀντιδότου, ἀρχομένου ἔαρος, καὶ ἡλίου διαπορευομένου τὸν κριόν. εἰ δέ τι κωλύσειεν ἄρχεσθαι τῆς δόσεως ἐν τῷ καιρῷ τούτῳ, δευτέραν ἀρχὴν ποιοῦ τὰ τελευταῖα τοῦ φθινοπώρου. βέλτιον δέ ἐστι σπουδάζειν, ἐπὶ μὲν τῶν ἐχόντων ψυχροτέραν τὴν κρᾶσιν, ἀρχομένου μᾶλλον ἔαρος· ἐπὶ δὲ τῶν θερμοτέρων, ἤδη τοῦ φθινοπώρου μηγοντος λήγειν. ὁ δὲ καθημερινὸς τῆς δόσεως τρόπος, ἑωθινὸς ἔστω, εἴ γε πέψας εὑρεθείη καλῶς. εἰ δὲ μή, ὑπερτιθέσθω. κατ' ἐκείνην δὲ λαμβανέτω τὴν ἡμέραν, περὶ ὥραν δευτέραν ἢ τρίτην, ὅτε τῆς ἐρυγῆς αἰσθάνεται καθαρωτέρας καὶ ἀπερίττου γινομένης. μετὰ δὲ τὸ φάρμακον, ὥραν περί που δὴ πέμπτην, περιμενέτω ἄσιτός τε καὶ ἀκίνητος ἐν ἡσυχίᾳ καὶ ἐν εὐθυμίᾳ, ὀργῆς ἁπάσης φυλάττων ἑαυτὸν χωρίς, ὥστε μηδὲ παρεμποδὼν γίνεσθαι πρὸς τὴν ἀνάδοσιν τοῦ φαρμάκου. δεῖ μὲν γὰρ ἀκριβῶς τοῦτο φροντίζειν, ἐπὶ δὲ τούτων ἔτι μᾶλλον. ὥσπερ γὰρ ἐπὶ τῶν πολλῶν ἡ ἐπιτυχία μεγάλην ἐργάζεται τὴν ὠφέλειαν, οὕτω καὶ ἡ ἀποτυχία μεγίστην τε καὶ ἀνίατον οἶδεν ἐπιφέρειν τὴν βλάβην. ἔστω δὲ τὸ ποσὸν τῆς καθημερινῆς δόσεως < α', καὶ μὴ παραλιμπανέτω ἄχρι μηνῶν ἓξ πίνων τὴν ἀντίδοτον. εἰ δέ τις γένοιτο τοῦ λαβεῖν ὑπέρθεσις, ἀνταποδοῦναι δεῖ τὴν παραλειφθεῖσαν ἡμέραν. ἐγὼ δέ φημι ἐπὶ τῶν φλεγματικὴν καὶ ὑγρὰν ἐχόντων τὴν κρᾶσιν, καὶ ἄχρις ἐνιαυτοῦ καλὸν εἶναι προσκαρτερεῖν τῇ δόσει τοῦ φαρμάκου. ὅσῳ γὰρ ἄν τις ἐμβραδύνῃ περὶ τὸ λαμβάνειν, τοσούτῳ μᾶλλον ἐκνικῆσαι τὸ πάθος δυνήσεται. μετὰ δὲ τὴν δόσιν τούτων τῶν ἀντιδότων, συμβουλεύω πάντως ἐκ διαλειμμάτων μηνῶν δύο ἢ τριῶν καθαίρεσθαι, διὰ τὸ τὴν κακοχυμίαν ὑπόμνησίν τε καὶ παλιγγενεσίαν τοῦ πάθους ἐργάζεσθαι. εἰ δὲ φεύγει τὴν συνεχῆ κάθαρσιν ὁ κάμνων, ἀλλ' οὖν γε καὶ τῆς ἀντιδότου ἧς τὸ πρότερον ἐλάμβανεν ἐκ διαστημάτων, λαμβανέτω, καὶ μάλιστα περὶ τὸ ἔαρ καὶ τὸ φθινόπωρον. οὕτω γὰρ ποιῶν τις ἀπέριττος τοῦ λοιποῦ καὶ ἀρευμάτιστος γενήσεται, οὐκέτι νυγμόν τινα, οὐδὲ ἄλλον κίνδυνον ὑφορώμενος.

ἰστέον δὲ ὅτι ἐκεῖνοι μάλιστα κινδυνεύουσιν ὅσοι μετὰ ε' ἔτος ἢ ζ' τὰς τοιαύτας ἀντιδότους ἠθέλησαν προσφέρεσθαι. ὅσοι δ' ἀρχομένου τοῦ πάθους εἰλήφασιν, εἶτα καὶ καθαρσίοις ἐχρήσαντο μετὰ τὴν ἀπαλλαγὴν, οὐδένα κίνδυνον ἐφωράθησαν.

Ἀντίδοτος ποδαγρικὴ ἀγάπητος, ἣ αὐτὴ δόκιμος, καὶ πολλοὺς ἰασαμένη. Ναρδοστάχυος, ἴρεως, σμύρνης τρωγλίτιδος, ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης, παιωνείας ῥίζης ἀνὰ Γο β', κασίας, κρόκου, μήου, φύλλου, μαστίχης, ἀσάρου, ἐρυθροδάνου ἀνὰ Γο α', δαμασωνίου, ἀριστολοχίας μακρᾶς καὶ στρογγύλης ἀνὰ Γο δ', καρυοφύλλου Γο S'', φοῦ Γο α' S'', ἀλόης ἡπατίτιδος Γο γ'. ἡ δόσις < α'. λαμβανέτω ὁ πάσχων ἐπὶ ἐνιαυτόν. Τοσαῦτα περὶ τῶν καθόλου βοηθημάτων εἰρηκότες, μετέλθωμεν λοιπὸν ἐπὶ τὰ μερικὰ βοηθήματα, τὴν ἀρχὴν ἀπὸ τῶν ἐπὶ τῆς ψυχρᾶς δυσκρασίας ἁρμοζόντων ποιούμενοι. Καταπλάσματα τοπικὰ τοῖς διὰ ψυχρὸν χυμὸν ὀδυνωμένοις. Μετρίας μὲν οὔσης τῆς ὀδύνης, ἐπὶ τούτων ἁρμόζει καὶ ἡ κράμβη καταπλαττομένη κοπανισθεῖσα, καὶ τῶν σελίνων τὰ φύλλα, ὁμοίως δὲ καὶ τῆς κονύζης. εἰ δὲ ἡ ὀδύνη σφοδρὰ γίνοιτο, ὥστε μὴ δύνασθαι φέρειν, ἀναγκαῖόν ἐστιν ἐπὶ τούτων κεχρῆσθαι τοῖς καταπλάσμασι· μάλιστα δὲ τοῖς παρηγοροῦσιν, οἷά εἰσι τὰ διὰ τοῦ τηλίνου ἀλεύρου, καὶ αἴρας, καὶ μέλιτος ὀλίγου. ἔστω δὲ τοῦ μὲν τηλίνου ἀλεύρου μέρη γ', ἐκ δὲ τῆς αἴρας μέρος α'. οὐκ ἀποτρέπω δὲ οὐδὲ τῶν ἐρεβίνθων αὐτοῖς προσπλέκειν ἅμα. ἑψεῖσθαι δ' αὐτὰ ἐν οἴνῳ λεπτομερεῖ, καὶ θερμοτέρῳ ναρδίνῳ τε καὶ μύρῳ, ἢ κυπρίνῳ συνεψομένῳ ὀλίγον, καὶ μάλιστα χειμῶνος ὄντος. τότε γὰρ εἰ καὶ θερμότερόν τι αὐτοῖς προσπλέξεις, οὐδὲν ἂν βλάψειας. ἀλλὰ καὶ μᾶλλον ὠφελήσεις. ἀνώδυνόν τε γὰρ καὶ διαφορητικώτερον ἔσται τὸ προσφερόμενον. μιγνύσθω οὖν αὐτοῖς, εἴ γε δέησοι καὶ μικρὸν ἔτι θερμότερον ἐργάσασθαι, τὸ κατάπλασμα, καὶ τῶν φύλλων τῆς δάφνης, ὅσα τε ἄλλα ἁπαλώτατα τυγχάνει, καὶ τῆς κονύζης ὁμοίως, ἢ σέλινον, ἢ σμύρνιον, καὶ τῶν ἄλλων ὅσα γε τῆς αὐτῆς ὄντα τυγχάνει δυνάμεως. ἔστω δὲ ἔλαττον τὸ κατάπλασμα. πολὺ δὲ ἔλαττον τὸ ἐκ τούτων προσπλεκόμενον τῷ καταπλάσματι ζέμα. εἰ γὰρ πλέον ἐπιβληθῇ τῶν βοτανῶν, καὶ μάλιστα ἐν ἀρχῇ τῶν παροξυσμῶν, οἶδε βλάπτειν μεγάλως. ἄμεινον οὖν ἐστιν ἐν ταῖς παρακμαῖς, τοῖς ἐπὶ πλέον διαφορεῖν δυναμένοις κεχρῆσθαι * πρότερον. εἰ δὲ καὶ τῶν ἐπιπλασμάτων ἐπιτιθεμένων ἀμέτρων τε καὶ οὐ φορητὴν εἶναι φάσκει τὴν ὀδύνην ὁ κάμνων, ἀναγκαῖόν ἐστι καταντλήμασι κεχρῆσθαι τηνικαῦτα, διαφορεῖν τε ἅμα καὶ ἀποκρούειν δυναμένοις, ὧν ἐστιν ἓν καὶ τοῦτο πολλάκις εὐδοκιμῆσαν ἐπὶ πολλῶν. ἔχει δὲ οὕτω, λαβὼν ὄξος δριμύτατον, ἀφέψησον ἐν αὐτῷ θύμον τε καὶ ὀρίγανον, θύμβραν τε καὶ καλαμίνθην ἐκ τῶν ὀρεινῶν μᾶλλον ληφθεισῶν τόπων. ἐπειδὰν οὖν καλῶς ἑψηθῶσιν αἱ βοτάναι, καὶ πᾶσαν αὐτῶν ἀπολύσωσι τὴν δύναμιν, τότε λαβὼν τὸ ὑπολειφθὲν ὄξος ἔτι θερμὸν ὑπάρχον, ἀπάντλησον ἐξ αὐτοῦ τὰ πάσχοντα μόρια. οὐ μόνον γὰρ ἅπαξ, ἀλλὰ καὶ πολλάκις δέδωκε πεῖραν, καὶ τὸ θαυμαστὸν, ὅτι καὶ ἐπὶ θερμῶν ῥευμάτων ὠφέλησε προσενεχθὲν, καὶ ἐκώλυσε πάλιν γενέσθαι ῥευματισμὸν δεύτερον. μετρίας δὲ τῆς ὀδύνης γινομένης μετὰ τὴν καταντλήσιν, καὶ κηρωταῖς εἰ δέησοι χρῆσθαι φαρμάκοις, οὐ μόνον θάλπειν καὶ διαφορεῖν τὰ ἐπιπολῆς δυναμένοις, ἀλλὰ καὶ τὰ ἐν βάθει. καὶ πρῶτον μὲν προσφέρεσθαι καλὸν τὴν διὰ τοῦ στρουθίου σκευαζομένην κηρωτὴν, καὶ τὸ παρηγορικὸν ἔχουσαν, καὶ τὸ διαφορητικόν. ἔχει δὲ καὶ ταύτης

ἢ σκεύη οὕτω. Ἡ διὰ στρουθίου κηρωτή. Ἀμμωνιακοῦ θυμιάματος, γάλακτος βοὸς μελαίνης ἀνὰ ℥ γʹ, λινοσπέρμου ℥ ηʹ, ᾠὰ δʹ. ταῦτα λειοτριβήσας, προέβρεχε τὸ ἀμμωνιακὸν εἰς τὸ γάλα, καὶ λείου, εἶτα κολοφωνίας ℥ γʹ, στέατος στρουθίου ℥ βʹ S″, ἐλαίου παλαιοῦ ℥ γʹ, κηροῦ ℥ ϛʹ, σκευάσας χρῶ. Ἄλλο σφόδρα καλὸν τὸ διὰ τοῦ εὐφορβίου. Πρὸς δὲ τὰς ἐπὶ πλέον καταψύξεις, καὶ ἀφορήτους ἐκ ταύτης ὀδύνας, καὶ σφηνώσεις τῶν ἄρθρων, ἰσχυρόν ἐστι τὸ διὰ τοῦ εὐφορβίου σκευαζόμενον ἐπίθεμα. ἔχει δὲ τούτου ἡ σκευασία οὕτω. ἐλαίου παλαιοῦ λίτρα αʹ S″, κηροῦ, νίτρου ἀλεξανδρινοῦ, τερεβινθίνης καλῆς, ἀνὰ λίτρα αʹ, εὐφορβίου ℥ αʹ, ἴρεως ἰλλυρικῆς ℥ βʹ, τήλεως ἀλεύρου ξέστ. αʹ S″. δόκιμόν ἐστι τὸ φάρμακον, καὶ ἐπὶ πολλῶν πολλάκις εὐδοκιμηθὲν ἐπὶ τῶν τοιούτων διαθέσεων. καὶ γὰρ διαφορεῖ καὶ ἀμύσσει τὴν ἐπιφάνειαν, ἕλκει τε ἐκ τοῦ βάθους τὰ ἐσφηνωμένα, καὶ διαλύει, καὶ τὴν ὀδύνην ἐκκόπτει, καὶ τὸ πάντων κάλλιον, ἀμόλυντόν ἐστι καὶ ἀνεπαισθήτως ἀφαιρούμενον. οἶδα δὲ καὶ αὐτὸ τὸ εὐφόρβιον ἅμα ἐλαίῳ καὶ κηρῷ συνεψηθέν, καὶ μεγάλας ὀδύνας ὑπὸ ψυχροῦ χυμοῦ γινομένας παραμυθησάμενον. οὐ δεῖ δὲ θαυμάζειν ἡμᾶς ὅτι τὸ εὐφόρβιον οὕτω θερμὸν ὑπάρχον καὶ δακνῶδες ἐπαινούμενον, ὡς παρηγορεῖν ὀδύνας δύνασθαι. εἰσὶ γάρ τινες ἀλγηδόνες ἀλλοιωθῆναι μὴ δυνάμεναι, εἰ μή τι τῶν δριμυτέρων αὐταῖς προσενέγκοις. ὁ γοῦν λόγος οὔτε θαυμάζει τούτων οὐδέν, οὔτε καταγινώσκει τῶν χρωμένων, ὥσπερ οὐδὲ ὅτε ὁρᾷ τινα τὰ ἐναντία προσφέρειν τὰ ἐκ γλυκέων ὑδάτων ἐπὶ τῶν ῥευματιζομένων σφόδρα, ἀλλὰ λογίζεται δηλονότι καὶ διακρίνει καλῶς, καὶ θαυμάζει τὴν μέθοδον. ὡς γὰρ τῶν ὀδυνωμένων ὑπὸ λεπτοῦ καὶ δακνώδους καὶ δριμέος χυμοῦ δικαίως ὠφέλησε τὰ λουτρά· τὸ μὲν γὰρ διεφόρησε, τὸ δὲ καὶ εἰς εὐκρασίαν μετέβαλεν· οὕτω πάλιν τοὺς ὑπὸ ψυχρῶν ῥευματισθέντας χυμῶν, ὀδυνᾶσθαί τε καὶ διατείνεσθαι φάσκοντας τοὺς ἐν τοῖς ἄρθροις ὑμένας, εἰκότως ἡ τῶν θερμαίνειν καὶ δάκνειν καὶ ἀμύττειν τὴν ἐπιφάνειαν δυναμένων ὠφέλησε χρῆσις. ἐγὼ γοῦν οἶδά τινα τῷ νάπυϊ μόνῳ χρώμενον ἐπὶ τῶν τοιούτων ἐν τοῖς μεγίστοις παροξυσμοῖς, καὶ ἀνώδυνον γινόμενον, ἐπεμίγνυέ τε αὐτῷ πολλάκις ἰσχάδων καὶ ὄξους, καὶ ἀνακόπτων αὐτά, καὶ ἐμπλαστρῶδες ποιῶν, οὕτως ἐπετίθει τὸ φάρμακον. καὶ ἄλλον ὁμοίως ἐθεασάμην κεχρημένον τῷ διὰ κανθαρίδων φαρμάκῳ, καὶ ὠνήθη εἰς τὰ μέγιστα. ῥηγνυμένης γὰρ τῆς γινομένης ὑπὸ τοῦ φαρμάκου φλυκταίνης, ὑγρὸν ἐξεκρίνετο πολύ, καὶ τούτου συμβαίνοντος, ἔφασκεν ὠφελεῖσθαι τὰ μέγιστα. καὶ τὸ διὰ σκόρδων τε ἄλλους ὠφέλησεν, ἐπιπλασθέντα καὶ αὐτὰ μόνα τὰ σκόρδα, καὶ ἄλλως δὲ αἱ παρὰ τοῖς βαρβάροις * ἴσκαι καλούμεναι. ἐγὼ δὲ οὐκ ἐπαινῶ τὰ τοιαῦτα τῶν φαρμάκων, ἐπειδὴ καθ' ἑαυτὰ προσφέρονται. βλάπτουσι γὰρ τὰ μέγιστα, εἰ καὶ παρηγορεῖν δοκοῦσι, μηδὲν ἔχοντα τοῦ μαλάττειν τε καὶ καταχεῖν τὰ κατεψυγμένα καὶ πεπηγότα πάνυ δυναμένων. ἐξατμίζουσι γὰρ τὸ λεπτὸν μόνον· τὸ δὲ παχὺ καὶ γεῶδες καταλιμπάνουσι, καὶ μένειν καὶ προσαπεπλάσθαι τοῖς ἄρθροις ἀναγκάζουσιν αὐτό. ἔτι δὲ μᾶλλον ἀποξηραίνουσι καὶ ὑποπωροῦσι διὰ τῆς ξηραντικῆς καὶ θερμαντικῆς αὐτῶν δυνάμεως, τῆς προσούσης τῷ νάπυϊ καὶ τοῖς δριμέσι πᾶσιν. ὅτι δὲ τοῦτο συμβαίνει δῆλον. πάντες γὰρ οἱ τοσοῦτον δριμέσι μόνοις κεχρημένοι φαρμάκοις, καὶ μηδὲν ἔχουσι μαλακτικόν, καὶ μάλιστα ἐν ἀρχῇ, καὶ πλήθους ὄντος, δυσκίνητά τε καὶ μετὰ πολλοῦ ἐπανερχόμενα χρόνου εἰς τὸ δύνασθαι βαδίζειν ἔχουσι τὰ ἄρθρα. βέλτιον οὖν ἐστι μὴ κεχρῆσθαι τούτοις μόνοις, ἢ χρώμενον εὐθὺς

μετα-

μεταβαίνειν εἰς ὅσα τε διαχεῖ, καὶ μαλάττει, καὶ τέμνει, καὶ διικνεῖται εἰς τὸ βάθος, ὥστε διὰ τούτων ἀναλαβεῖν δυνηθῆναι τὰ ἄρθρα πάλιν τὴν ἀρχαίαν κίνησιν. εἰ μὲν οὖν εὐποροίη τις ἑνὸς βοηθήματος ἀμφότερα ποιεῖν δυναμένου, εὖ ἂν ἔχοι· εἰ δὲ μή γε, δυνατόν ἐστι καὶ παρὰ μέρος αὐτοῖς κεχρῆσθαι, ποτὲ μὲν τοῖς χαλαστικοῖς, καὶ διαφορητικοῖς· οὕτω γὰρ ἄν τις δυνηθείη ποτὲ διαχέειν τὴν ὕλην· ἄλλοτε δὲ λεπτύνων καὶ ἀμύσσων τὰ πεπονθότα, πᾶσαν ἀποκλέψαι τὴν ἐν βάθει τοῖς ἄρθροις ἐναποκειμένην ὕλην. ἵνα δὲ μὴ ζητοίη τις ἀναλέγεσθαι τὰ σύνθετα τῶν βοηθημάτων ἐξ ἑτέρων ἀρχαίων, ἀναγκαῖον ἐνόμισα παραθέσθαι καὶ τούτων τὰς σκευασίας. ὁ γὰρ ἐν τοῖς ἔργοις ἀσχολούμενος ἰατρὸς, οὐδὲ τοῖς τῶν παλαιῶν ἐντυγχάνειν εὐκαιρεῖ πολλοῖς συγγράμμασιν. Ἄλειμμα ἁπλοῦν διαφορεῖν καὶ διαλύον τὰ σκληρωθέντα τῶν ἄρθρων. Αἰγειρίνου ἐλαίου, κηροῦ, στέατος χηνείου ἀνὰ ℥ αʹ, εὐφορβίου κερ. εʹ. τὸν κηρὸν μετὰ τοῦ αἰγειρίνου ἐλαίου, καὶ τότε τὸ στέαρ ἐπίβαλλε, καὶ ἑψήσας καὶ ψύξας, εἰς τὴν θυίαν κατακένωσον, καὶ τὸ εὐφόρβιον λειοτριβήσας, ἐπίπασσε κατὰ μικρὸν, καὶ πάλιν λείου, ἐπιχέων τὸ αἰγείρινον ἔλαιον, ἕως συστάσεως μήτε παχείας πάνυ, μήτε ὑγρᾶς. Ἄλειμμα τὸ διὰ κισσοῦ καλούμενον, πρὸς τὰ αὐτά.

Ἐλαίου παλαιοῦ ℔ ιʹ, ἐν ἄλλῳ ℔ γʹ ἢ εʹ, κυπαρίσσου σφαιρία κεʹ, βράθυος χλωρᾶς ℔ αʹ, λιβανωτίδος χλωρᾶς ℔ αʹ, δαφνίδων χλωρῶν κόκκους ρʹ, τήλεως ✱ ℥ αʹ, ἀλθαίας χλωρᾶς ℔ αʹ, φλοιοῦ στροβιλίνου ℔ αʹ, ταῦτα συνθλάσας, βρέξον εἰς ὕδατος ξε. γʹ, ἐπὶ ἡμέρας γʹ. καὶ μετὰ τὰς τρεῖς ἡμέρας, ἐπίβαλλε τὸ ἔλαιον, καὶ ἕψε ἕως ἀναλωθῇ τὸ ὕδωρ, εἶτα διηθήσας τὸ ἔλαιον, ἐπίβαλλε εἰς αὐτὸ κηροῦ ℔ αʹ, κολοφωνίας ℔ αʹ, κισσοῦ ℥ δʹ, τὸν ὀπὸν λείου μετὰ οἴνου ἀσκάλωνος καλοῦ πάνυ, καὶ οὕτω πάντα ἀναλαβὼν, χρῶ καλλίστῳ πάνυ καὶ παρηγορικῷ φαρμάκῳ. ἰσχυρότερον δὲ τούτου καὶ πρὸς τὰς χρονίας διαθέσεις ἁρμόζειν δυνάμενον ἔστω τὸ καλούμενον λυσιπόνιον. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτω, καστορείου ℥ αʹ, ἐν ἄλλῳ ℥ βʹ, εὐφορβίου ℥ αʹ, πεπέρεως, ἀμμωνιακοῦ ἀνὰ ℥ βʹ, ὀποπάνακος, χαλβάνης, μυελοῦ ἐλαφείου ἀνὰ ℥ βʹ, τερεβινθίνης ῥητίνης ℥ ϛʹ, ἐν ἄλλῳ ℥ γʹ, κηροῦ ℔ αʹ, ἰρίνου ℥ γʹ, γλευκίνου, κυπρίνου, δαφνίνου ἀνὰ ℥ ϛʹ, ἐλαίου παλαιοῦ ℔ αʹ. Ἄλλο ποιοῦν καὶ ἐπὶ τῶν σκληρῶν σωμάτων, καὶ πάνυ χρονίων διαθέσεων, ὥστε καὶ τὰς καλουμένας ἀγκυλώσεις διαλύειν.

Ἀδάρκης, ὀποπάνακος, καστορείου, χαλβάνης, τερεβινθίνης, πεπέρεως ἀνὰ ℥ δʹ, ὑσσώπου, κηροῦ ἀνὰ ℥ βʹ, εὐφορβίου ℥ αʹ, στύρακος, θαψίας ἀνὰ ℥ δʹ, πυρέθρου ℥ γʹ, κηροῦ πυρροῦ ℔ αʹ, ἐλαίου κυπρίνου ℥ γʹ, δαδίνου ℥ ϛʹ, δαφνίνου ἐλαίου ℥ ηʹ, ἐλαίου παλαιοῦ ℥ αʹ, ναρδίνου ℔ αʹ, ἐλαίου ἀμαρακίνου ℔ αʹ, βαλσάμου ℥ γʹ. αὕτη ἡ γραφὴ καὶ πρὸς τὰ παραλελυμένα ποιεῖ γενναίως μόρια. χρὴ δὲ προσέχειν, καὶ μὴ ἐπὶ ξηροτέρων καὶ θερμοτέρων σωμάτων κεχρῆσθαι, ἀλλ' ἐπὶ τῶν δυσπαθῆ καὶ σκληροτέραν ἐχόντων τὴν σάρκα, καὶ ἐκ χρόνου πολλοῦ κακοπαθούντων ἐπὶ παχέσι καὶ γλίσχροις χυμοῖς, ὡς μὴ δύνασθαι διαστέλλειν καὶ κινεῖν διὰ τοῦτο τὰ ῥευματισθέντα μόρια.

Πρὸς τοὺς οἰδηματώδεις ἔχοντας ὄγκους εἰς τοὺς πόδας.

Πρὸς τοὺς οἰδηματώδεις δὲ ὄγκους, ἐφ' ὧν οὐκ ἔστιν ὁ ἐπιρρεύσας χυμὸς οὔτε παχὺς, οὔτε γεώδης, ἀλλὰ χαῦνός τε καὶ μαλακὸς ὑπείκων ταχέως ἁπτομένων ἡμῶν τοῖς δακτύλοις, ὑπονοοῦμεν φυσῶδες πνεῦμα ἐπιρρεῖν, καὶ ὑγρὸν καὶ ὑδατῶδες φλέγμα. ἐπὶ τούτων οὖν ἁρμόζουσι μάλιστα ἥ τε δι' ἁλῶν σκευαζομένη κηρωτὴ, καὶ τὰ χρίσματα.

ἐφ' ὧν δὲ μηδὲν ἀνύουσι τὰ ἐπιπλάσματα ἢ χρίσματα, τούτοις ἐπιτήδειαι καὶ αἱ διὰ τῶν ἁλῶν πεφρυγμένων πυρίαι, πυκνότερον ἀλλασσόμεναι. καὶ γὰρ ὑπ' αὐτῶν οὐ μόνον αὐτοῖς συμβαίνει παρηγορεῖσθαι, ἀλλὰ καὶ ὠφελεῖσθαι τὰ μέγιστα. ἐγὼ γοῦν οἶδα τῶν πάνυ διαφανεστάτων ἀνδρῶν τινα ἐν τῇ ῥώμῃ τῇ διὰ τῶν ἁλῶν ἀεὶ χρώμενον πυρίᾳ, καὶ διὰ ταύτης παρηγορούμενον μεγάλως. ὅτι δὲ ὠφελεῖ τοῦτο, πρόδηλον. οὐδέποτε γὰρ βλάβην τινὰ τῶν ἄρθρων, οὐδὲ πῶρον εὑρέθη ποιήσας. ὠφελεῖ δὲ τούτους καὶ θερμοτέρῳ κεχρῆσθαι λουτρῷ, καὶ ξηροτέρῳ, καὶ νίτρῳ λεπτῷ, καὶ ἁλσί, καὶ ὅσα τοῖς παλαιοῖς εὕρηνται δάκνειν τε καὶ ἀμύττειν καὶ λεπτύνειν τὴν ἐπιφάνειαν δυνάμενα, ἐπισπᾶσθαί τε τὴν ἔνδον ἐμπεριεχομένην ὑγρότητα. εἰσὶ δὲ τοῖς παλαιοῖς εὑρημένα πολλά. ἡμεῖς δὲ πολλὴν ἔχομεν πεῖραν καὶ τοῦδε τοῦ σπάσματος. ἔχει δὲ αὐτοῦ ἡ γραφὴ οὕτως. Σμῆγμα, ἤτοι πάσμα καλόν· καλοῦσι δὲ αὐτό τινες ἰνδόν, ἄλλοι δὲ ἀσκληπιόν. Ξηρίον μετασυγκριτικὸν πώρων, καὶ πρὸς τοὺς οἰδηματώδεις ὄγκους μετ' ὄξους ἐπιπλασσόμενον, καλῶς ποιεῖ. ὁμοίως δὲ καὶ τὸ * ὑῶν τὸ στέαρ μετ' ἀσβέστου ὁλμοκοπηθέν, ὥστε μαλαγματῶδες γενέσθαι πάνυ, καλῶς διαφορεῖ τὰς οἰδηματώδεις πάσας φλεγμονάς, καὶ μάλιστα τὰς ἐν τοῖς γόνασι. καὶ τῶν ἐρίων αἱ ὀξεῖαι συνεψόμεναι καὶ συλλειούμεναι, καὶ μετὰ τὴν ἕψησιν καταπλασσόμεναι. καλῶς καὶ αὕτη διαφορεῖν μεμαρτύρηται ἡ θηριακὴ χριομένη μετά τινος τῶν λεπτομερῶν οἴνων. τοσαῦτα περὶ τῆς ἐπὶ φλεγματικῷ χυμῷ γινομένης ποδάγρας εἰρηκότες, εἴπωμεν καὶ ὅπως τὴν ἐπὶ αἵματι γινομένην ὀδύνην ἐν τοῖς ἄρθροις ἰᾶσθαι δυνατόν.

Περὶ τῆς ἐπὶ αἱματικῷ χυμῷ συνισταμένης ποδάγρας.

Εἰ μὲν αἱματικὸν ὑπολάβοις εἶναι τὸν συρρέοντα χυμὸν εἰς τὰ ἄρθρα, εἰ μὲν μηδὲν εἴη τὸ κωλῦον, εἰς τὴν τῆς φλεβοτομίας ἥκειν κένωσιν. οὕτω γὰρ οἶδα πολλοὺς ἢ τέλεον ἀπαλλαγέντας, ἢ σπανίως ῥευματισθέντας, ἐκ τοῦ μὴ ἀμελεῖν, ἀλλὰ τοῦ ἔαρος ἀρχομένου προέχοντας ἑαυτοὺς πρὸς τὴν τοῦ αἵματος ἀφαίρεσιν * μόνον δὲ κενοῦσθαι φυλαττομένους ὅσα τῶν ἐδεσμάτων πέφυκε τρόφιμά τε καὶ τὸν αἱματικὸν χυμὸν ἐπὶ πλέον αὔξειν. ἴσασιν οὖν ταῦτα, κἂν ἐγὼ μὴ γράψω, πάντες ἰατροί, ὡς τὰ κρέα πάντα, καὶ τούτων ἔτι μάλιστα τὰ ὕεια τοῦτο ποιεῖν πέφυκε, καὶ οἱ γλυκεῖς τῶν οἴνων, καὶ καθόλου πᾶσα τροφὴ πολλή, καὶ εὐθυμία, καὶ κίνησις σύμμετρος. εἰ οὖν ἀμφότερα φυλάττοιτο, οἶμαι, ἔαρος ἀρχομένου παραλαμβάνειν αἵματος κένωσιν. καὶ τῶν αἷμα πολὺ τικτόντων ἐδεσμάτων ἀπέχοιτο. γυμνάζοιτο δὲ καὶ τὸ σῶμα συνεχῶς, ἄοκνός τε γένοιτο πρὸς πᾶσαν κίνησιν, πῶς οὐκ ἂν οὕτως ἀπέριττός ἐστιν; ἀπέριττος δὲ γινόμενος, πῶς οὐκ ἂν ἀρρευμάτιστος διαμένῃ, μηδενὸς ὄντος τοῦ ἐν τοῖς ἄρθροις ἐπιρρεῖν ἔτι δυναμένου; κεχρήσθωσαν δὲ καὶ εὐκρατοποσίᾳ οἱ τοιοῦτοι μᾶλλον, καὶ πάσῃ τῇ ψυχούσῃ ἀγωγῇ, καὶ ἐναντιοῦσθαι πρὸς τὴν τοῦ αἵματος γένεσιν δυναμένῃ. καὶ πολλοὺς οἶδα τούτων οἴνου μόνον ἀπεχομένους, καὶ οὐκέτι πειραθέντας τοῦ πάθους. οὕτως ὁ πολὺς οἶνος τοῖς πολυαίμοις πολέμιός ἐστι. καλὸν μὲν οὖν ἐστι τὰ τοιαῦτα αὐτοὺς παραιτεῖσθαι. ὅμως εἰ καὶ μὴ καθόλου δύνανται, ἀλλ' οὖν ἐν τῷ ἔαρι καὶ τῷ θέρει πειράσθωσαν ταῦτα φυλάττεσθαι. ταῦτα μὲν οὖν ἁρμόζει καθόλου ποιεῖν ἐφ' ὧν ὁ ῥευματισμὸς ὑπὸ πλήθους αἱματικοῦ χυμοῦ εἴωθε γίνεσθαι. ἐπεὶ δὲ συνέβη τινὰς καὶ τῶν ἀφυλάκτως διαιτωμένων ἁλίσκεσθαι ῥευματισμῷ, ἀναγκαῖόν ἐστι διὰ

τοῦτο

τοῦτο μερικὰς ἐκθέσθαι θεραπείας, αἷς δεῖ βοηθεῖν τοῖς φλεγμαίνουσι, καὶ τοῖς κεφαλὰς ὑγρὰς ἔχουσι, καὶ * θώραξι, καὶ λέπραις, καὶ ἀλφοῖς, καὶ δυσπνοίαις, καὶ ὅσα ἄλλα πάθη ἐκ τῆς κεφαλῆς ἢ ἐκ τοῦ θώρακος ἔχει τὴν αἰτίαν. ἀποκρουστικὸν ὑπάρχον βοήθημα πάσης ὕλης κακῆς, καὶ πληθωρικῆς, φοινίσσον σφόδρα, καὶ διαφορητικὸν τοὺς καχεκτικοὺς, καὶ ἐμπεπηγότας χυμοὺς, καὶ τοὺς θηριώδεις, ἀρθριτικοῖς καὶ στομαχικοῖς ἁρμόζον, καὶ τὸν διὰ παντὸς αὐτῷ χρώμενον οὐ συγχωροῦν ποδαγριᾶν, ἢ ἰσχιάδος πεῖραν ὀδύνης λαβεῖν. καὶ πρὸς κνησμονὴν δὲ καὶ λειχηνώδη σώματα πεποίηται, καὶ λεπρώδεις τρίχας, καὶ ποιεῖ τὸ ἰσόθεον ἐπάγγελμα αὐτοῦ, ὅτι καὶ πρὸς * εἰληφότας πεποίηται. ἔχει δὲ αὐτοῦ ἡ σκευασία οὕτω. Γραφὴ τοῦ ἰνδοῦ. Ἁλῶν καππαδοκικῶν, ἁλῶν κοινῶν, ἁλῶν πικρῶν, * ἁλῶν νιτροπηγικῶν, ἁλῶν τραγησίων, νίτρου ἀλεξανδρινοῦ, καὶ ἀφρονίτρου μακεδονικοῦ, κισσήρεως, ἀδάρκης ἀνὰ ℔ α', λίθου ἀσσίου ἄνθους, στυπτηρίας ὑγρᾶς, νάρδου κελτικῆς, ἐλλεβόρου λευκοῦ καὶ μέλανος, στρουθίου, σφέκλης, τουτέστι τρυγίας οἴνου κεκαυμένης, χαμαιλέοντος ῥίζης, θείου ἀπύρου, ἀγρίας σταφίδος, νάπυος, στυπτηρίας, κυπέρου, πεπέρεως, κιμωλίας γῆς, ἄγνου σπέρματος, δαφνίδων ξηρῶν, κηκίδος ὀμφακίτιδος, δίσκου βοτάνης, τουτέστι θερμοῦ ἀλεύρου κυαμίνου, τῶν πάντων ἀνὰ ℥ γ', πυρέθρου, σχοίνου ἄνθους, λιβάνου ἄρρενος, κόμμεως, ἴρεως ἰλλυρικῆς, σικύου ἀγρίου, ῥίζης ξηρᾶς, πράσου ξηροῦ, σηπίας ὀστράκου, τήλεως, κνίκου, κόκκου κνιδείου, κόστου, γλήχωνος. ἀγρώστεως, ἐν ἄλλῳ ἰτέας ξηρᾶς, καὶ βρυωνίας ἀνὰ ℥ γ', σαμψύχου ℥ α', ψυλλίου ℥ β'. τοὺς ἅλας καὶ τὸ νίτρον φρύξον ἐπὶ πυρὸς ἐν χύτρᾳ καινῇ· τὰ δὲ λοιπὰ ξηράνας, κόψον καὶ σῆσον. κεχρήσθωσαν δὲ συνεχῶς λουόμενοι. ὅτε δὲ ἄρξονται ἱδροῦν, τότε ποιεῖ σμήχεσθαι τὴν κεφαλὴν μετὰ ἀφεψήματος ῥίζης ἰτέας φλοιοῦ. τοῦτο τὸ πάσμα κάλλιστόν ἐστι καὶ ἰσχυρὸν πάνυ, χωρὶς τῶν θερμῶν δυσκρασιῶν, καὶ ἐπὶ χολώδει καὶ δριμεῖ χυμῷ ῥευματιζομένῳ, καὶ ἐπὶ αἵματι θερμῷ. πάσαις δὲ ταῖς ἄλλαις ῥευματικαῖς διαθέσεσιν ἁρμόζειν δύναται. τούτοις καὶ ψίλωθρα ποιεῖν ἐν τοῖς λουτροῖς ἁρμόζει πάνυ. Ψίλωθρον ποδαγρικοῖς δόκιμον. Λιβάνου, μαστίχης, * λίθου ἀσσίου ἄνθους, κισσήρεως ὀπτῆς, ἀλκυονίου, σταφίδος ἀγρίας, κιμωλίας, ἐλλεβόρου, σαμψύχου, λιθαργύρου, ἀμύλου ἀνὰ ℥ γ', ναρδοστάχυος ℥ α', καρυοφύλλου ℥ β'. χρῶ τῷ ξηρίῳ, ἢ χυλῷ πτισάνης, καὶ ὀρύζης, κατ᾽ ἰδίαν ἑκάστου ἑψηθέντος. ἔστω δὲ τὸ μέτρον ἐξ ἴσου, καὶ γαλλικοῦ σάπωνος ἀναλύσας ἐν τῷ χυλῷ, καὶ προθερμάνας, οὕτως ἐπίπασσε τοῦ ξηρίου κοχλιάρια ε', καὶ ἀσβέστου ζώσης, καὶ σεσησμένης ℔ α', καὶ ἀρσενικοῦ, καὶ σανδαράχης ἀνὰ ℥ α' S'', καὶ δοκιμάσας πτερῷ χρῶ. ταῦτα μὲν ἰσχυρά, καὶ ἐπὶ μεγίστων ὄγκων ποιεῖν δεῖ. πρὸς δὲ τὰ μέτρια τῶν οἰδημάτων καὶ τὸ αἴρινον ἄλευρον μετὰ ὄξους καταπλασσόμενον καλῶς ποιεῖ. ὁμοίως δὲ καὶ τοῦ ὑὸς στέαρ μετὰ ἀσβέστου ὁλμοκοπηθὲν, ὥστε μαλαγματῶδες γενέσθαι πάνυ. καλῶς διαφορεῖ τὰς οἰδηματώδεις πάσας φλεγμονάς, καὶ μάλιστα τὰς ἐν τοῖς γόνασι, καὶ τῶν ἐρίων αἱ ὄξειαι συνεψόμεναι καὶ μετὰ τὴν ἕψησιν καταπλασσόμεναι. καὶ αὐτὴ δὲ διαφορεῖν μεμαρτύρηται ἡ θηριακὴ χριομένη μετά τινος τῶν λεπτομερῶν οἴνων. εἰδέναι τοίνυν χρὴ ἀμφότερα προστάττειν ἐπὶ τῶν ἤδη ῥευματισθέντων μορίων, ἐμψύχειν τε καὶ διαφορεῖν τὸ προερχόμενον ἐν τῇ φλεγμονῇ. κάλλιστον οὖν ἐστιν ἐπὶ τούτων κατάπλασμα τὸ διὰ τοῦ ἀειζώου, ἢ τὰ λέμματα τῶν ἐρίων, καὶ ἔρια, καὶ ἄλφιτα ἐν οἴνῳ ἑψόμενα, καὶ καταπλασσόμενα. καὶ γὰρ ἀπο-

κρούσαι τὸ ἐπιῤῥέον ἱκανά εἰσι, καὶ διαφορῆσαι, καὶ ὑποξηραίναι τὸ περιεχόμενον εὐθέως, καὶ ἐνθεῖναι ῥῶσιν ἀσθενοῦσι τοῖς μορίοις, ὡς μεταπεμπόμενα πάλιν ἐπ' αὐτὰ δέχεσθαι. δεῖ δὲ καλῶς ἑψεῖν τὰ τῶν ἐρειῶν λέπη, καὶ τὸν ἐρῶν, καὶ τὸ ἀείζωον. ἀκριβῶς τε λεανθέντα, οὕτως ἅμα τοῖς ἀλφίτοις ἐπιμιγνύειν. ὑγρὸν δὲ αὐτὸ μετρίως καὶ λεῖον κατασκευάσαντα, οὕτως ἐπιτιθέναι τοῖς πάσχουσι, καὶ ἐν μὲν τῷ θέρει ψυχρόν, ἐν δὲ τῷ χειμῶνι χλιαρόν. ἐν μὲν οὖν ἀρχῇ τοῦ παροξυσμοῦ καλόν ἐστι ταῦτα προσφέρειν, καὶ μετρίας οὔσης τῆς ὀδύνης ἔτι. εἰ δὲ αὐξηθείη τὰ τῆς ὀδύνης, καὶ τῇ καλουμένῃ κεχρῆσθαι κηρεμβροχῇ οὕτως ἐχούσῃ, ἑψήματος μέρη έ, ῥοδίνου μέρος ά, κηροῦ βραχυτάτου, ὡς μόνον παχυτέραν ἐργάσασθαι τὴν ἐμβροχήν. ἀναλαμβανέσθω δὲ πάντα δι' ἐρίων ὑσσωπηρῶν. καὶ ἐπιτιθέσθωσαν ἐν μὲν τῷ χειμῶνι, χλιαρά, ἐν δὲ τῷ θέρει ψυχρά. εἰ δὲ ἐν βάθει τύχῃ τὴν φλεγμονὴν εἶναι, νίτρου τε βραχὺ καὶ γλυκέος ἐλαίου ἀντὶ τοῦ ῥοδίνου προσμίγνυε τῷ ἑψήματι, καὶ μᾶλλον ὠφελήσεις. ἐπιμενούσης δὲ τῆς ὀδύνης, καὶ τῷ διὰ τῶν φύλλων τῆς κράμβης κεχρῆσθαι. ἔχει δὲ οὕτω, φύλλα κράμβης ἑψήσας, καὶ λειώσας ἐπιμελῶς, ἐπίβαλλε τρύγα ὄξους, καὶ ᾠῶν ἀνέφθων λεκύθους β', καὶ ῥοδίνου βραχύ, καὶ μίξας ἅμα πάντα, καὶ λειώσας, ἐπίπλαττε συνεχῶς, ἀγαθὸν τὸ βοήθημα, καὶ πάνυ γε τὰς σφοδρὰς ὀδύνας παρηγορήσεις. καλῶς δὲ ποιήσεις, εἰ καὶ ἐπάνω τῶν πεπονθότων ἐπιτίθεσθαι κελεύσειας σπογγιὰν οἴνου ἀποβεβρεγμένην μετρίας ἔχοντος στύψεως. εἰ δὲ μὴ παρείη τοιοῦτος οἶνος, εἰς ὀξύκρατον. μὴ προσαντλείσθωσαν δὲ τοῖς διὰ γύρεως, ἢ κριθίνου ἀλεύροις. πάντα γάρ ἐστι ταῦτα πολέμια τούτοις, καὶ μάλιστα ἐφ' ὧν πλῆθός ἐστι τὸ λυποῦν τὰ ἄρθρα, καὶ τὴν ὀδύνην ἐργαζόμενον. ἐφ' ὧν γὰρ τὸ ὅλον ἀπέριττον, οὐδὲν ἄτοπον ὀδύνης μεγάλης οὔσης, καὶ τοῖς διὰ τοῦ κριθίνου ἀλεύρου χρήσασθαι καταπλάσμασιν. ἔστω δὲ τοῦ μὲν κριθίνου ἀλεύρου μέρη β', τοῦ δὲ λινοσπέρματος μέρος ά, καὶ ἀλλασσέσθω συνεχέστερον. ὑγροτέροις δὲ καὶ μὴ πάνυ ζέουσι * προσφέρεσθαι, καθὼς ἰατροὶ ποιοῦσιν. οὐ μόνον γὰρ τὰ ἄρθρα, ἀλλὰ καὶ τὰ ἄλλα μόρια πάνυ διαπύροις καταπλάττοντες ἀλεύροις, οὐκ εἰδότες ὅτι μᾶλλον ἐπικαίουσι, καὶ ξηραίνουσι τὴν ἐπιφάνειαν, ἤπερ διαφοροῦσί τι τοῦ ὑποκειμένου χυμοῦ. ὅτι δὲ ξηραίνουσι μᾶλλον τὰ ἐπιπλέον ἑψόμενα τῶν καταπλασμάτων, καὶ μάλιστα ὅσα ἐλαίου ἐν τῇ ἑψήσει προσλαμβάνουσι, δῆλόν ἐστιν, ἐκ τῶν ἐλαίῳ τηγανιζομένων ἰχθύων τε καὶ κρεῶν, ὡς ἀποξηραίνονταί τε καὶ ἐκφρύττονται. οὐ δεῖ οὖν ὡς ἔτυχε καταπλάττειν, ἐὰν μὴ τὸ ὅλον ᾖ ἀπέριττον, οὐδὲ προσφέροντα καταπλάσμασι διαπύροις καὶ ζέουσι κεχρῆσθαι. ἐγὼ δέ φημι μηδὲ τοῖς στύφουσι καὶ ἀποκρούεσθαι δυναμένοις ἐπὶ τῶν πεπονθότων ἐθέλειν κεχρῆσθαι, μὴ πρότερον ὅλον ἀπέριττον ἐργασάμενον τὸ σῶμα. τὸ γὰρ ἐπιῤῥέον ἐν τοῖς ἄρθροις, δέος ἐστὶ μὴ πρὸς τὰ κύρια μόρια παλινδρομῆσαν, αἴτιον γενήσεται τοῦ καταπνιγῆναι, καὶ κινδυνεῦσαι θανάτῳ τὸν πάσχοντα. εἴτε οὖν διαφορητικοῖς, εἴτε ἀποκρουστικοῖς ἐθέλει τις κεχρῆσθαι, σπουδαζέτω τὸ ὅλον σῶμα ἀπέριττον ποιεῖν. Περὶ πώρων. Ἐπειδὴ δὲ καὶ πῶροι τοῖς πολλοῖς τῶν ῥευματιζομένων τὰ ἄρθρα γίνονται, εἴτε δι' ἀταξίας τινὰς ἐδεσμάτων τινῶν ἄπεπτόν τε καὶ ὠμὸν ἀθροιζόντων χυμόν, εἴτε διὰ συνεχῆ ναρκωτικῶν τε καὶ ἀνωδύνων φαρμάκων χρῆσιν, ἀκόλουθόν ἐστι καὶ περὶ τούτων εἰδέναι ἡμᾶς, ποίοις τέ καὶ πότε δεῖ κεχρῆσθαι τοῖς τοὺς πώρους διαλύειν ἐπαγγελλομένοις φαρμά-

κοις. εἰ μὲν οὖν θερμὴ δυσκρασία ὑπερθάλλουσα τὴν ὕλην καὶ ἐπικαίουσα φαίνοιτο γεννᾶν τοὺς πώρους, οὐ χρὴ θερμαίνουσιν ἐπὶ τούτων καὶ δριμέσι κεχρῆσθαι φαρμάκοις. εἰ γὰρ καὶ διαλύειν ταῦτα δόξουσι τοὺς ἤδη φθάσαντας τεχθῆναι λίθους, ἀλλ᾽ οὖν ταῦτά γε καὶ ἄλλους ἐπιτρέφεσθαι λίθους παρασκευάζουσιν. εἰ οὖν κέχρηταί τις τούτοις ἐφ᾽ ᾧ τοὺς ἤδη γεγονότας λίθους διαφορῆσαι, εὐθὺς μεταβαινέτω πάλιν ἐπὶ τὰ μέσως θερμαίνοντα, καὶ διαχεῖν μετρίως καὶ διαλύειν δυνάμενα φάρμακα, καὶ ἀπεχέσθω τοῦ λοιποῦ τῶν ξηραινόντων ἐδεσμάτων, καὶ τῶν ἀντιδότων, ὅσαι θερμαίνειν καὶ ξηραίνειν ἀμέτρως τὸ σῶμα πεφύκασιν. ἅπαντα γὰρ ταῦτα τούτοις γεννῶσι πώρους μᾶλλον ἢ διαλύουσιν. ὅσοις δὲ μὴ πάρεστι θερμὴ δυσκρασία, ἀλλὰ ψυχρότεροι καὶ παχύτεροι καὶ ὠμότεροι μᾶλλον ἐν τοῖς ἄρθροις ἀποστρέφονται χυμοί, τούτοις ὠφέλιμα πάντα ταῦτα, ἃ καὶ λεπτύνειν καὶ θερμαίνειν ἐστὶ δυνατά, καὶ εἴ τις αὐτοῖς ἐθέλει κεχρῆσθαι, οὗτος καὶ τοὺς ἤδη τεχθέντας ἀναλῶσαι δυνήσεται, καὶ ἑτέρους κωλῦσαι τεχθῆναι. ἐγὼ γοῦν οἶδά τινα μεγάλους ἔχοντα πώρους ἐν τοῖς ἄρθροις, καὶ ὑγιῆ γενόμενον, ὥστε καὶ βαδίζειν ἀνεμποδίστως, ἐκ τοῦ λαμβάνειν συνεχῶς τὴν ἀντίδοτον. ἡ δὲ ἀντίδοτος ἣν ἔπινεν ὅλον τὸν ἐνιαυτόν, ἐστὶν ἥδε. Ἀντίδοτος πρὸς πώρους. Κενταυρείου Γο έ, χαμαίδρυος Γο ή, ὑπερικοῦ Γο β' ἢ θ', ἀριστολοχίας, γεντιανῆς, πετροσελίνου, ἀγαρικοῦ, φοῦ ἡδέος, μήου ἀνὰ Γο γ', ναρδοστάχυος Γο ά. ἀναλάμβανε μέλιτι, καὶ δίδου εἰς εὔκρατον. καὶ ἄλλον δέ τινα πώρους ἀρξάμενον ἔχειν οἶδα μηκέτι συγχωρήσαντα ταφῆναι ἄλλους, ἐκ τοῦ πίνειν αὐτὸν ἀπόζεμα λεπτύνειν τὰ ὠμὰ καὶ παχέα τῶν περιττωμάτων δυνάμενον. ἦν δὲ τὸ πινόμενον ἀπόζεμα ἐκ τούτων συγκείμενον βοτανῶν, ὀριγάνου καὶ χαμαιπίτυος, ὧν οὐδὲν ἁρμόζει τοῖς θερμὴν καὶ χολώδη κεκτημένοις τὴν κρᾶσιν. ἀλλ᾽ ἐπειδὴ πολλή ἐστιν ἡ διαφορὰ τῶν βοηθημάτων τῶν διαλύειν πεφυκότων τοὺς πώρους· τὰ μὲν γὰρ αὐτῶν ἐκ πάνυ δριμέων ἔχει τὴν σύνθεσιν· τὰ δὲ διὰ τὸ μαλάττειν μᾶλλον, καὶ διαχέειν ἐπὶ πλέον. καλόν ἐστιν ὑμῖν καὶ τούτων ἐκθέσθαι τὰς διαφοράς, ἵνα πρὸς τὰς διαφόρους κράσεις τῶν πασχόντων, καὶ πρὸς τὸ μέγεθος καὶ τὴν κακοήθειαν τῶν κρατούντων τὰ ἄρθρα πώρων ἐπιλέγεσθαι τῶν ἁρμοζόντων ἑκάστῳ φαρμάκων ᾖ ὑμῖν ἐκ τῶν ἐνταῦθά μοι γεγραμμένων. Κηρωτὴ καλλίστη διαλύουσα τοὺς ἐν τοῖς ἄρθροις πώρους, ὡς μηδὲ ἔτι ἐπεγράφησαν πῶροι ἔτι φαίνεσθαι. Ἀφονίτρου Γο ή, τερεβινθίνης Γο ιβ', κηροῦ Γο ιέ, ἐλαίου παλαιοῦ Γο κα', κονίας πηλοποιικῆς, ἣν καὶ προσάκτον τινες καλοῦσι, Γο ς'. χρῶ καλλίστῃ καὶ διὰ πείρας. Ἄλλη διὰ πείρας.

Ἀφονίτρου, τερεβινθίνης, προσάκτου, προπόλεως ἀνὰ Γο λ', κηροῦ Γο θ', κολοφωνίας λί α', ἐλαίου παλαιοῦ Γο ις', μίξας χρῶ, καὶ ἐπὶ πώρων, καὶ ἀποστημάτων πάνυ ὀξέως ποιοῦσι. καλὰ μὲν οὖν ἐστι ταῦτα καὶ τῶν πλείστην δεδωκότων πεῖραν, ἀλλὰ καὶ τούτων ἔτι πολλῷ πλεῖον δραστικώτερόν ἐστι τὸ διὰ κινναβάρεως, καὶ ἄλλων λίθοις, καὶ ἄλλων πλείστων μεταλλικῶν σκευαζόμενον. ἔχει δὲ τούτου ἡ γραφὴ οὕτως.

Τὸ διὰ κινναβάρεως. Λιθαργύρου λί α', ἐλαίου παλαιοῦ λί α', λεπίδος χαλκοῦ κεκαυμένης Γο α', κινναβάρεως δρ ιη', μαγνήτου ζῶντος Γο α', λίθου Φρυγίου < ς, λίθου πυρίτου Γο α', λιβάνου Γο α', ἀλόης Γο β' S'', χαλβάνης Γο α S'', καδμίας Γο α', διφρυγοῦς Γο β', ἰοῦ ξυστοῦ Γο α', ἀμμωνιακοῦ θυμιάματος Γο S'', λίθου * ὀνίτου σκυθικοῦ Γο ή, λίθου αἱματίτου Γο α', προπόλεως λί α' Γο α' S'', λίθου πυρίτου Γο α',

βετλονίκης οὐγ. α΄ ἢ η΄, γεντιανῆς οὐγ. α΄, ἀριστολοχίας μακρᾶς οὐγ. S΄΄, χαμαιλέοντος οὐγ. α΄, δικτάμνου οὐγ. α΄ S΄΄, ῥητίνης ξηρᾶς λι. α΄ S΄΄, στέατος * στρουθοκαμήλου οὐγ. α΄. τοὺς λίθους μετὰ τοῦ λιθαργύρου τρίβε, προσεπιβαλὼν ἁλὸς ἄνθους λι. β΄, κατὰ μέρος, ἕως οὗ ἀναλωθῇ. τοῦτο τὸ φάρμακον πλείστην ἔδωκε πεῖραν οὐ μόνον ἐπὶ κονδυλωμάτων, ἀλλὰ καὶ ἐπὶ χοιράδων, καὶ ὑδρομήλων, καὶ ὑδερικῶν, καὶ σπληνικῶν, καὶ ἄλλων πλείστων καὶ μεγίστων παθῶν, ὧν ἐνταῦθα περιττόν ἐστι μνημονεύειν. τοσοῦτον δὲ χρὴ γινώσκειν, ὅτι πρὸς πᾶν πάθος οἰκεῖον προσαγορεύεται, διότι πολύχρηστον ὑπὸ πάντων τῶν ἰατρῶν ὡμολόγηται εἶναι καὶ θαυμαστόν, ὅτι μετὰ τοῦ μηδὲν θερμαίνειν, οὐδὲ ἐκπυροῖ πάνυ τὰ ἄρθρα, ἀλλὰ καὶ διαλύειν τοὺς ἐν αὐτοῖς πώρους πέφυκεν. ἀλλὰ τοῦτο μὲν ἐστι δραστικόν, οὐκ εὐπόριστον δέ. τὸ δὲ διὰ λεπτοκαρύων καλούμενον φάρμακον, ἀμφοτέρων ἐπιτυγχάνει. καὶ γὰρ καὶ τὸ εὐπόριστον ἅμα καὶ τὸ δραστικὸν κέκτηται. ἡ δὲ σύνθεσις τούτου τοῦτον ἔχει τὸν τρόπον. Φάρμακον τὸ διὰ λεπτοκαρύων. Πρωτοσάκτου οὐγ. ς΄, λεπτοκαρύων οὐγ. θ΄, ἐν ἄλλῳ οὐγ. ς΄, ἀφονίτρου, σάπωνος γαλλικοῦ ἀνὰ οὐγ. δ΄, μέλιτος οὐγ. γ΄, ὠῶν τὰ λευκὰ ς΄, ἐλαίου παλαιοῦ λι. α΄, κηροῦ οὐγ. ι΄, τερεβινθίνης οὐγ. ζ΄. ἔνεστι δέ σοι πολύχρηστον τὸ φάρμακον ποιεῖν, ποτὲ μὲν ἐκλύοντι αὐτοῦ τὴν δύναμιν, ποτὲ δὲ ἐπιτείνοντι. μετριώτερον γὰρ ἔσται, καὶ ἐπὶ τῶν μαλακωτέρων σωμάτων ἁρμόζειν δυνάμενον, εἰ προσπλέκεις τοῦ διὰ μέλιτος μέρη β΄, ἓν δὲ τοῦ φαρμάκου. καὶ τῆς δι' ἀνεμώνης δὲ εἰ προσπλέκεις, μὴ παρούσης τῆς διὰ μέλιτος, ἔσται σοι καὶ οὕτω προσηνὲς καὶ ἀδήκτως ἐνεργεῖν δυνάμενον, πρὸς τὰς μεγίστας διαθέσεις τῶν πώρων, καὶ πρὸς τὰς διαφόρους ἕξεις τῶν σωμάτων, ὥστε μὴ πολλῶν καὶ διαφόρων χρήζειν βοηθημάτων. τούτων οὕτως ἐχόντων, περὶ * ἔθελεν μνησθῆναι βοηθημάτων. οἶδα δὲ ἐγὼ πολλάκις καὶ τὸ διὰ ψιμμυθίου προσπλέξας τῷ φαρμάκῳ, διὰ τὸ μηδ' ὅλως δύνασθαι δῆξιν φαρμάκου φέρειν, καί μοι καλῶς ἀπέβη τὸ ἔργον. ἀμφοτέροις γὰρ ὁ κάμνων ηὐχαρίστει, τῷ ἀδήκτῳ καὶ τῷ δραστικῷ τοῦ φαρμάκου. εἴ τις οὖν οὕτως ἐπινοεῖν ἐθέλει, δυνατόν ἐστιν αὐτῷ καὶ πρὸς τὰ αἰσθητὰ τῶν σωμάτων, καὶ πρὸς διαφόρους ἕξεις καὶ διαθέσεις ἀβλαβῶς προσφέρειν. αὐτὸς δὲ ὁ θειότατος γαληνὸς μέμνηται, καὶ διὰ τυροῦ παλαιοῦ διαλύσας πώρους. ἔχει δὲ ἡ χρῆσις οὕτω, τυροῦ δριμυτάτου καὶ χρονιωτάτου ἐπὶ ἀρθριτικοῦ πώρους ἔχοντος ἐν αὐτοῖς τοῖς ἄρθροις, ἐχρησάμην, ὕος ταριχευτοῦ κρέατος ἀφεψήματι δεύσας, καὶ ἐν θυίᾳ ἑνώσας, ἐπέθηκα κατὰ τῶν πώρων, καὶ μεγάλως ὠφελήθη. διαρρηγνυμένου γὰρ αὐτομάτως τοῦ δέρματος ἄνευ τομῆς, ἀνέπλεεν ἑτοίμως καὶ ἀλύπως ἑκάστης ἡμέρας μόρια τῶν πώρων.

Περὶ ἀνωδύνων ἀντιδότων καὶ φαρμάκων.

Ἐπειδὴ δέ τινες εἴτε διὰ μεγίστην ἀνάγκην πραγμάτων, εἴτε διὰ τὸ μὴ δύνασθαι φέρειν ὀδύνην, ὅλως αἰτοῦσιν ἡμᾶς ἐπιδιδόναι τῶν ἀνωδύνων αὐτοῖς τι φαρμάκων, καλὸν ἂν εἴη καὶ περὶ τούτων διαλαβεῖν, ὁπότε καὶ ὅπως ἀναγκαῖον αὐτοῖς κεχρῆσθαι, καὶ τὰς ἐκτεθείσας ὑπ' αὐτῶν ἀντιδότους, ὅσαι τε ἁπλαῖ καὶ ὅσαι σύνθετοι τυγχάνουσι. κηρωτὰς μὲν οὖν ἔξωθεν τὰς δι' ὀπίου σκευαζομένας, ἃς οἱ παλαιοὶ καὶ χιλιοχρύσους καλεῖν ἀξιοῦσιν. ἀλλ' ἔγωγε εἰ καὶ τὸ παρηγορικὸν ἔχουσιν, οὐ συμβουλεύω αὐταῖς πάνυ κεχρῆσθαι, δίχα πολλῆς ἀνάγκης, καὶ ἐπὶ θερμῆς πάνυ δυσκρασίας. πίνουσι δέ τινες καὶ τὸ δι' ἑρμοδακτύλου καλούμενον, καὶ ἀνώδυνον φά-

σκουσι

σκοτοι γίνεσθαι παρ' αὐτά, τῆς γαστρὸς ἐκκενούσης ἰσχυρότερόν τινα, ὥστε καὶ βαδίζειν εὐθεὺς θέλειν. καί ἐστι γε ἀληθὲς τοῦτο, καὶ προδήλως ἀπέτυχε τῆς ἐπαγγελίας. ἀλλ' ἔχει τι καὶ βλαπτικόν, ὅτι συνεχέστερον ὑπομιμνήσκεσθαι τοῦ ῥευματισμοῦ τοὺς πίνοντας ποιεῖ. διὰ οὖν τὸ μὴ γίνεσθαι τοῦτο, προσέμιξάν τινες, κυμίνου, μαστίχης, καὶ ζιγγιβέρεως, ἕτεροι δὲ καὶ εὐφορβίου, νομίσαντες αὐτὸ ἔχειν τι ψυκτικόν, καὶ ναρκωτικόν. ἄλλοι δὲ μὴ πάνυ τοῦτο εἶναι ἀληθές. οὐδὲν γὰρ ἂν εἶχεν οὕτω τὸ δύνασθαι καθαίρειν, εἴ γε τὸ ψυκτικὸν ἐτύγχανε τοσοῦτον ἔχον, ὥστε δύνασθαι διὰ τοῦτο * ναρκεῖν καὶ ἐπιφέρειν, ἀλλὰ τοῦτο οὐκ οἶμαι εἶναι ἀληθές. ἅπαντες γὰρ οἱ πεπωκότες αἰτιῶνται κατ' ἐκείνην τὴν ἡμέραν τὸν στόμαχον ἀηδῶς ἔχειν πρὸς τὰ προσφερόμενα σιτία. καλὰ μὲν οὖν εἰσι τά τε διὰ κυμίνου καὶ ζιγγιβέρεως, καὶ πεπέρεως μετέχοντα, καὶ ἀντιβαίνοντα πρὸς τὸ κακοστόμαχον αὐτοῦ, ἀλλ' οὐδὲν οὕτως ὡς ἡ ἀλόη αὐτῷ προσπλεκομένη βοηθεῖν δύναται. ἐγὼ δὲ τούτου τὴν σύνθεσιν, καὶ τῶν εἰρημένων τοῖς παλαιοῖς ἐκθήσομαι ἡμῖν, ὥστε μὴ ἀγνοεῖν ἡμᾶς, μηδὲ ἀπ' ἄλλων αὐτὰ σπουδάζειν μανθάνειν, ἀλλὰ τὸν βουλόμενον, ὅπως ἐθέλει χρῆσθαι ῥᾳδίως ἔχειν ἐντεῦθεν ἐπιλέγεσθαι. Γραφὴ καθαρσίου τοῦ δι' ἑρμοδακτύλου ἁπλουστάτη. Ερμοδακτύλου λι. α', σμύρνης κερ. θ', πεπέρεως κερ. β', ἀνίσου κερ. β'. ταῦτα πάντα μία δόσις. εἰ δὲ θέλεις ὑπάγειν τὴν γαστέρα, προσμίγνυε σκαμμωνίας κερ. δ', καὶ ἀλύπως καθαίρει, καὶ ἀνωδύνους ποιεῖ τοὺς πάσχοντας. Αλλο τὸ δι' ἑρμοδακτύλου. Ερμοδακτύλου οὐγ. γ', κυμίνου οὐγ. γ', ἐν ἄλλῳ δρ. ιγ', ζιγγιβέρεως οὐγ. β', πεπέρεως κερ. ιη'. ἡ δόσις δρ. δ'.

Αλλο ὡς τὸ αὐτό. Ερμοδακτύλου δρ. α', ζιγγιβέρεως δρ. ϛ', κυμίνου δρ. δ', πεπέρεως κερ. δ', ἀνίσου κερ. δ', δακρυδίου κερ. η'. ἡ δόσις δρ. δ'. τοῦτο εὐθέως βαδίζειν αὐτοὺς ποιεῖ. διδόναι δὲ αὐτοῖς κάλλιόν ἐστιν ἀρχομένου τοῦ πάθους, ἢ ἀκμάζοντος. Αλλο πάνυ καλόν, καὶ διὰ πείρας ἡμῖν ὑπάρχον. Ανίσου, κυμίνου ἀνὰ δρ. ιβ', ζιγγιβέρεως δρ. δ', πεπέρεως λευκοῦ καὶ μέλανος ἀνὰ δρ. β', εὐφορβίου δρ. δ', ἐν ἄλλῳ δρ. α', ἑρμοδακτύλου κερ. ιδ'. ταῦτα πάντα μία δόσις εἰς εὔκρατον. Αλλο ὅπερ ἰάκωβος ὁ ψύχρεστος παρεῖχεν. Ερμοδακτύλου δρ. δ', ἐν ἄλλῳ κερ. δ', δακρυδίου δρ. β'. δίδου προδιαιτήσας εὐκράτῳ. Καλὴ ἀντίδοτος, ἣν ὁ φιλόσοφος θεοδότιος παρεῖχεν.

Ερμοδακτύλου κερ. δ', ἐν ἄλλῳ δρ. α', κυμίνου αἰθιοπικοῦ δρ. γ', ἀνίσου δρ. ϛ', * ἰσίου δρ. γ', μαστίχης δρ. β', κνίκου δρ. ϛ'. ἡ δόσις δρ. δ', μεθ' ὑδρομέλιτος. κάλλιστόν ἐστι βοήθημα τοῦτο, καὶ πλείστην πολλοῖς ἄλλοις ἰατροῖς δέδωκε πεῖραν. χρὴ δὲ καὶ πρότερον διαιτᾶν τὸν πάσχοντα, καὶ οὕτω διδόναι δύο ἢ τρεῖς λεκύθους ὠῶν, καὶ ἄρτου βραχύ, καὶ ὄρνιθος στῆθος, εἶτα μίαν ὥραν διαλιπόντα, ἢ τὸ πολὺ δύο, ἀπελθεῖν ἐπὶ τὸ λουτρὸν ἐπίτρεψον τῷ πάσχοντι, καὶ λουσαμένῳ καὶ ἀπελθόντι εἰς τὸν οἶκον, οὕτω πίνειν τὴν ἀντίδοτον, ὡς προείρηται, σταθμίζων τὴν δόσιν. οὗτος ὁ τρόπος τῆς διαίτης ἐπὶ πάσης δόσεως χρήσιμος ἐφάνη τῇ πείρᾳ. οὐδὲ γὰρ ὁμοίως ἅπτεται τοῦ στομάχου τὸ φάρμακον, ἀλλὰ καὶ τὴν γαστέρα μᾶλλον εὐχερέστερον ὑπάγειν δύναται. τούτων περὶ ἑρμοδακτύλου ἡμεῖς ἐπειράθημεν, καὶ τοὺς ἐφ' ἡμῶν γε παρέχοντας ἐθεασάμεθα, καὶ ἕως πολλοῦ τούτοις ἐχρώμην ἐγώ. τοῦ χρόνου δὲ προϊόντος, ἐπειράθην ὠφελείας τοῦ τὴν ἀλόην ἐπιμιγνύειν αὐτῷ, καὶ ποιεῖν μᾶλλον καταπότια, ἀλλὰ μὴ πόμα διδόναι. καὶ γὰρ μετὰ τοῦ τὴν ὀδύνην παύειν τοῖς πάσχουσι, καὶ τὸ συνεχῶς αὐτοὺς ῥευματίζεσθαι κωλύει. ἔχει δὲ αὐτῶν ἡ γραφὴ οὕτως. Τὰ δι' ἑρμοδακτύλου καὶ ἀλόης.

Ἀλόης ʒ β΄, σκαμμωνίας ʒ δ΄, σικύου ἀγρίου σπέρμα ℥ α΄ S΄΄, ἑρμοδακτύλου ℥ S΄΄. ἡ δόσις ʒ ε΄ ἢ ς΄, πρὸς τὴν δύναμιν. Ἄλλο τὰ αὐτὰ ποιοῦν καὶ ἐπὶ ἀρθριτικῶν καὶ φλεγματικωτέρων τὴν ἕξιν. Ἀλόης, κολοκυνθίδος, σκαμμωνίας ἀνὰ ℥ τὸ S΄΄, ἑρμοδακτύλου ℥ α΄. ἡ δόσις ʒ ε΄. καταπότια ποιῶν, δίδου πρὸς δύναμιν. μαλακτικὰ δὲ βουλόμενος ποιῆσαι τὰ καταπότια, ποίει οὕτω. Μαλακτικὰ καταπότια.

Ἀλόης κερ. ε΄, δακρυδίου κερ. ζ΄, ἐν ἄλλῳ θ΄, ἑρμοδακτύλου κερ. γ΄, σικύου ἀγρίου σπέρματος κερ. γ΄. πάντα τρίψας, ἀναλάμβανε ῥοσάτῳ ἢ ῥοδομήλῳ, καὶ ποιήσας καταπότια δίδου μὴ μόνον ποδαγρικοῖς, ἀλλὰ καὶ ἄλλοις, ὧν ὑπάγειν ἐθέλεις τὴν γαστέρα. πάνυ γάρ εἰσιν ἄλυπα, καὶ οὐδὲν ἀηδὲς ἔχουσι πρὸς τὴν κατάποσιν. γινώσκειν δὲ δεῖ ὡς οὐ μόνον ἐκ τῆς ἑρμοδακτύλου σκευάζεται πρὸς τὰς ποδαγρικὰς ἀνωδυνίας ποτά, ἀλλὰ καὶ ἄλλα εἰσὶ πολλά, ὧν ἐστι καὶ τὸ διὰ τοῦ κορωνοποδίου, καὶ αὐτό, ὡς οἶμαι, τὸ τῆς ἑρμοδακτύλου τὸ κακοστόμαχον οὐκ ἔχον. τὸ δὲ παρηγορικὸν ὁμοίως αὐτῷ, εἰ δὲ μὴ πλέον, οὐκ ἔλαττον κέκτηται. ἔστι δὲ ἡ δόσις αὐτοῦ ʒ δ΄. δίδοται δέ ποτε μὲν αὐτὸ καθ᾽ ἑαυτό· ἔστι δὲ ὅτε καὶ μετὰ πεπέρεως, κόκκοι μ΄. πολλοὶ μὲν οὕτω συνέθηκαν. οἱ δὲ καὶ χρησιμώτερον εἰργάσαντο τὸ βοήθημα. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτως.

Ἀντίδοτος ἡ διὰ τοῦ κορωνοποδίου. Ζιγγιβέρεως ʒ β΄, πεπέρεως ℥ α΄, ἀγαρικοῦ ʒ γ΄, κνίκου τῆς ἐντεριώνης ʒ δ΄, κορωνοποδίου ῥίζης ʒ ς΄, κόψας, σήσας παρέχε. δεῖ δὲ εἰδέναι τὴν δόσιν εἶναι < α΄. τοῖς δὲ δυσχερέστερον καθαιρομένοις κερ. κγ΄, ἢ πλέον, ἢ ἔλαττον. ὑπάγει δὲ πάντως ζ΄, γαστέρας ἢ πλέον. καὶ μετὰ τὴν κένωσιν ἐν τῷ λουτρῷ δεῖ ἀπιέναι, καὶ μετὰ τὸ λουτρόν, τρέφειν ὠὰ καὶ ἄρτον. εἰδέναι δὲ δεῖ καὶ τοῦτο, ὅτι τὸ βοήθημα τοῦτο καὶ ἐν τοῖς μεγάλοις παροξυσμοῖς διδόμενον παρηγορεῖ. παρέχε δὲ αὐτῷ παρ᾽ ἡμέρας εὐπέπτῳ ὄντι, ἢ εἰς ῥοσάτον, ἢ εἰς φοῦσκαν. οὐδὲν δὲ ἧττον παρηγορεῖν ὀδύνας πέφυκε καὶ τὸ διὰ τῆς μυούρου βοτάνης, μετὰ τοῦ μηδὲν ἔχειν κακοστόμαχον ἢ βλαπτικὸν τῶν ἄρθρων. ἔχει δὲ καὶ τούτου ἡ γραφὴ οὕτως. Τὸ διὰ τῆς μυούρου βοτάνης. Ἰσίου, ἀγαρικοῦ, μυούρου ἀνὰ ℥ α΄. ἡ δόσις ʒ δ΄. κατὰ δόσιν μιγνύσθω ʒ α΄ εὐφορβίου, καὶ δίδου μετὰ οἰνομέλιτος, ἢ χρυσαττικοῦ καλοῦ.

Ἄλλο καλὸν διὰ πείρας. Ἀνίσου, προπόλεως ἀνὰ κερ. β΄, ζιγγιβέρεως ʒ δ΄, εὐφορβίου ʒ δ΄, μαστίχης ʒ ς΄, κασίας ʒ α΄, ἑρμοδακτύλου κερ. δ΄. ταῦτα πάντα δίδου ποτὸν εἰς μίαν δόσιν ἐν εὐκράτῳ. Ἄλλο, ὥσπερ Ἰάκωβος ὁ ψύχρειστος. Ἑρμοδακτύλου ʒ α΄, δακρυδίου ʒ α΄. δίδου ἐν εὐκράτῳ, προδιαιτήσας ὑγροτέρᾳ τροφῇ τὸν κάμνοντα. Ἀντίδοτος ποδαγρικὴ ἡ καλουμένη κλίμαξ. Ἀγαρικοῦ ℥ α΄, φοῦ ℥ β΄, πετροσελίνου ℥ γ΄, μήου ℥ δ΄, ἀσαρικοῦ ℥ ε΄, γεντιανῆς ℥ ς΄, ἀριστολοχίας ℥ ζ΄, κενταυρείου ℥ η΄, χαμαίδρυος ℥ θ΄. μέλιτος τὸ ἀρκοῦν. δίδοται αὕτη ἐπὶ ἐνιαυτόν. Ἄλλη ἀντίδοτος διδομένη οὕτως ἐπὶ ἐνιαυτὸν τοῖς ποδαγρικοῖς.

Ποδαγρικὴ ἰωμένη πόνον ποδῶν καὶ ἄρθρων, καὶ κεφαλῆς, καὶ στομάχου, καὶ ὀφθαλμῶν, καὶ ἥπατος, καὶ σπληνός, καὶ νεφρῶν. ἰᾶται δὲ καὶ δυσουρίαν, καὶ τύλους ἐμπαγέντας ἐν ἄρθροις ἄκρως λύει. ἔστι δὲ ἡ συσταθμία τοῦ βοηθήματος ἥδε, ῥέου, ποντικοῦ, ἀγαρικοῦ ἀνὰ ℥ β΄, φοῦ ℥ γ΄, πετροσελίνου μακεδονικοῦ ℥ δ΄, μήου ℥ δ΄, ἀσαρικοῦ ℥ β΄, γεντιανῆς ℥ ς΄, ἀριστολοχίας ℥ ζ΄, κενταυρείου ℥ η΄, χαμαίδρυος ℥ θ΄. ἡ δόσις ἀνδράσι ʒ β΄, γυναιξὶ ʒ α΄. σκεύαζε δὲ οὕτω, ταῦτα εἰς ὅλμον βαλών, καὶ κόψας ἕκαστον ἰδίᾳ, μίξον πάντα, καὶ πάλιν βαλὼν εἰς ὅλμον, ὁλοκόπησον, καὶ οὕτω σῆθε καλῶς, καὶ

λάδος, καὶ χρῶ ὡς ὑποτέτακται κατὰ μῆνα. μηνὶ ἰανουαρίῳ δὸς ἡμέρας ε΄ παρὰ μίαν, μηνὶ μαρτίῳ δὸς ἡμέρας ε΄ παρὰ μίαν, μηνὶ ἀπριλλίῳ δὸς ἡμέρας ε΄ παρὰ μίαν, μηνὶ μαΐῳ δὸς ἡμέρας γ΄ παρὰ μίαν, μηνὶ ἰουνίῳ δὸς ἡμέρας β΄ παρὰ μίαν, μηνὶ ἰουλίῳ δὸς ἡμέραν α΄ παρὰ μίαν, μηνὶ αὐγούστῳ δὸς ἡμέραν α΄ παρὰ μίαν, μηνὶ σεπτεμβρίῳ δὸς ἡμέραν α΄ παρὰ μίαν, μηνὶ ὀκτωβρίῳ δὸς ἡμέρας β΄ παρὰ μίαν, μηνὶ νοεμβρίῳ δὸς ἡμέρας β΄ παρὰ μίαν, μηνὶ δεκεμβρίῳ δὸς ἡμέρας δ΄ παρὰ μίαν. δεῖ δὲ ἀπέχεσθαι τούτων, ἀκράτου, χοιρείου, βοείου, λαγωῶν, κράμβης, σιναπίων, ὠμῶν λαχάνων παντοίων, ὑδρογάρου, ἀπέπτων. λουέσθω τοὺς πόδας ἐν θερμῷ ὕδατι, καὶ ἀλειφέσθω ἐλαίῳ. γαλακτοποσίας δὲ κατὰ καιρὸν οὔσης ἀπεχέσθω.

Περὶ τοπικῶν βοηθημάτων παρηγορεῖν δυναμένων.

Ταῦτα μὲν οὖν παρηγορεῖν οἶδε διδόμενα διὰ στόματος. πρὸς δὲ τοὺς μὴ ἀνεχομένους, εἴτε διὰ τὸ τὸν στόμαχον πεπονθέναι, καὶ μὴ δύνασθαι κρατεῖν τι τῶν προσφερομένων, ἀλλ' εὐθὺς εἰς ἔμετον ὁρμᾶν, εἴτε διὰ φόβον καὶ ὑποψίαν τινὰ φαρμακείας ἄλλης, ἐσπουδάσαμεν ἐκθέσθαι ὑμῖν ἃ καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ χρήσιμα ἡμῖν ἀπεδείχθη ὄντα. ἔχουσι δὲ οὕτως. Κηρωτὴ ἐν τῇ ἀκμῇ τῶν παροξυσμῶν ἐπιτιθεμένη, ἀνωδύνους ποιοῦσα. Κρόκου, ὀποῦ μήκωνος ἀνὰ ℥ δ΄, ἄρτου, κηροῦ ἀνὰ ℔ α΄, ἐλαίου ξε α΄, τὸν κρόκον καὶ τὸν ὀπὸν ἀπόβρεχε ἐν οἴνῳ. τὸν δὲ ἄρτον ὕδατι, καὶ ἐκπιέσας ἐπιμελῶς, μίσγε τῷ ὀπῷ καὶ τῷ κρόκῳ προλελειωμένοις, εἶτα τὸν κηρὸν μετὰ τοῦ ἐλαίου τήξας, μίσγε τοῖς λοιποῖς. Ἑτέρα κηρωτὴ ὁμοίως ἐν τῇ ἀκμῇ ἐπιτίθεσθαι δυναμένη. Κηροῦ ℥ α΄, λιθαργύρου ℥ β΄, ψιμμυθίου ℥ β΄, ῥοδίνου, στρύχνου χυλοῦ ἀνὰ ℔ α΄. ἀναλάμβανε τῷ χυλῷ, ἕως ἂν λυθῇ.

Ἄλλη κηρωτὴ καὶ αὐτὴ παρηγορική, καὶ ποιοῦσα πρὸς πᾶσαν φλεγμονὴν ζέουσαν.

Ὀπίου < δ΄, ἐν ἄλλῳ η΄, κηρωτῆς ῥοδίνου ℔ α΄. λείου γυναικείῳ γάλακτι τὸ ὄπιον, καὶ οὕτω μίσγε τὴν κηρωτὴν ἐν τῇ θυίᾳ, καὶ χρῶ ὡς πάνυ καλλίστῃ. Κηρωτὴ θαυμαστὴ καὶ διὰ πείρας, ᾗ καὶ ἄλλοι πολλοὶ προσεμαρτύρησαν. Βαλὼν εἰς κάκαβον ἐλαίου κοινοῦ ξε β΄, ἕψε ξύλοις ἀμπελίνοις, ἕως οὗ βράσῃ σφοδρῶς, καὶ ἐπίβαλε τουρπαίνης θαλασσίας ζώσης ℔ α΄, καὶ ἕψε ἕως οὗ τὸ μέτρον τοῦ προειρημένου ἐλαίου βράσῃ δεύτερον, ἢ τρίτον, εἶτα ἐπίβαλε * ἀσφάλακος τοῦ ζώου, ὅ τινες παλαμίδα καλοῦσι, τοῦ αἵματος ℥ δ΄, καὶ σύνεψε τῇ τουρπαίνῃ, ἕως ἂν ἀνθρακωθῶσιν αἱ σάρκες αὐτῆς, καὶ ἐπάρας μετὰ ταῦτα, ψύξον καὶ διήθησον εἰς ὑέλινον ἀγγεῖον. ἐπὶ δὲ τῆς χρήσεως λαβὼν ἐκ τοῦ ἐλαίου ὅσον ἐξαρκεῖ πρὸς τὴν χρῆσιν, μίσγε μικρόν, καὶ λύσας ποίει κηρωτὴν ἁπαλωτάτην, καὶ εἰς ὀθόνιον ἐπιπλάσας ἐπίθες. ἕψε δὲ τὸ ἔλαιον ὡς προγέγραπται, ἐν οἰκήματι κατωγαίῳ, μηνὶ μαρτίῳ πέμπτῃ, μηδαμῶς ὑπερτιθέμενος τὴν ἡμέραν. οὕτω γὰρ ποιῶν ἐπιτεύξῃ. Τοσαῦτα περὶ τῶν ἀνωδύνων καὶ παρηγορικῶν ἐπιπλασμάτων μοι λελέχθω. Ἁλάτια πεπτικά. Ἁλῶν κοινῶν ℔ α΄, πεπέρεως ℥ γ΄, ζιγγιβέρεως ℥ β΄, ὀριγάνου ℥ β΄, ὑσσώπου ℥ α΄ S'', θύμου ℥ α΄ S'', σελίνου σπέρμα ℥ α΄ S'', φύλλου, εὐζώμου σπέρμα, σιλφίου, ναρδοστάχυος, πετροσελίνου ἀνὰ ℥ α΄ S'', μαράθρου ℥ α΄, ἁλῶν ἀμμωνιακῶν ℔ β΄. ποίησον ξηρίον, καὶ χρῶ.

Ἄλλο. Μαράθρου, δαύκου, ὑσσώπου, πετροσελίνου, κασίας, λιβυστικοῦ, ῥέου ποντικοῦ, σμύρνης, σιλφίου ἀνὰ ℥ α΄, πεπέρεως ℥ β΄, ἁλὸς ἀμμωνιακοῦ ξε α΄. Ἄλλο τὸ Εὐφράτου. Πεπέρεως ℥ γ΄, ζιγγιβέρεως ℥ α΄, λασάρου ℥ S'', ἀνίσου ℥ α΄, κόστου ℥ α΄, ἁλὸς

κοινοῦ ℥ β', ἄρτου τὸ ἀρκοῦν. Ἄλλο. Ἁλῶν κοινῶν ℥ α', ἁλῶν ἀμμωνιακῶν ℥ β', πεπέρεως λευκοῦ Γο γ', πεπέρεως μέλανος Γο γ', * σμύρνης Γο β', κνίκου Γο α', ἄμμεως Γο α' S'', σιλφίου Γο β', φύλλου Γο β', ἀνίσου Γο α' S'', ὀριγάνου Γο β' S'', ὑσσώπου Γο α', θύμου Γο α', καὶ Γο S'', πετροσελίνου σπέρμα ὁμοίως, εὐζώμου ὁμοίως, πεπέρεως μακροῦ Γο ς', ναρδοστάχυος Γο β', κυμίνου, σεσέλεως ἀνὰ Γο α'.

Φυσικὰ διάφορα πρὸς ῥεῦμα ποδῶν.

Ἐπειδή τινες οὔτε διαίτῃ προσκαρτερεῖν δυνάμενοι, οὔτε φαρμακείαν ἀνέχεσθαι, φυσικοῖς τε καὶ περιάπτοις ἀναγκάζουσιν ἡμᾶς ἐπὶ ποδάγρας κεχρῆσθαι, ὥστε τὸν ἄριστον ἰατρὸν πανταχόθεν εὔπορον εἶναι καὶ πολυτρόπως βοηθεῖν ἅπασι τοῖς κάμνουσιν, ἦλθον εἰς τοῦτο. πολλῶν δὲ ὄντων τούτων ἡμῖν δρᾷν πεφυκότων, τὰ πειραθέντα διὰ τῆς μακρᾶς πείρας γράφομεν. Φυσικὸν πρὸς σύειτα ποδῶν πάνυ περιβόητον, καὶ ἐπὶ πολλῶν πεῖραν δέδωκε. Λαβὼν ὀνάγρου νεῦρα, καὶ συάγρου, καὶ πελαργοῦ, πλέξας χορδὰς ἐν ἀκμῇ, περίαπτε τὰ μὲν δεξιὰ νεῦρα τοῖς δεξιοῖς τῶν πασχόντων ποδῶν, τὰ δὲ ἀριστερὰ τοῖς ἀριστεροῖς· καὶ εὐθέως ἄπονον φυλάξεις. μετὰ δὲ τὸ παύσασθαι τὴν ὀδύνην, μηκέτι περιάψῃς, ἀλλ' ὁπηνίκα πάλιν ὀδύνης αἴσθησις γένηται, καὶ θαυμάσεις ὡς οὔτε πόνος, οὔτε ἄλλο κινδυνῶδες οὐδὲν παρακολουθήσει, καθάπερ ἐπὶ πολλῶν ὁρῶμεν πληγμοὺς ἐπακολουθοῦντας, τῶν ποδῶν παυσαμένων τοῦ ῥευματίζεσθαι. τινὲς δὲ τὰ τοῦ πελαργοῦ νεῦρα οὐ συμπλέκουσι τοῖς ἄλλοις, ἀλλὰ φυλάττουσι καὶ βάλλουσιν εἰς δέρμα φώκης, καὶ δεσμοῦσι ταῖς χορδαῖς τῶν χωρὶς τῶν νεύρων τοῦ πελαργοῦ πλακείσαις, καὶ τοῖς ποσὶ τοῦ πάσχοντος περιάπτουσιν ὡσαύτως, τὰ δεξιὰ τοῖς δεξιοῖς, καὶ τὰ ἀριστερὰ τοῖς ἀριστεροῖς, σελήνης οὔσης ἐν ἀποκρούσει, ἢ ἐν ἀσπόρῳ ζωδίῳ, καὶ κρόνου ἐνδύσει. Φυλακτικὸν ποδάγρας καὶ ἀρθρίτιδος. Νάρκην ζῶσαν βάλλε εἰς χαλκοῦν ἀγγεῖον, καὶ εἰς κάκαβον μετ' ἐλαίου καὶ ὕδατος, ἵνα μὴ τὸ ἔλαιον καυθὲν κνισωθῇ, καὶ νάρκισσον τὴν βοτάνην, συνάγων αὐτὴν, ληγούσης σελήνης ἔμβαλε, καὶ αὐτὴν συνέψων τῷ ζώῳ μέχρις ἂν διαλυθῇ ὅλη, καὶ τὰ ὀστᾶ γυμνὰ γένηται, καὶ τότε λοιπὸν τὸ ἔλαιον χωρίσεις ἠρέμα ἐκ τοῦ ὕδατος. πάντα ποίει ληγούσης σελήνης, καὶ χρῖε τὸν κάμνοντα τρίτον τῆς ἡμέρας. καὶ εἰ μὲν πάσχει τὰ ἄρθρα, θεραπεύεται· εἰ δὲ μὴ πάσχει, προφυλάττει αὐτὰ τοῦ μηδέποτε παθεῖν. ποίει δὲ τοῦτο, καὶ ἄλειφε ἐπὶ τρεῖς ἡμέρας, ληγούσης πάντως σελήνης. ἐν ἄλλῳ γὰρ ποιῶν καιρῷ, οὐκ ἐπιτεύξῃ. Ἄλλο διὰ πείρας. Κόρης παρθένου τὸ πρῶτον ἐκ τῶν καταμηνίων ῥάκος μολυνθὲν ἐπίχριε, καὶ οὐ ποδαγριώσει, ποιήσας οὕτως ποτέ. Ἄλλο ποδῶν καὶ χειρῶν προφυλακτικόν. Νεῦρα γυπὸς ἐκ τῶν σκελῶν καὶ τῶν ἄκρων τῶν ποδῶν εἰς τοὺς ἀστραγάλους τοῦ πάσχοντος ἐπίδησον, φυλάττων ὥστε τὰ τοῦ δεξιοῦ ποδὸς τοῦ γυπὸς, τῷ δεξιῷ ποδὶ τοῦ πάσχοντος περιάψαι, καὶ τὰ τοῦ ἀριστεροῦ τῷ ἀριστερῷ· ὁμοίως καὶ τὰ τῶν ἀγκώνων, καὶ τῶν χειρῶν, καὶ τὰ τῶν ὤμων νεῦρα, καὶ τὰ πτερύγια. Ἄλλο. Λαγωοῦ ἀστράγαλοι περιαπτόμενοι πάνυ τὰ ἀρθριτικὰ πάθη ἐλαφρύνουσι. δεῖ δὲ ζῶντα καταλιμπάνειν τὸν λαγωόν. κάλλιον δὲ ποιεῖ καὶ τὸ τῆς φώκης δέρμα ὑποστρωννύμενον τοῖς ὑποδήμασι. λέγουσι δὲ καὶ τὸν ὁμηρικὸν στίχον,

Τετρήχει δ' ἀγορὴ, ὑπὸ δ' ἐστοναχίζετο γαῖα,

χρυσῷ πετάλῳ γράφειν αὐτὸν, οὔσης σελήνης ἐν ζυγῷ. κάλλιον δὲ πολὺ, ἐὰν ἐν

λέοντι

λέοντι εὑρεθῇ. καὶ ἡ μαγνῆτις δὲ λίθος φορουμένη τῶν ἀρθριτικῶν θεραπεύει τὰς ὀδύνας. ὁμοίως δὲ καὶ ὁ ἀετίτης φορούμενος. ἔτι δὲ καὶ τῆς κοτυληδόνος ἡ ῥίζα. τὸ δὲ αἷμα τῆς χελιδόνος περιχριόμενον, θαυμαστῶς παρηγορεῖ ποδαγρικὰς ὀδύνας. Πρὸς ποδάγραν. Ὅταν ἀρχὴν ἴδῃς ὅτι οἱ πόδες φλεγμαίνουσι, λαβὼν σκόρδα, λείωσον καὶ κατάπλασσε ἐπὶ ἡμέραν, μὴ λύσας ὡς ἐγκαυθῆναι, καὶ μετέπειτα εἰς οὖρον παίδων ἀφθόρων πυρώσας κόχλακας, ἔμβαλε ἄπλυτα τῷ οὔρῳ, καὶ χρῶ. μετὰ τοῦτο εἰ τὸ δι' ἀψινθίου ἀναπλάσσεις τοὺς πόδας, ἐναργές ἐστιν οὕτως ὡς μηκέτι ποδαγριάσαι. Προφυλακτικὸν ποδάγρας. Λαβὼν πέταλον χρυσοῦν σελήνης ληγούσης, γράφε ἐν αὐτῷ τὰ ὑποκείμενα, καὶ ἐνδύσας εἰς νεῦρα γεράνου, εἶτα ὅμοιον τῷ πετάλῳ σωληνάριον ποιήσας, κατάκλεισον καὶ φόρει περὶ τοὺς ἀστραγάλους, μει, θρευ, μορ, φορ, τευξ, ζα, ζων, θε, λου, χρι, γε, ζε, ων. ὡς στερεοῦται ὁ ἥλιος ἐν τοῖς ὀνόμασι τούτοις, καὶ ἀνακαινίζεται καθ' ἑκάστην ἡμέραν, οὕτω στερεώσατε τοῦτο τὸ πλάσμα καθὼς ἦν τὸ πρίν, ἤδη ἤδη, ταχὺ ταχύ. ἰδοὺ γὰρ λέγω τὸ μέγα ὄνομα ἐν ᾧ ἀναπαυόμενα στερεοῦνται, ιαζ, αζυφ, ζυων, θρενξ, βαιν, χωωκ, στερεώσατε τὸ πλάσμα τοῦτο καθὼς ἦν τὸ πρότερον, ἤδη ἤδη, ταχὺ ταχύ. Πρὸς ποδάγραν μηδέπω κονδύλους ἔχουσαν, θαυμαστόν, καὶ διὰ πείρας. Λαβὼν χαμαιλέοντα, κόψας αὐτοῦ τοὺς πόδας, καὶ τὰ ἄκρα τῶν ποδῶν, ἢ γονάτων, τὰ τῶν δεξιῶν ποδῶν φύλαξον ἰδίᾳ, καὶ πάλιν ἀπόκοψον ἀπὸ τῶν ἀριστερῶν ποδῶν ὁμοίως τὰ ἄκρα, καὶ φύλαξον καὶ αὐτὰ ἰδίως, καὶ χαράξας τῆς δεξιᾶς χειρὸς τοὺς δύο δακτύλους, τὸν ἀντίχειρα καὶ τὸν παραμικρὸν τῷ ὄνυχι τοῦ χαμαιλέοντος· ὁμοίως δὲ καὶ τῆς ἀριστερᾶς χειρὸς τοῦ δευτέρου δακτύλου χαράξας τῷ ὄνυχι τοῦ * μολύνων τῷ αἵματι τῶν δακτύλων τῆς δεξιᾶς χειρὸς τὰ ἄκρα τὰ δεξιὰ τοῦ χαμαιλέοντος, τὰ δὲ τῆς ἀριστερᾶς αἵματα τὰ ἀριστερὰ τοῦ ζώου ἄκρα. καὶ ποιήσας σωληνάρια κατάκλειε, καὶ φόρει τὰ μὲν δεξιὰ τοῦ ζώου ἄκρα, τῷ δεξιῷ ποδί, τὰ δὲ ἀριστερὰ, τῷ ἀριστερῷ, ἕως οὗ θεραπευθῇ. τὸν δὲ χαμαιλέοντα ἀποτμηθέντων τῶν ἄκρων ἔτι ζῶντα, εἰλήσας ῥάκει λινῷ καθαρῷ, κατάθαπτε πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς. εἰ δὲ συμβῇ καὶ τὰς χεῖρας ἀλγῆσαι ὑπὸ τοῦ προειρημένου πάθους, καθάπτου καὶ τῶν χειρῶν, καὶ ἔνθες εἰς σωληνάρια, καὶ θεραπεύσεις αὐτάς. ποίει δὲ τοῦτο σελήνης ληγούσης. Ποδαγρικὸν φυσικόν.

Κέρατα προβάτων καύσας, καὶ λειώσας μετ' οἴνου εἰς θύαν, τῷ δεξιῷ κέρατι χρίε τὸν δεξιὸν πόδα, καὶ τῷ ἀριστερῷ τὸν ἀριστερόν, καὶ παρηγορήσεις ὀδύνας ποδαγρικάς. Ἄλλο πρὸς ποδάγραν καὶ πᾶν ῥεῦμα. Ἱερὰν βοτάνην ἥτις ἐστὶν ὑοσκύαμος, σελήνης οὔσης ἐν ὑδροχόῳ ἢ ἰχθύσι, περιορύξας τὴν βοτάνην πρὶν ἢ δῦναι τὸν ἥλιον, μὴ ἁψάμενος τῆς ῥίζης, ὀρύξας αὐτὴν τοῖς δύο δακτύλοις τῆς ἀριστερᾶς χειρός, τῷ ἀντίχειρι, καὶ τῷ ἰατρικῷ δακτύλῳ, λέγε, λέγω σοι, λέγω σοι ἱερὰ βοτάνη, αὔριον καλῶ σε εἰς τὸν οἶκον τοῦ φιλεᾶ, ἵνα στήσῃς τὸ ῥεῦμα τῶν ποδῶν καὶ τῶν χειρῶν τοῦδε, ἢ τῆσδε. ἀλλ' ὁρκίζω σε τὸ ὄνομα τὸ μέγα ιαὼθ, σαβαὼθ, ὁ θεὸς ὁ στηρίξας τὴν γῆν, καὶ στήσας τὴν θάλασσαν, ῥεόντων ποταμῶν πλεονάζων, ὁ ξηράνας τὴν τοῦ λὼτ γυναῖκα, καὶ ποιήσας αὐτὴν ἁλατίνην, λάβε τὸ πνεῦμα τῆς μητρός σου γῆς, καὶ τὴν δύναμιν αὐτῆς, καὶ ξήρανον τὸ ῥεῦμα τῶν ποδῶν ἢ τῶν χειρῶν τοῦδε ἢ τῆσδε. καὶ τῇ αὔριον πρὸ ἀνατολῆς λαβὼν ὀστέον οἱουδήποτε ζώου ἀποθανόντος, ὀρύξας αὐτὴν τούτῳ τῷ ὀστέῳ, καὶ λαβὼν τὴν ῥίζαν, λέγε, ὁρκίζω σε κατὰ τῶν ἁγίων ὀνομάτων, ιαὼ, σα-

σαβαώθ, ἀδωναΐ, ἡλωΐ. καὶ λαβὼν αὐτὴν, βάλε ἐν τῇ ῥίζῃ μίαν δραχμὴν ἁλῶν, λέγων, ὡς οἱ ἅλες οὗτοι οὐκ αὔξονται, μηδὲ τὸ πάθος τοῦδε ἢ τῆσδε. καὶ λαβὼν τὸ ἄκρον τῆς ῥίζης, περίαπτε τῷ πάσχοντι, φυλάττων ἄβρεχον, τὸ δὲ λοιπὸν κρέμα ἐπάνω τῆς χάρας ἡμέρας τξ. καὶ περὶ τῶν ποδαγρικῶν τὰ προσήκοντα γράψαντες ἐν βοηθήμασί τε καὶ μεθόδοις, καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν, ἔτι τε καὶ τὰ διὰ τῆς πείρας γνωσθέντα φυσικὰ, τέλος εὐτυχῶς τῇ βίβλῳ προσοίσομεν. Βοήθημα ποδαγρικὸν πάνυ καλόν. Ξηροσμύρνης ἐξάγιον α', ἑρμοδακτύλου ἐξάγια β', τρίψας καὶ σήσας, δὸς πιεῖν ἐν βαλανείῳ μετὰ οἴνου παλαιοῦ.

Κεφάλαια τοῦ δωδεκάτου βιβλίου.

Περὶ

Ἄλλο ἐφ' ὧν σφοδροὶ φαίνονται οἱ πυρετοί, καὶ ἡ περίψυξις μέτριος.

Φυσικὰ περίαπτα. Ἄλλο περίαπτον οὐ πολλὴν ἔχον πεῖραν.

Ἄλλο φυσικὸν πρὸς ἀμφημερινούς.

η' Περὶ τεταρταίου.

Περὶ τοῦ διὰ τὴν ὑπερόπλησιν τῆς ξανθῆς χολῆς κινουμένου τεταρταίου.

Καθάρσιον τὸ διὰ ῥοδομήλου. Καθάρσιον τὸ διὰ τῶν κυδωνίων μήλων.

Περὶ ἐμέτου. Περὶ διαμυρῶν. Περὶ ἀντιδότων.

Ἀντίδοτος ποιοῦσα πρὸς τεταρταίους ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ συνισταμένους.

Ἄλλο ποιοῦν καὶ πρὸς ἀμφημερινούς.

Ἄλλο πρὸς τεταρταῖον. Ἀντίδοτος ἡ ἀχάριστος.

Ἀντίδοτος ποιοῦσα πρὸς τεταρταίους, καὶ αὐτὴ θαυμαστῶς.

Τροχίσκος καλός, πάνυ ποιῶν πρὸς τεταρταίους.

Τροχίσκος ἄλλος ποιῶν καὶ αὐτὸς πρὸς τεταρταίους.

Τροχίσκος ἄλλος κάλλιστος, βοηθῶν ὡς οὐδεὶς ἄλλος, θεραπεύων τάχιστα. ποιεῖ γὰρ ἱδρῶτας, καὶ οὕτω ἀπαλλάττει τῆς πολυχρονίου νόσου τὸν κάμνοντα.

Τροχίσκος πρὸς τοὺς δι' ὑπερόπλησιν τῆς ξανθῆς χολῆς τεταρταΐζοντας.

Ἄλλο ἁπλούστερον. Περὶ τοῦ ἀρμενιακοῦ λίθου.

Ἄλλη ἀντίδοτος θαυμαστή, πολλὰ ποιοῦσα, μάλιστα πρὸς τεταρταίους.


Περὶ λουτροῦ. Περὶ ἀλοιφῆς.

Περίαπτον πρὸς τεταρταίους, πολλάκις ἡμῖν πολλὴν πεῖραν δεδωκός.

Ἐκ τῶν Ἀετίου, περὶ τῶν ἐν τοῖς σπλάγχνοις ἐρισιπελατωδῶν διαθέσεων.

ΑΛΕΞΑΝΔΡΟΥ ΤΡΑΛΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

α' Περὶ πυρετῶν.



Αἰτησαμένῳ σοι, Κοσμᾶ φίλτατε, τὰς ἐκ πείρας ἡμῖν πολλάκις ἀλυθείσας ἐπὶ διαφόρων νοσημάτων ἐκθέσθαι θεραπείας, ἑτοίμως ὑπήκουσα, χάριτας ἀμφοτέροις εἰκότως ὁμολογῶν σοί τε καὶ τῷ σῷ πατρί, τῆς εἰς ἐμὲ παρ' ὑμῶν φιλοφρόνως ἑκάστοτε γινομένης εὐνοίας. ὁ μὲν γὰρ ἐξ ἀρχῆς εὐθὺς οὐ μόνον ἐν τοῖς ἔργοις τῆς τέχνης, ἀλλὰ καὶ τῶν κατὰ βίον πραγμάτων ἁπάντων δεξιὸς ὑπουργὸς ἐγένετο. σὺ δὲ μετὰ βαρβάρων τὴν ἀναστροφὴν μὲν ποιούμενος, διὰ τὴν τῶν βιασαμένων ἡμᾶς πραγμάτων περίστασιν, παριδεῖν οὐ κεκαρτέρησας. διὸ καὶ γέρων λοιπὸν πειθαρχῶ, καὶ κάμνειν οὐκέτι δυνάμενος, τοῦτο τὸ βιβλίον ἔγραψα, συντάξας τὰς μετὰ πολλῆς τριβῆς ἐν ταῖς τῶν ἀνθρώπων νόσοις καταληφθείσας μοι πείρας. τέρψει δὲ πολλούς, εὖ οἶδα, τῶν εἰς φθόνον μὴ θελόντων βλέπειν, τὸ δὲ εὐμέθοδον τῶν θεωρημάτων, καὶ τὸ σύντομον ἅμα, καὶ σαφὲς τῆς λέξεως. ἐσπου-

δασα γὰρ ὡς ἐνδέχεται κοιναῖς καὶ μᾶλλον εὐδήλοις χρήσασθαι λέξεσιν, ἵνα καὶ τοῖς τυχοῦσιν ἐκ τῆς φράσεως εὔληπτον εἴη τὸ σύνταγμα. τὴν οὖν ἀρχὴν ἀπὸ τῶν ἐφημέρων πυρετῶν ποιησόμεθα, τὴν τοῦ θειοτάτου γαληνοῦ διδασκαλίαν ὡς οἷόν τε ἐστὶ κἀν τούτῳ μιμούμενοι. ὅτι μὲν οὐδὲν ἄλλο ἐστὶν ἡ οὐσία τοῦ πυρετοῦ καὶ ἡ ὕπαρξις καὶ ἡ φύσις, εἰ μὴ θερμασία τις παρὰ φύσιν τῆς καρδίας τε καὶ τῶν ἀρτηριῶν, τοῖς ἀρίστοις τῶν ἰατρῶν ἀποδέδεικται, γαληνῷ τε μάλιστα καὶ ἱπποκράτει. φέρειν οὖν ἐν τούτῳ τὴν ἐρασιστράτου δόξαν καὶ ἀσκληπιάδου, καὶ τὸν τῶν ἄλλων ἰατρῶν χορόν, ἐστὶ περιττόν. ὅτι δὲ εὔλογόν ἐστιν ἀπὸ καρδίας μᾶλλον ὁρμᾶσθαι τὸν πυρετόν, ἤπερ ἐξ ἄλλου τινὸς τῶν ἐν ἡμῖν μορίων, ἔνεστιν ἐκ πολλῶν συλλογίσασθαι· εἴπερ ὁ πυρετὸς τροπή ἐστι τοῦ ἐμφύτου θερμοῦ, τὸ δὲ ἔμφυτον θερμὸν ὑπάρχει ἐν τῇ καρδίᾳ, δῆλον ὅτι καὶ ὁ πυρετὸς ἐν τῇ καρδίᾳ ἐστίν. ἐπειδὴ δὲ οὐχ ἁπλῶς μόνη θερμασία παρὰ φύσιν ἐστὶν ὁ πυρετός, ἀλλ᾽ ἐν ὕλῃ τινὶ ὑφέστηκεν, ἡ δὲ ὕλη τριττὴ κατὰ γένος ἐστὶν ἐν ἡμῖν, δῆλον ὅτι καὶ ὁ πυρετὸς ἐν ταῖς τρισὶν ὕλαις συνιστάμενος θεωρηθήσεται, ἐν πνεύμασιν, ἐν ὑγροῖς, καὶ ἐν στερεοῖς. ἐὰν μὲν οὖν τὸ πνεῦμα τραπῇ, ποιεῖ τὸν ἐπὶ πνεύματι πυρετὸν συνιστάμενον, ὃν ἐφήμερον ὀνομάζουσιν· εἰ δὲ τὰ ὑγρά, ποιεῖ τὸν ἐπὶ σήψει· εἰ δὲ τὰ στερεά, ποιεῖ τὸν ἑκτικόν. εἴπωμεν οὖν περὶ ἑνὸς ἑκάστου, τί ἐστι, καὶ πῶς ἐστι διαγνῶναι τὸ εἶδος αὐτοῦ, καὶ θεραπεύειν ἄριστα. πρότερον οὖν ἁπάντων εἴπωμεν περὶ ἐφημέρου ἁπλουστέρου ὄντος, ἅμα γε συνήθως ἐπιγινομένου ἅπασιν ὡς ἐπὶ τὸ πολὺ τοῖς ἀνθρώποις.

Εφημέρων διάγνωσις.

Οἱ ἐφήμεροι πυρετοὶ ἅτε ἐπὶ πνεύμασιν ἔχοντες τὸ εἶναι, σαθρόν τι οὐκ ἔχουσιν οὐδὲ βέβαιον, ἀλλ᾽ ὥσπερ ἔχουσι ταχεῖαν τὴν γένεσιν, οὕτω καὶ τὴν λύσιν· ὅθεν καὶ ἐφήμεροι κέκληνται, ἄχρι μιᾶς ἡμέρας ἔχοντες τὸ εἶναι, ἢ σμικρῷ πλέον ἔσθ᾽ ὅτε. διαγινώσκειν δὲ αὐτοὺς οὕτω δεῖ, ἀπό τε τῆς ἁφῆς, καὶ τῶν οὔρων, ἔτι τε καὶ τῶν σφυγμῶν. ἀπὸ μὲν γὰρ τῆς ἁφῆς τὸ ποσὸν τῆς θερμασίας ἡμῖν καταφαίνεται, κατὰ ποσότητα μόνης ηὐξημένης τῆς θερμασίας, ὡς ἔνεστι θεάσασθαι καὶ τὴν ἐν τῷ βαλανείῳ θερμασίαν. ἀπὸ δὲ τῶν οὔρων, ἐπειδὴ τούτοις τὸ οὖρον φαίνεται κατ᾽ ἀρχὰς ἔχον πέψιν σαφῆ, ὅπερ οὐδενὶ τῶν ἄλλων ὑπάρχει πυρετῶν. καὶ οἱ σφυγμοὶ δὲ τούτων τὴν διαστολὴν ταχεῖαν ἔχουσι καὶ ἐπηρμένην, τὴν δὲ συστολὴν βραχυτέραν. ἐμψύξεως γὰρ μᾶλλον, οὐ καθάρσεως περιττωμάτων χρῄζουσιν. ἔχουσι δὲ καὶ οἱ τοιοῦτοι τὴν ἀκμὴν ὁμαλωτέραν, καὶ τὴν παρακμὴν εἰς καθαρὸν ἐρχομένην διάλειμμα, καὶ παντελῆ ἀπυρεξίαν. ἔστι δὲ καὶ ἄλλα σημεῖα τῶν ἐπὶ πνεύμασι συνισταμένων πυρετῶν, ἀλλ᾽ ἀρκεῖ καὶ ταῦτα σαφηνίσαι ὑμῖν τὸ εἶδος τοῦ πυρετοῦ, καὶ χωρίσαι ἀπὸ τῶν ἄλλων πυρετῶν. Εφημέρου θεραπεία. Οἱ ἐφήμεροι καλούμενοι πυρετοὶ κοινὴν ἔχοντες τὴν γένεσιν, ὅσον ἐπὶ τούτων, κοινὴν ἐπιδέχονται καὶ τὴν θεραπείαν. ἀλλ᾽ ἐπειδὴ οὐ μία τις αἰτία πέφυκεν, ἀλλὰ πλείους καὶ ποικίλαι· καὶ γὰρ κόπος, ἔμψυξις, πλησμονή, ἔνδεια, ἀγρυπνία, φθορὰ γαστρός, ἕλκη, καὶ πάντα, ὡς ἔπος εἰπεῖν, τὰ προκαταρκτικὰ καλούμενα αἴτια, τούτων ἐστὶ γεννητικὰ τῶν πυρετῶν. ἐπεὶ οὖν οὐκ ἔστιν ἓν αἴτιον τὸ ποιοῦν τὸν ἐφήμερον πυρετόν, ἀλλὰ πλείονα, δεῖ καὶ ἡμᾶς οὐκ ὀλίγας τινὰς θεραπείας, ἀλλὰ πλείονας ἐκθέσθαι πρὸς ἑκάστην ἰδέαν ἁρμοζούσας.

Περὶ τῶν ἐπὶ κόπῳ πυρεξάντων.

Οἱ ἐπὶ κόπῳ πυρέξαντες οὐ περιμένουσι τὰ πολλὰ τοὺς ἰατρούς, ἀλλ' εὐθὺς ὁρμῶσιν, ἐπειδὰν αἴσθωνται παρακμάζοντα τὸν πυρετόν, ἐπὶ λουτρόν, ὥσπερ ἔκ τινος φύσεως δεδιδαγμένοι, ὅτι κάλλιστον καὶ πρῶτον ἴαμά ἐστι τὸ λουτρὸν τοῖς κοπωθεῖσιν. οὕτω δὲ καὶ οἱ πλείους πράττουσι τῶν ἰατρῶν ἀσκόπως, καὶ οὐδὲν περιεργαζόμενοι, περὶ τὰ λουτρὰ πέμπουσιν· ὅθεν ἔσθ' ὅτε καὶ πολλοὺς τὰ μεγάλα βλάπτουσιν. εἰ μὲν γὰρ ἀπέριττον εὑρεθῇ τὸ σῶμα, καὶ μήτε πληθωρικὸν ὂν ἢ κακόχυμον, μάλιστα ὠφελοῦνται, καὶ οὐδὲν ἄλλης χρῄζουσι θεραπείας· ὅσοις δὲ πληθωρικὸν εὑρέθη καὶ κακόχυμον, καὶ ἐπιτήδειον πρὸς σῆψιν, ὥστε ἐκ τούτου μὴ μόνον τὸ πνεῦμα, ἀλλὰ καὶ τὰ ὑγρὰ προτέρων παραθερμανθῆναι, τοὐναντίον τὰ μεγάλα βλάπτονται, καὶ εἰς τοὺς ἐπὶ σήψει πυρετοὺς ἑτοίμως ἐμπίπτουσι, καὶ μάλιστα ἐάνπερ καὶ ἀφυλακτότερον διαιτηθῶσιν. ὅπως οὖν μὴ ταὐτὸ πάθωμεν ἐκείνοις, ἐπὶ τὴν διάγνωσιν αὐτῶν ἔρχεσθαι δεῖ πρῶτον. τινὲς μὲν οὖν αὐτῶν εἰσιν ἀκριβεῖς, τινὲς δὲ οὐκ ἀκριβεῖς ὄντες, μεταπίπτουσιν εἰς τοὺς ἐπὶ σήψει. οὕτω γὰρ καὶ λοῦσαι καὶ θρέψαι καλῶς, καὶ μὴ λοῦσαι πάλιν ὅτε μὴ ὀρθῶς δυνηθείημεν. Θεραπεία τῶν ἐπὶ κόπῳ πυρεξάντων. Τοὺς ἐπὶ κόπῳ πυρέξαντας * ἐπειδὰν ἀκριβῶς, ὑγραίνειν ἐξ ἀνάγκης καὶ ἐμψύχειν δεῖ. γενήσεται οὖν ταῦτα, διά τε λουτρῶν εὐκράτων, καὶ διαίτης, καὶ ἐδεσμάτων μηδὲν ἐχόντων διαφορητικόν. ἐπὶ γὰρ τούτων δεῖ πράττειν ἅπαντα ὅσα προσθεῖναι μᾶλλον ὑγρότητα δύνανται, ἤπερ ἀφελεῖν ἐκ τοῦ σώματος, ὥστε οὐδὲ ἀνατρίβειν δεῖ ἐπὶ πολὺ τὸ σῶμα, οὐδὲ ἀλοιφῇ κεχρῆσθαι χλιαρᾷ δι' ἐλαίου μόνου, ἀλλὰ δι' ὑδρελαίου μᾶλλον. καὶ γὰρ ὑγραίνει τοῦτο πλέον τοῦ καθ' αὑτὸ ἐλαίου, καὶ ποδηγεῖται μᾶλλον εἰς βάθος ὑπὸ τοῦ ὕδατος, καὶ ἐμψύχει τὰ ἄρθρα διαθερμανθέντα, καὶ διάπυρα ἐκ τοῦ κόπου γενόμενα. διὸ οὐδὲ ἀλείφειν ἐν τῷ θερμῷ χρὴ ἀέρι, οὐδὲ ἀνατρίβειν. ἱδρώτων γὰρ κινουμένων, οὐδὲ ὑγραίναι ὅλως ἡ ἀλοιφὴ δυνήσεται διεκπίπτουσα σὺν αὐτοῖς. βέλτιον δὴ οἶμαι ἀποπλῦναι τὸν ἱδρῶτα χλιαρῷ πολλῷ εἰς τὸν ἐκτὸς οἶκον ἐξελθόντα, ἐναπομάσσειν τῷ μάκτρῳ, καὶ οὕτως ἀλείφεσθαι τῷ ὑδρελαίῳ, εἶτα περιμείναντα μικρόν, εἰσιέναι εἰς τὴν τοῦ ὕδατος θερμοῦ δεξαμενήν, μηδὲ ὅλως ἐν τῷ ἀέρι διαμείναντα πολλὴν ὥραν, ἀλλὰ παρόδῳ μόνον χρώμενον. οὕτω γὰρ ὑγρανθήσεται, καὶ οὐ δέος ἔσται μὴ διακαεὶς καὶ ἐκπυρωθεὶς ὑπὸ τοῦ ἀέρος, ἕτερον πάλιν ἐπικτήσεται πυρετόν. αὕτη μὲν ἡ ἀγωγὴ πᾶσι τοῖς ἐπὶ κόπῳ συμβάλλεται, καὶ μάλιστα τοῖς ἔχουσι θερμοτέραν τὴν κρᾶσιν. οὐκ οἶδα οὖν διά τι ὁ θειότατος Γαληνὸς ἐλαίῳ μὲν ἐχρήσατο μόνον χλιαρῷ, τὴν δὲ διὰ τοῦ ὕδατος μίξιν ἔφυγεν. ἐξὸν γάρ ἐστι καὶ ψυχρὸν αὐτῷ ὕδωρ μίξαι, ἔτι δὲ καὶ χλιαρόν, καὶ ἁπλῶς πρὸς τὴν κρᾶσιν ἑκάστου καὶ πρὸς τὴν ἐκτροπὴν τῆς θερμασίας, καὶ τῆς ξηρότητος τῆς ἐκ τοῦ κόπου τεχθείσης, οὕτω χρησάσθω καὶ τῇ ἀλοιφῇ. εἰ δὲ καὶ θελήσειας αὐτοὺς ἐκ δευτέρου πάλιν λοῦσαι, καὶ οὕτω πάλιν ἀλεῖψαι, καὶ εἰς τὴν τοῦ θερμοῦ δεξαμενὴν ἐμβιβάσαι, καὶ ποιῆσαι ἐγχρονίσαι, μεγάλως γε οὕτως αὐτοὺς ὀνήσεις, ὡς ὑποστρέψαντας αὐτοὺς ἀπὸ λουτροῦ, παντελῶς ἐπιλαθέσθαι τοῦ κόπου, καὶ πάσης δυσκρασίας, καὶ ταύτῃ τῇ ἀγωγῇ κεχρῆσθαι καὶ ἐπὶ τῶν δι' ἀγρυπνίαν πυρεξάντων καὶ ἐπὶ λύπῃ, καὶ ἐπὶ τῶν ἀνακομιζομένων ἐκ νόσου. λοιπὸν δὲ καὶ περὶ τῶν διὰ συμβᾶσαν ἀπεψίαν πυρεξάντων ἐφημέρων πυρετῶν διαλάβωμεν.

Περὶ τῶν ἐπὶ ἀπεψίᾳ πυρεξάντων.

Ἡ ἀπεψία γίνεται διὰ θερμότητα, καὶ διὰ ψυχρὰν δὲ μᾶλλον δυσκρασίαν· καὶ γινώσκεται ῥᾳδίως ἐκ τῆς ἐρυγῆς, κνισώδης μὲν, ἐπὶ τῆς διὰ θερμότητα· ὀξώδης δὲ, ἐπὶ τῶν διὰ ψυχρότητα ἀπεπτούντων. δεῖ δὲ οὐ μόνον ταῖς ἐρυγαῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι προσέχειν σημείοις, ἡλικίᾳ λέγω, καὶ κράσει, καὶ ἐπιτηδεύματι, καὶ βίῳ, καὶ τῇ ἄλλῃ πάσῃ διαίτῃ τοῦ κάμνοντος. οὔτε γὰρ * ἡ κνισώδης ἐστὶν ἐρυγὴ, πάντως ἤδη καὶ θερμὴν ὑπονοεῖν δεῖ τὴν ἀπεψίαν εἶναι. ἔσθ' ὅτε γὰρ ἐγένετο καὶ διὰ τὴν τῶν ἐνδεδεσμένων ποιότητα, ἢ κνισῶδες, ἢ μηλιτῶδες αὐτῶν φαγόντων. οὐ μὴν οὐδὲ ἡ ὀξώδης ἐρυγὴ πάντως ὑπονοεῖν δίδωσι ψυχρὰν λέγειν τὴν δυσκρασίαν. πολλάκις γὰρ καὶ ὀξώδης τροφὴ καὶ στρυφνὴ τὴν ὀξώδη παρεσκεύασεν ἐρυγὴν φανῆναι. ἔσθ' ὅτε δὲ καὶ θερμότης. γίνεται γὰρ καὶ ὀξώδης ἐρυγὴ οὐ μόνον διὰ ψύξιν, ἀλλὰ καὶ διὰ θερμὴν δυσκρασίαν, καὶ ἀμήχανον τοιαύτην ἐρυγὴν παύσασθαι, εἰ μὴ ψυχούσῃ καὶ ὑγραινούσῃ διαίτῃ χρήσαιτό τις. δεῖ οὖν ἐκ πάντων, ὡς εἰρήκαμεν, διαγινώσκειν, καὶ οὕτω διακρίναντα, βεβαίαν αὐτῶν ποιεῖσθαι θεραπείαν.

Περὶ τῆς διὰ θερμότητα γινομένης φθορᾶς καὶ κνισώδους ἐρυγῆς.

Τοῖς μὲν οὖν διὰ θερμότητα φθορὰν ὑπομείνασι, καὶ ἀπεψίαν κνισώδη, καὶ διὰ τοῦτο πυρέξασι τὸν ἐφήμερον πυρετὸν, οὐ δεῖ τὰ θερμαίνοντα προσφέρειν ἐδέσματα, ἢ ποτά. καὶ γὰρ εἰ πρὸς ὀλίγον δόξουσι παρηγορεῖσθαι, τῶν ἐνοχλούντων πνευμάτων εἰς διαφόρησιν ἐλθόντων, ἀλλ' εἰς ὕστερον αἰτία γίνεται τοῦ μᾶλλον ἐκπυρωθῆναι τὸν ἐφήμερον πυρετόν· ἔσθ' ὅτε δὲ καὶ τὴν ἐπὶ σήψει πάλιν ἐπακολουθῆσαι. ὅπως οὖν μὴ ταῦτα γίνηται, καταλλήλως χρὴ διαιτᾶν, καὶ πρὸς τὴν ποιοῦσαν ἐξ ἐναντίας ἵστασθαι θεραπείαν. ἀμήχανον γὰρ τελείως ἀποπαύσασθαι τὴν ἐνοχλοῦσαν διάθεσιν, καὶ οἷον ἐκ ῥιζῶν ἐκκοπῆναι, μὴ τῆς ποιούσης αὐτὴν αἰτίας ἀναιρεθείσης. εἰ μὲν οὖν ἔτι μετέωρος ἡ φθάσασα κνισωθῆναι τροφὴ φαίνοιτό σοι, τηνικαῦτα κεχρῆσθαι πόματι, τῷ θερμῷ μάλιστα ὕδατι. δυνατὸν γάρ ἐστι τοῦτο τὸ πόμα, τὸ μὲν, ἀποπλῦναι καὶ ἀπορρίψαι, καὶ ὠθῆσαι περὶ τὴν κάτω γαστέρα· τὸ δέ τι, καὶ ἀναδοθῆναι παρασκευάσαι, καὶ προσέτι τὸ ξηρὸν καὶ ἐκπυρωθὲν ἤδη ἐπικεράσαι πνεῦμα, καὶ πραΰναι, καὶ χαυνῶσαι τοὺς πόρους. οὐκ οἶδα εἰ τούτου κάλλιον ἄν τις ἐπινοήσει τοῖς ἀπεπτήσασι διὰ θερμὴν δυσκρασίαν, καὶ διὰ τοῦτο πυρέττουσι τὸν ἐφήμερον πυρετόν. εἰ δέ σοι τὰ διεφθαρμένα μὴ βασταζόμενα φαίνοιτο περὶ τὸν στόμαχον, ἀλλὰ φέροιτο διὰ γαστρὸς, οὐ χρὴ κωλύειν, ἀλλὰ καὶ συνεργεῖν, ὥστε δύνασθαι κενωθῆναι τὰ διεφθαρμένα μᾶλλον διὰ γαστρός. εἰ δὲ συμβῇ διὰ γαστρὸς φέρεσθαι ἀμετρότερον, καὶ δάκνεσθαι τὸ ἔντερον, καὶ ἐπὶ λουτρὸν ἄγειν αὐτοὺς δεῖ, καὶ ἀλείφειν οἴνῳ μηλίνῳ τὰ περὶ τὴν γαστέρα καὶ τὸ ἧπαρ μάλιστα, καὶ τρέφειν ἄρτῳ ἐξ ὕδατος θερμοῦ. ἐμβαλλέσθω δὲ καὶ ῥίζα τοῦ σελίνου, καὶ κοριάννου· μὴ ἀποζεννύσθω γὰρ τὸ σέλινον πάνυ, ἀλλ' εὐθέως ἀφαιρείσθω πρὸ τοῦ βράσαι πολλάκις ἐν τῷ θερμῷ. εἰ δὲ θερμότης εἴη ἐπὶ τὸν στόμαχον, ἢ φλεγμονή τις, οὐδὲ τὴν ῥίζαν ἐπιβάλλειν δεῖ τοῦ σελίνου, ἀλλ' ἄρα τοῦ κοριάννου, ἢ καθ' ἑαυτοὺς ἐσθίειν δεῖ τοὺς ψωμοὺς μετὰ τοῦ θερμοῦ, δεύτερον ἢ τρίτον ἀποζεννύοντα. εἰ δὲ τὰ τῆς γαστρὸς ἐπὶ πλέον φερόμενα εἴη, ὡς λοιπὸν ἀποκάμνειν τὴν δύναμιν, καὶ τὸ ὀμφακόμελι δοτέον, ἢ τὸ ὑδρόμηλον, ἢ τὸ ὑδρορόσατον· εἰ δὲ μὴ φλεγμονὴ φαινομένη εἴη περὶ τὸ στόμα τῆς γαστρὸς, καὶ βρα-

χὺ δοτέον αὐτοῖς κνιδίου, ἢ σαβίνου, βραχεῖαν ἔχοντος στῦψιν. εἰ δὲ ἡ δύναμις ἀβλαβὴς εἴη, φευγέτω ἐπιδιδόναι τὸν οἶνον, καὶ μάλιστα ἐπὶ τῶν ἐχόντων θερμοτέραν τὴν κρᾶσιν. εἰ γὰρ ὑπὸ θερμότητος ἡ κνισσώδης ἀπεψία συνέβη, δῆλον ὅτι μᾶλλον αὐξηθήσεται ἐν τοῖς θερμοτέροις, εἰ βουληθείημεν χρήσασθαι. καὶ θαυμάζειν ἐπέρχεταί μοι πῶς ὁ θειότατος Γαληνὸς ἐν τῇ θεραπευτικῇ πραγματείᾳ τοῖς θερμαίνουσι κεχρημένος φαίνεται. ἀντίδοτον γὰρ αὐτοῖς ἐπιτρέπει διδόναι τὴν διὰ τριῶν πεπέρεων, καὶ τὴν διὰ τῶν κυδωνίων μήλων· ἔξωθεν δὲ πάλιν ἐπιτίθεσθαι κατὰ τοῦ στομάχου πορφύραν ἔχουσαν νάρδου καὶ ἀψινθίας, καὶ μαστίχης. καὶ ταῦτα θερμὰ ἐπιτίθει, διὰ τὸ μὴ ἐκλύεσθαι, φησί, τὸν τόνον τοῦ στομάχου. ἐγὼ δὲ ταῦτα οὐδαμῶς ἁρμόζειν ἡγοῦμαι τοῖς ἔχουσι θερμοτέραν διάθεσιν. καὶ ταῦτα λέγω, οὐδαμῶς εἰς ἀντιλογίαν ἀφορῶν, ἀλλ' ὅτι μοι τὸ ἀληθὲς οὕτως ἐφάνη ἔχειν. δεῖ δὲ τὸ ἀληθὲς παντὸς προτιμᾶν ἀεί. εἰ γὰρ ἀπὸ θερμότητος ἡ κνισσώδης ἐρυγὴ καὶ ἀπεψία συνέβη, ἐχρῆν, οἶμαι, τοῖς ἐναντίοις χρώμενον, * ἐμμέτρῳ χρήσει ταύτην οὕτως ἰᾶσθαι. εἰ δὲ ὑπὸ θερμοτέρων καὶ λιπαρῶν ἐδεσμάτων ἐγένετο, ἀναγκαῖον ἦν καὶ οὕτως ἀμεῖψαι τὴν δίαιταν ἐπὶ τὸ ἐναντίον, ψύχειν μετρίως δυναμένην. καὶ καθόλου μεμαθήκαμεν ὡς πάντα διὰ τῶν ἐναντίων τὰ παρὰ φύσιν ἰᾶσθαι δεῖ. καὶ τὸ πηγάνινον ἔλαιον προσφέρεσθαι παραιτοῦμαι, καὶ εἴ τι ἄλλο ἐστὶ θερμὸν ἔνεμα, καὶ τοῦτο διαφεύγειν, ἐφ' ὧν ἡ φθορὰ καὶ ὁ πυρετὸς διὰ θερμὴν δυσκρασίαν ἠκολούθησε.

Περὶ τῶν ἐπὶ ἀπεψίᾳ πυρεξάντων ὀξωδεστέρου γινομένου χυμοῦ.

Τοσαῦτα περὶ τῶν ἐπὶ κνισσώδει ἐρυγῇ πυρεξάντων. εἴπωμεν δὲ καὶ περὶ τῶν ἐκ ψυχρᾶς ἀπεπτησάντων. ἡ ὀξώδης ἀπεψία οὐ πάνυ πέφυκε ταχέως ἀνάπτειν πυρετόν. εἰ δὲ ἄρα καὶ συμβῇ γίνεσθαι πυρετόν, ὑπονόει, καὶ ζήτει μή ποτε ἄρα καὶ διὰ θερμὴν ἐγένετο δυσκρασίαν ἡ ὀξώδης ἐρυγή. συμβαίνει γὰρ ἔσθ' ὅτε μὴ μόνον διὰ ψύξιν, ἀλλὰ καὶ διὰ θερμότητα πολλάκις ἐπιγίνεσθαι. τὸ γὰρ αὐτὸ καὶ ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν. συμβαίνει γὰρ ἐν τοῖς θερμοῖς πάνυ οἰκήμασιν. ὡσαύτως δὲ καὶ ἐν τοῖς ψυχροῖς πάνυ, τὸν οἶνον ἔσθ' ὅτε εἰς ὀξῶδες μεταβάλλεσθαι. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ζύμης τὸ αὐτὸ θεάσασθαί ἐστι. καὶ γὰρ αὕτη ἐν θερμοτέροις οἰκήμασιν ἐγχρονίσασα, τρέπεται εἰς τὸ ὀξῶδες. τὸ δ' αὐτὸ ὑφίσταται καὶ ψυχθεῖσα ὑπὸ τοῦ ψυχροῦ ἀέρος, ὥστε ὑπὸ τῶν ἐναντίων ἓν καὶ τὸ αὐτὸ γίνεται σύμπτωμα. προσέχειν οὖν ἀνάγκη καὶ τοῖς παροῦσι σημείοις, καὶ τοῖς προηγησαμένοις, ὥστε ἐκ πάντων δυνηθῆναι γνωρίσαι τί ποτ' ἐστὶ τὸ αἴτιον, εἴτε θερμόν, εἴτε ψυχρόν, καὶ οὕτως ἐπὶ τὴν θεραπείαν ἔρχεσθαι. εἰ οὖν ἡ ὀξώδης ἐρυγὴ διὰ θερμότητα συνέβη, τοῖς ἐμψύχουσι καὶ πόμασι καὶ σιτίοις κεχρῆσθαι δεῖ, καὶ μάλιστα τοῖς ἀντέχειν δυναμένοις, καὶ μὴ εὐχερῶς διαφθείρεσθαι. διὰ τοῦτο οὖν οὐδὲ τὸν χυλὸν τῆς πτισάνης ἐπιδιδόναι τούτοις δεῖ, οὐδὲ ἄλικος. εὔφθαρτοι γάρ εἰσι, καὶ ἐπιπολάζουσι, καὶ μετεωρίζονται περὶ τὸν στόμαχον, ὅθεν καὶ μᾶλλον αὐτοῖς συμβαίνει τὸ ὀξύνεσθαι. ἰχθύων οὖν οἱ σκληρόσαρκοι τούτοις ἐπιτήδειοι, καὶ ὄρνις ἀπὸ ζέματος, ἢ ἁπλουστέρῳ ἠρτυμένη ζωμῷ, καὶ ἰσικὸς ὁμοίως σκληρός, οἷός ἐστιν ὁ ἀπὸ τῆς κηρίδος, καὶ ἀπὸ τοῦ γλαύκου, καὶ ὄρφου μάλιστα. καὶ μὴ θαυμάσῃς ὅτι ταῦτα λέγω. τοῖς γὰρ ὑπομένουσι διὰ θερμὴν δυσκρασίαν ὀξύδας, καὶ πόδα βόειον ἐπιδοὺς οὐ βλάψεις, ἀλλὰ καὶ ὠφελήσεις. ἐγὼ γοῦν οἶδα ἐπὶ πολὺν χρόνον ὀξύδας ὑπομένοντά τινα, διὰ τούτων ἰασάμενος. καὶ προσέτι καὶ ὄστρεα μὴ ἑψη-

θέντα

θέντα ἐπιδεδωκώς, καὶ ῥοδάκινα, καὶ πάσῃ τῇ ἐμψυχούσῃ, καὶ δυσφθάρτῳ, καὶ δυσμεταβλήτῳ ἐχρησάμην τροφῇ.

Περὶ τῆς διὰ ψυχρὰν δυσκρασίαν γινομένης ὀξώδους ἐρυγῆς.

Εἰ δὲ μὴ γένοιτο ὑπὸ θερμοτέρας ἡ ὀξώδης ἐρυγή, ἀλλ' ὑπὸ ψυχροτέρας δυσκρασίας, ἁρμόζει τότε μᾶλλον ἡ θερμαίνουσα δίαιτα, καὶ ἀντίδοτοι, οἷάπερ ἐστὶ καὶ ἡ διὰ μήλων, καὶ ἡ διὰ τριῶν πεπέρεων καλουμένη, καὶ ἡ διὰ τοῦ νάρδου ἐμβροχή. ὅσα οὖν ὁ θειότατος γαληνὸς ἐπὶ τῆς κνισώδους ἐρυγῆς ἐπέτρεψε γίνεσθαι, ἅπαντα μᾶλλον ἐγὼ ταῦτα τοῖς ἀπεπτήσασι διὰ ψυχρὰν δυσκρασίαν, ἁρμόζειν νομίζω, καὶ μὴ ἄλλως ἔχειν δύνασθαι.

Περὶ ἐφημέρων πυρετῶν ἐπὶ ἐμφράξει γινομένων.

Γίνεται δὲ καὶ διὰ γλίσχρους χυμοὺς καὶ παχεῖς ὁ ἐφήμερος πυρετός, ἀδιαπνευστούντων, καὶ δριμυτέρων γινομένων δηλονότι διὰ τὴν ἀδιαπνευσίαν τῶν περιττωμάτων. προσέχειν οὖν ἀκριβῶς ἐνταῦθα χρὴ τὸν νοῦν, καὶ διαγινώσκειν εἴτε πλῆθος μόνον ἐστὶ τὸ ποιῆσαν τὴν ἔμφραξιν, εἴτε παχύτης μόνη καὶ γλισχρότης χυμῶν. εἰ μὲν γὰρ πλῆθος εἴη, κενῶσαι δεῖ πρό γε πάντων, διὰ φλεβοτομίας· εἶθ' οὕτω τοῖς κατὰ μέρος χρήσασθαι βοηθήμασιν, ὅσα τε χαλᾶν καὶ διαφορεῖν ἢ λεπτύνειν δύναται. εἰ γὰρ μὴ κενώσας τοῖς χαλαστικοῖς ἢ διαφοροῦσι βουληθείη τις χρήσασθαι, μεγάλων κακῶν αἴτιος γίνεται. τὴν γὰρ ἔμφραξιν ἔτι μᾶλλον ἐπιτείνουσι, τοῖς διαφορητικοῖς πρὸ τῆς πέψεως ἢ κενώσεως κεχρημένοι βοηθήμασιν. εἰ δὲ μὴ πλῆθος εἴη τὸ τὴν ἔμφραξιν ἐργασάμενον, ἀλλὰ γλίσχροι καὶ παχεῖς χυμοί, οὐ δεῖ φλεβοτομεῖν, ἀλλὰ κεχρῆσθαί τισι μᾶλλον ἀποζέμασι τοῖς λεπτύνειν ἀντὶ τοῦ θερμαίνειν δυναμένοις, καὶ μὴ ἐπιτάττειν ἅπερ ἀποτολμῶσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ἕρπυλλον, ἢ καλαμίνθην, ἢ ὕσσωπον, ἢ ὀρίγανον, ἢ πήγανον προσφέρειν τούτοις· οὐκ εἰδότες ὅτι μειζόνως ἀδικοῦσιν, ἤπερ μᾶλλον ὠφελοῦσι τοὺς κάμνοντας. εἰ γάρ τι καὶ λεπτύνειν δοκοῦσι τὴν ὕλην, ἀλλ' οὖν ἄλλως βλάπτουσι, δριμυτέρους ἐργαζόμενοι τοὺς πυρετούς. σπουδάζειν οὖν μᾶλλον ἐκεῖνα ζητεῖν, ὅσα ῥύπτειν καὶ λεπτύνειν οἶδεν, ἀντὶ τοῦ θερμαίνειν. ἔστι δ' ἐν τούτοις τὸ ὀξύμελι καὶ ῥύπτον γενναίως, καὶ τοὺς πυρετοὺς μὴ παροξῦνον. οὐκ ἔστι δὲ οὐδὲ τοῦτο ἀληθὲς ἐπὶ πάντων. ἐφ' ὧν γάρ εἰσι τὰ παχέα τῶν περιττωμάτων αἴτια, ἅτινα καὶ τὴν ἔμφραξιν εἰργάσαντο, καὶ τὸν ἐφήμερον ἀνῆψαν πυρετόν, ὑπὸ θερμότητος ἢ ξηρότητος ὑπομείναντα τὴν παχύτητα καὶ τὴν γλισχρότητα, καθάπερ ἐστὶν ἰδεῖν ἐπὶ τῶν πλέον ἑψομένων ἢ ὑπεροπτημένων τοῦτο γινόμενον· ἐπὶ τούτων οὐδὲ τὸ ὀξύμελι δεῖ παρέχειν, οὐδὲ μὴν ἐφ' ὧν ἐστι ξηροτέρα ἡ κρᾶσις, ἢ λῦπαι τινές, ἢ κόποι προηγήσαντο, ἢ θυμός, ἢ φροντίς, ἢ ἀγρυπνία. εἰ γὰρ καὶ μὴ πάνυ θερμαίνει τὰ τοιαῦτα, ἀλλὰ τὸ ξηραίνειν ἔτι μᾶλλον ἐπιπαχύνει τὴν ὕλην, ἤπερ ὡς νομίζουσι λεπτύνειν. ὅσα γὰρ ὑπὸ ξηρότητος ἐπάγη, καὶ παχύτερα γέγονεν ἑαυτῶν, οὐδέποτε τὰ τοιαῦτα λεπτύνειν δύναταί τι τῶν ξηραινόντων. ἐγὼ γοῦν ἐθεασάμην πολλάκις ἐπὶ τῶν τοιούτων κράσεων, ὅτι δοθὲν ὀξύμελί τινι, ἀντὶ τοῦ προτρέψασθαι τὰ οὖρα, ἐποχὴν καὶ ἔμφραξιν τῆς ὕλης εἰργάσατο μᾶλλον, ὥστε καὶ τοὺς πυρετοὺς ἐπὶ πλέον αὐξηθῆναι διὰ τοῦτο. ἀλλὰ τὸ αἴτιον οὐκ εἰδότες, ἐπ' ἄλλα τὴν αἰτίαν ἀναφέρουσιν. ἐπ' ἐκείνων οὖν ἁρμόζει μόνων ἐπιδιδόναι τὸ ὀξύμελι, ἐφ' ὧν ἵδρυται ὠμά τε καὶ παχέα καὶ ψυχρὰ περιττώματα, καὶ τοῖς φλεγματώδη καὶ ὑ-

γρὰν ἔχουσι τὴν κρᾶσιν, ἐφ' ὧν καὶ ἀπεψίαι καὶ πλησμοναὶ, καὶ ἐν ἀργίαις μᾶλλον ὁ βίος ἐγένετο. ἐπὶ τούτων γὰρ αὐτῶν καὶ ἐπιτήδειόν ἐστι, καὶ εἴ τι γλίσχρον ἐστὶ, καὶ παχὺ, ὑπὸ ψυχρῶν ἐδεσμάτων ἢ πομάτων ἀθροισθὲν, ἀπολύτων τῶν ἄλλων, ὅσαπερ ἐπιτάττουσιν αὖθις ἐν τῷ λουτρῷ ἀποσμήχεσθαι οἱ ἰατροὶ, σάπωνα καὶ νίτρον, καὶ ἀφρόνιτρον· ταῦτα λεπτύναι μᾶλλον καὶ ἐκφράξαι δύναται. πλὴν μέντοι καλόν ἐστιν ἐπὶ τῶν θερμοτέρων κράσεων, οὐ μόνον ὀξυμέλιτος, ἀλλὰ καὶ τῶν ἄλλων ἀποζεμάτων ἀφίστασθαι τῶν ξηραίνειν ἢ θερμαίνειν δυναμένων, ὑγραινούσῃ δὲ μᾶλλον καὶ εὐκράτῳ χρῆσθαι διαίτῃ, μηδὲν ἐχούσῃ τι ξηρὸν ἢ δριμύ. πτισάνη γοῦν αὖθις ἐπιτηδειοτάτη, καὶ ἔξωθεν καὶ ἔσωθεν. καὶ γὰρ μετὰ τοῦ ὑγραίνειν, ἔχει τι καὶ ῥυπτικὸν, καὶ λεπτυντικόν. παραλελέσθω δὲ αὐτῇ μικρὸν ἀπομέλιτος. ἔχει γὰρ καὶ αὐτὸ ῥυπτικόν τι, μετὰ τοῦ μηδὲν ἔχειν θερμόν. καὶ ἰχθὺς δὲ τούτοις ἐπιτήδειος. καὶ γὰρ ἡ ἐξ αὐτοῦ τροφὴ καὶ πέπτεται καλῶς, καὶ οὐδαμῶς ἐνίσχεται. καὶ τῶν κατοικιδίων ὀρνέων τὰ πτερὰ, καὶ οἱ καυλοὶ τῶν θριδάκων, καὶ τὰ ἴντυβα, καὶ τὰ τρώξιμα. οὕτω μὲν οὖν χρὴ διαιτᾶν ἐκείνους, ὑφ' ὧν ὑπὸ θερμότητος ἔδοξέ σοι τὰ περιττώματα γεωδέστερα καὶ παχύτερα ἑαυτῶν γεγονέναι. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, φλεγματικώτερα δέ σοι φαίνοιτο τὰ τὴν ἔμφραξιν ἐργασάμενα, τηνικαῦτα θαῤῥῶν δίδου καὶ ζέμα σελίνου καὶ ἀνίσου, καὶ ἀδιάντου, καὶ ὀξυμέλιτος, μὴ μόνον τοῦ ἁπλουστέρου, ἀλλὰ καὶ τοῦ συνθέτου. ἐπὶ γὰρ τῶν ψυχροτέρων κράσεων, καὶ ἐφ' ὧν ἐστι φλεγματικωτέρα καὶ ὑγροτέρα ὕλη, ἐπὶ τούτων ἐστὶν ἀληθέστατον τὸ εἰρημένον ὑπὸ τοῦ θειοτάτου Γαληνοῦ, ὅτι τὸ ὀξύμελι καὶ ῥύπτει γενναίως, καὶ τοὺς πυρετοὺς οὐ παροξυνεῖ. ἐπὶ δὲ τῶν χολωδεστέρων καὶ μελαγχολικωτέρων ἀσυμφορώτατα. ὅτι δὲ καὶ ἐπὶ τῶν ἀσθενεστέρων ἤδη δυνάμεων οὐκ ἄν τις αὐτῷ χρήσαιτο, καὶ τοῦτ' οἶμαι δῆλον εἶναι τοῖς μεμαθηκόσι τὰ ἱπποκράτους, καὶ προσομιλήσασι καὶ τῇ πείρᾳ μάλιστα, καὶ ὅτι ξυστικὸν ἔχει τῶν ἐντέρων. πολλὰς γὰρ βλάβας καὶ ὠφελείας ἔχει, καὶ ἀκριβῶς δεῖ ἐπίστασθαι τὸν ἐθέλοντα δοῦναι ἢ ὀξύμελι, ἢ βοτάνης ἀπόβρεγμα, ἢ ἄλλο τι τῶν τεμνόντων, θεραπείας χάριν, καὶ τὴν δύναμιν αὐτοῦ τοῦ διδομένου, καὶ τὸ ποσὸν, καὶ τὸ ποιὸν, καὶ τὴν τάξιν, καὶ μὴ ὡς ἔτυχεν ἀπροσδιορίστως ἐπὶ πάντων κεχρῆσθαι τοῖς βοηθήμασι. τοῦτο γάρ ἐστι καὶ ἀρίστου ἰατροῦ, τὸ ζητεῖν ἅπαντα καὶ πολυπραγμονεῖν, καὶ μετὰ προσδιορισμοῦ προσφέρειν τὰ βοηθήματα.

β' Περὶ τῶν ἐπὶ σήψει πυρετῶν.

Ὅτι πάντες οἱ συνεχεῖς πυρετοὶ τὴν γένεσιν ἔχουσι τῆς ὕλης τῆς ἐξαπτούσης αὐτοὺς ἐντὸς τῶν ἀγγείων ὑπερχεούσης καὶ σηπομένης, ἅπασιν ὡμολόγηται, καὶ διὰ τοῦτο καὶ τὸ συνεχὲς ἔχουσι, καὶ οὐδὲ κινοῦσι ῥῖγος, ὅτι μὴ φέρεται περὶ τὰ ἐκτὸς, καὶ δάκνει τὰ
„ αἰσθητικὰ μόρια, ὡς ἐπὶ τῶν διαλειπόντων. ὅθεν ἐπὶ τῶν συνεχῶν, ἐὰν, φησὶ, ῥῖγος ἐπι-
„ γένηται, σημεῖον ἀγαθὸν ἐστί. καὶ ἔστιν ἰδεῖν τοῦτο καὶ ἐπὶ τῶν καύσων. ἐδίδαξε δὲ ἡ-
„ μᾶς τοῦτο καὶ ὁ θειότατος ἱπποκράτης, ἔνθα φησὶν, ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπι-
„ γενομένου, λύσις. ἐδόξασαν δέ τινες καὶ τοὺς διαλείποντας ἐντὸς τῶν ἀγγείων εἶναι, ὥσπερ καὶ τοὺς συνεχεῖς, καὶ μηδὲν ὅλως διαφέρειν κατὰ τὸν τόπον, ἀλλὰ κατὰ τὸ ποσὸν καὶ ποιόν. ἐπὶ μὲν γὰρ συνεχῶν καὶ πολλὴν εἶναι καὶ παχεῖαν τὴν ὕλην ὑποληπτέον, καὶ διὰ τοῦτο μηδὲ ἐκτὸς τῶν ἀγγείων ἐκπέμπειν δύνασθαι. τὴν δὲ τῶν διαλειπόντων, λεπτοτέραν, καὶ ἐπιτηδειοτέραν εἰς τὸ ἐκτὸς φέρεσθαι. ὅτι δὲ τοιοῦτόν ἐστι καὶ ἐπὶ τῶν διαλειπόντων, καὶ ἐκτὸς τῶν ἀγγείων σήπεται ἡ ὕλη, δηλοῦσι

καὶ

καὶ τὰ οὖρα. τὴν γὰρ ὕλην αὐτὴν ἐπιδεικνύουσιν ἡμῖν, τοῦ φθάσασθαι ἤδη σαπῆναι· καὶ δὴ ἐκ τούτου τοὺς ὅλους καιροὺς τῆς νόσου τεκμαιρόμεθα· καὶ πότε πέττεσθαι τὴν ἀρχὴν ἔχει, πότε δὲ ἀνάβασιν, καὶ ἀκμήν. ἕτεροι δὲ οὐ περὶ τοῦ τόπου μόνον ἐν ᾧ συνίστανται, καὶ τῆς γενέσεως, ἣν ἔχουσιν οἱ πυρετοί, διαφέρονται, ἀλλὰ καὶ περὶ τῆς ὕλης αὐτῆς ἐξ ἧς συνίστανται. οἱ μὲν γὰρ εἰρήκασιν ἀνάπτεσθαι καθόλου τοὺς πυρετοὺς ἐκ τῆς χολῆς· θερμὸν γάρ τι πρᾶγμα καὶ ξηρὸν ὁ πυρετός· τοιαύτη δὲ καὶ ἡ χολὴ πρὸς τὸ γεννῆσαι ταύτην ἔχουσα τὴν ἐπιτηδειότητα. οἱ δέ γε αὐτῶν οὐ χολήν, ἀλλὰ τὸ φλέγμα αἰτιῶνται. διότι πάλιν τοῦτο πρὸς τὸ σήπεσθαι καὶ σφηνοῦσθαι, πολλὴν ἔχει τὴν ἐπιτηδειότητα, διὰ τὸ ὑγρόν τε καὶ παχύ. δηλοῖ δὲ τοῦτο ἡμῖν καὶ αὐτὸ τὸ τοῦ φλέγματος ὄνομα. διὰ γὰρ τὸ φλέγειν αὐτὸ καὶ θερμαίνειν, εἴρηται φλέγμα. καὶ τοῦτο μὲν ἐστι φανερῶς ἄτοπον. περὶ δὲ τοῦ μελαγχολικοῦ χυμοῦ ἔδοξάν τινες, μηδέποτε αὐτὸν δύνασθαι ἐξάπτειν πυρετόν, διὰ τὸ ψυχρὸν αὐτὸν εἶναι φύσει, καὶ ξηρόν, καὶ μηδὲν ὑγρὸν ἔχειν ἢ θερμόν, ἐξ ὧν αἱ σήψεις γίνονται. οὐδὲν οὖν θαυμαστόν ἐστι δόξαι τινάς, ὅτι μηδὲ ὅλως ὁ μελαγχολικὸς χυμὸς ἐπιδέχεται σῆψιν. εἰσὶ δέ τινες οἵπερ ἀπεφήναντο, καθόλου μηδέποτε πυρετὸν γίνεσθαι ὑπὸ σήψεως. ἐκκαίεσθαι γὰρ τοὺς χυμοὺς ἐν ταῖς φλεψίν, οὐ σήπεσθαι λέγουσιν. εἰ γὰρ ἦν τοῦτο, φασί, τί δή ποτε μὴ καὶ ἐν τοῖς ἀγγείοις, εἴ γε ἡ σῆψίς ἐστιν, ἕλμινθες ἢ ἄλλα τινὰ τῶν θηρίων ὁρᾶται τικτόμενα, ὥσπερ ἐν τῇ γαστρί, καὶ ἐν ἄλλοις μορίοις; οὐχ ἥκιστα γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς ἁπάντων ἐστὶ τοῦτο θεάσασθαι, ὡς τὰ σηπόμενα γεννᾶν πέφυκε ποικίλων θηρίων ἰδέας, ὧν οὐδὲν ὤφθη ποτὲ δι' οὔρων ἐκκριθέν. δεῖ οὖν λέγειν σήπεσθαι καὶ ἐξάπτεσθαι, καθάπερ ἐστὶν ἰδεῖν τοῦτο ἐπί τε πίσσης καὶ ἀσφάλτου γινόμενον, ἢ καλάμων, ἢ θρυαλλίδων, καὶ ἐπὶ ἄλλων δὲ πολλῶν, ὅσα ἑτοίμως ὑπὸ τοῦ πυρὸς ἔχει τὸ πάσχειν, καὶ ἐξάπτεσθαι. οὕτως οὖν τινα καὶ σπινθῆρος ὀλίγου τυχόντα, εἰς πολλὴν καὶ ἄμετρον ἐξήφθη φλόγα, ὥστε μὴ μόνον τὰ πλησίον, ἀλλὰ καὶ τὰ πορρωτέρω πάντα ἐμπυρισθῆναι. τοιοῦτόν τι καὶ ἐπὶ ἡμῶν γίνεται, φασίν. ἄρχεται μὲν γὰρ ἐκπυροῦσθαι τὸ πνεῦμα καὶ ἐκκαίεσθαι. οὐ γὰρ δὴ σήπεσθαι καὶ αὐτὸ λέγειν. ὅπερ ἐὰν μὴ τύχῃ τῶν ὑγραινόντων καὶ ἐμψυχόντων, ἐπικιρνᾶν αὐτὸ καὶ πραΰνειν δυναμένων, ἐπινέμεται καὶ τὰ πλησίον, καὶ τούτων αὐτῶν ἐκεῖνο δηλονότι πρότερον, ὅπερ ἂν εὑρεθῇ τούτων ἐπιτηδειότερον εἰς τοῦτο. οὐ μόνον δὲ τὸ σήπεσθαι ἐν τοῖς ἀγγείοις τὴν ὕλην, οἶμαι, διαφέρονται, ἀλλὰ καὶ περὶ τοῦ τρόπου τῆς σήψεως. οἱ μὲν γὰρ ταύτην εἰρήκασιν ἐκ θερμοῦ καὶ ὑγροῦ, δηλονότι τῆς ὑγρότητος, εἰς τὰ παλαιὰ καὶ σεσηπότα τῶν ξύλων ἀποβλέποντες· ὁρᾶται γὰρ οὕτως ἔχον. καὶ οἶμαι ἀμφοτέρους ἀληθεῖς εἶναι τοὺς λόγους, καὶ γίνεσθαί ποτε καὶ διὰ ξηρότητα σῆψιν, μᾶλλον δὲ ἔγκαυσιν. τινὲς δὲ τῶν ἰατρῶν οὐδὲ ὅλως ἐν ταῖς φλεψὶν ἔδοξαν γίνεσθαι τὴν σῆψιν, ἀλλὰ μᾶλλον ἐν τῇ γαστρί. πιστοῦνται δὲ τοῦτο καὶ ἐκ τῶν ἐν αὐτῇ τικτομένων ἑλμίνθων, καὶ ἐκ τῆς τῶν διαχωρημάτων ἐκκρίσεως ἐχούσης τὸ δυσῶδες, καὶ τὴν ἐπιτηδειότητα τῆς σήψεως ἐμφαινούσης οὐδὲν ἧττον. δηλοῦσι τοῦτο καὶ ἔμετοι, φασί, πολλάκις οὕτω τελείως ἐκκόψαντες τοὺς πυρετούς, ὡς μηκέτι δὶς παροξυνθῆναι τὸν κάμνοντα. καὶ ἄλλους δὲ πάλιν ἀπυρέτους γινομένους ἐξ ἑνὸς καὶ μόνου ἐπιρρήματος ἑωρᾶσθαι, ἢ ἐνέματος. οὐ μόνον δὲ ἐκ τούτων, ἀλλὰ καὶ ἐξ ἄλλων πολλῶν ἐστιν ἰδεῖν ἀκριβῶς, ὡς ἡ γαστὴρ αἰτία καὶ τῶν κατὰ σηπεδόνα πυρετῶν, τάχα δὲ καὶ τῶν ἄλλων ἀρχὴ καὶ πηγὴ κυ-

είως αὐτὴ καθέστηκεν. Διάγνωσις τοῦ εἶναι τὸν πυρετὸν ἐπὶ σήψει. Εἰδέναι χρὴ περὶ γε πάντων, ὡς οὐ μόνον ἀπὸ * καταρκτικῆς αἰτίας ἔχουσιν οἱ ἐπὶ σήψει πυρετοὶ τὴν γένεσιν, ἀλλὰ καὶ ἀπὸ μεταπτώσεως τῶν ἐφημέρων πυρετῶν. γνωριεῖς δὲ τὴν μετάπτωσιν τῶν πυρετῶν ἐκ τριῶν τούτων μάλιστα σημείων· πρῶτον μὲν, ἐκ τοῦ τὸν προηγησάμενον ἐφήμερον πυρετὸν μὴ εἰς καθαρὸν τελευτᾶν διάλειμμα· δεύτερον, καὶ τὸ μὴ γίνεσθαι τὴν ἀκμὴν εὔφορον· καὶ τρίτον, τὸ μὴ παύεσθαι μετὰ νοτίδος τῆς ἀκμῆς, ἢ μετὰ ἱδρῶτος. ταῦτα τὰ σημεῖα σαφέστατά εἰσι τοῦ μεταπίπτειν τὸν ἐφήμερον πυρετὸν εἰς τοὺς ἐπὶ σήψει. εἰς ποῖον δὲ εἶδος πυρετοῦ μεταπίπτειν μέλλει, στοχάζεσθαι δεῖ καὶ διαγινώσκειν οὕτως. εἰ μὲν γὰρ ὠχρὸς εἴη καὶ ἄγρυπνος, καὶ φροντιστικὸς, καὶ ἀκμάζων τὴν ἡλικίαν, γίνωσκε ὡς χολὴ πᾶσα τὸν τριταῖον ἀνῆψε πυρετόν· εἰ δὲ λευκὸς, καὶ ἀργὸς τὸν βίον, γίνωσκε ὅτι ἀμφημερινός ἐστιν· ὥσπερ καὶ εἰ μολιβδόχροος, τεταρταῖος. καὶ ταῦτα μὲν τὰ σημεῖα τῶν ἐκ μεταπτώσεως ἐφημέρων πυρετῶν ἐστιν εἰς τοὺς ἐπὶ σήψει. λοιπὸν δὲ καὶ καθόλου παρέπεται αὐτοῖς ἃ μηδενὶ τῶν ἄλλων ὑπάρχει πυρετῶν, οἷον, ῥῖγος, ἢ φρίκην, ἢ περίψυξιν ἐπιγίνεσθαι, καὶ μάλιστα ἐπὶ τῶν διαλειπόντων. ἐπὶ γὰρ τῶν συνεχῶν, τούτων οὐδέν τι συμβαίνει, ἀλλὰ καὶ εἰ συμβῇ ἢ φρίκη, ἢ ῥῖγος, ἐπὶ τῶν ἡμιτριταίων τὸ τοιοῦτον συμβαίνει. καὶ ἡ ἀνώμαλος τῶν σφυγμῶν κίνησις. καὶ ἡ θερμασία δὲ τούτοις μάλιστα παρέπεται, καὶ τὸ πολλὰς ἀναδιπλώσεις μάλιστα ποιεῖσθαι, καὶ μιμεῖσθαι τὴν τῶν περιστερῶν κόπρον, τὴν κατὰ διαδοχὴν τῆς σήψεως ἀνάπτουσαν πῦρ, καὶ πάλιν παυομένην. καὶ ἡ δακνώδης δὲ ποιότης, καὶ αὐτὸ μέγιστον σημεῖον τῶν ἐπὶ σήψει πυρετῶν. ἔστι μὲν γὰρ καὶ ἐν τοῖς ἐκτικοῖς, ἀλλὰ καὶ ἐν τῷ βάθει μᾶλλον ἀποσμήχεται. ἐπὶ δὲ τῶν ἐπὶ σήψει ἐπιπολῆς * ἡ συναίρεσις τῆς δακνούσης ποιότητος. μέγιστον δὲ καὶ βεβαιότατον σημεῖον, καὶ τὸ τάχος τῶν σφυγμῶν μετὰ συστολῆς, καὶ ἀπεψία τῶν οὔρων. ἐπὶ γὰρ τῶν ἐφημέρων ἀεὶ πεπεμμένα φαίνεται. τοσαῦτα καὶ περὶ τῆς διαγνώσεως τῶν ἐπὶ σήψει.

Περὶ θεραπείας συνεχῶν.

Τοὺς συνεχεῖς τῶν πυρετῶν ἰᾶσθαι δεῖ μετὰ πολλῆς ἀκριβείας, ὀξέως τε πράττειν ὅπερ ἂν ἡ διάγνωσις ὑπαγορεύσοι, εἴτε φλεβοτομίαν, ἢ κάθαρσιν δεήσει. μέγιστον γὰρ κακόν ἐστιν ἐν πᾶσι τοῖς νοσήμασιν ἡ ἀναβολή. οἵτε γὰρ πυρετοὶ σφοδρότεροι γίνονται, τῆς σήψεως ἐπιτεινομένης, ἥ τε δύναμις ἀσθενεστέρα γίνεται, οὐκ ἔτι δυναμένη φέρειν τὸ μέγεθος τῶν πυρετῶν, οὔτε ἔτι δύνασθαί τι τῶν μεγάλων βοηθημάτων εἰς θεραπείαν παραλαμβάνειν. Διάγνωσις. Τοὺς μὲν οὖν φλεβοτομίας δεομένους ἔνεστί σοι διαγινώσκειν οὕτως. ἐρυθρὰ ἔχουσι καὶ ταραχώδη τὰ οὖρα, καὶ σηπεδονώδη, καὶ δριμὺ πλέον φαίνεται. καὶ τὰ ὄμματα θολώδη, καὶ ἐρυθρὰ ἴσχουσι, καὶ τὸ ὅλον σῶμα βαρύνεται, καὶ τὰς φλέβας εὐρυτέρας, καὶ ἐν ὄγκῳ μείζονι τοῦ πρόσθεν ἔχουσι. λοιπὸν δὲ καὶ τὰ προηγησάμενα κατάδηλόν σοι ποιήσει τὸν πλεονάζοντα χυμόν· καὶ μάλιστα ἡ δίαιτα. θερμοτέροις γὰρ ὡς ἐπιτοπολὺ εὑρίσκονται καταχρησάμενοι βρώμασί τε καὶ πόμασι, καὶ οἴνοις πλείοσι, καὶ παλαιοτέροις, καὶ λιπαροῖς κρέασι. πολλοὶ δὲ καὶ ἀσιτήσαντες ἢ θυμωθέντες, ἐνέπεσον εἰς τοὺς ἐπὶ σήψει συνεχεῖς πυρετούς. οἱ δὲ, δι' αἱμορροΐδας ἐποχήν· οἱ δὲ, διὰ πλῆθος αἵματος, ταῦτα μᾶλλον ἴσχουσι τὰ σημεῖα· οἱ δὲ διὰ χολὴν περιττεύουσαν, ἔξωχροί εἰσι μᾶλλον καὶ μελάντεροι. ὅτε δὲ καὶ πλεῖον ὑπερπληθῶσιν οἱ χυμοί, τότε αὐτοῖς ἐστιν ἔτι μᾶλ-

μᾶλλον τὰ οὖρα ὠχρότερα, καὶ πολλάκις μελαίτερα φαίνεται. καὶ τὰ διαχωρήματα ὡσαύτως δριμέα τε καὶ χολώδη. οὕτως οὖν χρὴ τοὺς πλεονάζοντας χυμούς, ὁποῖοί τε εἰσὶ γνωρίζειν. Θεραπεία. Θεραπεύειν οὖν χρὴ τοὺς διὰ σῆψιν καὶ πλεονασμὸν αἵματος, διὰ φλεβοτομίας· οὐ μὴν ἧττον καὶ τοὺς ὑπὸ χολῆς ὀχλουμένους φλεβοτομήσεις, εἴπερ ὀργῶσα φαίνοιτό σοι καὶ ἐπιτηδεία πρὸς κάθαρσιν, καὶ παχυτέρα, καὶ τῷ πλήθει λυποῦσα. διαπνεῦσαι γὰρ χρεία τὴν ἔνδον ἐμφωλεύουσαν ὕλην, καὶ σηπομένην· ἐλάττων γὰρ γίνεται· καὶ μὴ συγχωρεῖν σφηνοῦσθαι καὶ σήπεσθαι διὰ τὸ πλῆθος, καὶ τὴν παχύτητα. εἰ δὲ μὴ δύνῃ φλεβοτομίαν παραλαβεῖν, διὰ τὸ τὴν δύναμιν ἀσθενεστέραν εἶναι, ἢ διὰ τὸ δεδοικέναι φλεβοτομηθῆναι τὸν κάμνοντα, τότε πλέον ἀπόβλεπε πρὸς τὴν ψύχειν τε καὶ ὑγραίνειν δυναμένην δίαιταν, ἀπολεπτῦναί τε καὶ διαχέειν ἐπὶ τοσοῦτον ἐκτὸς τοῦ θερμαίνειν. ἐπειδὰν δὲ οὗτος πρᾳότερος τις ἐλάττων φανῇ, καὶ πολὺ μειωθεῖσα ἡ ὕλη, καὶ τὰ τῆς πέψεως ἔχουσα σημεῖα, θαρρῶν ἐπιδίδου ψυχρὸν ὕδωρ. Περὶ ψυχρᾶς πόσεως. Καὶ μάλιστα εἰ καὶ ὁ κάμνων ἔθος ἔχει τοῦ πίνειν ὕδωρ, καὶ προσέτι εἰ καὶ μὴ φλεγμονὴ ἢ σκιρρώδης ὄγκος ἢ οἰδηματώδης ὑπάρχει περί τι τῶν μορίων. εἰ γάρ τι φανείη τούτων, φυλάττεσθαι τὴν τοῦ ψυχροῦ πόσιν.

Περὶ φλεγμονῆς ἐρυσιπελατώδους.

Εἰ δὲ καὶ φλεγμονὴ ζέουσα καὶ ἐρυσιπελατώδης οὖσα τύχῃ τότε, μὴ πτοηθῇς δοῦναι τὴν τοῦ ψυχροῦ πόσιν· προλέγε μέντοι τὸ μέλλον ἔσεσθαι, ὡς σβεσθῆναι μὲν τὸ ζέον τῶν πυρετῶν ἀνάγκη, ἀπύρετον μέντοι μὴ παντάπασι γίνεσθαι, ἀλλ' ἐν χρόνῳ τινὶ ἀκινδύνως καὶ κατὰ μέρος ἀποπαύσασθαι τὸ περιλειφθὲν ἔτι, καὶ οἷον λείψανον ὑπάρχον τοῦ πυρετοῦ. ἐγὼ γοῦν ἐπί τινος ἐρυσίπελας ἔχοντος, καὶ νοσοῦντος καυσώδη καὶ συνεχῆ πυρετόν, οἶδα δεδωκὼς τὸ ψυχρὸν ὕδωρ, καὶ παρ' αὐτὰ σβέσας τὸ σφοδρὸν τοῦ πυρετοῦ, ἐκτός τε κινδύνων ποιήσας τὸν κάμνοντα, κινδυνεύοντα διαφθαρῆναι ὑπὸ τῶν ἀκαίρων καταπλασμάτων καὶ ἐνεμάτων, ὡς εἰώθασι πάντοτε προσφέρειν ἐπὶ πάντων οἱ ἰατροί. Σημεῖα περὶ τῶν ἐχόντων ἐρυσιπελατώδη φλεγμονήν. Εἰδέναι δὲ δεῖ ὡς οἱ πυρέττοντες καύσωνα πυρετὸν ἐπὶ ἐρυσιπελατώδει φλεγμονῇ, διψῶσι μᾶλλον τῶν ἄλλων, καὶ ἀπορρίπτουσι τὴν ἐσθῆτα τοῦ σώματος. ἰσχυρότερον δὲ μᾶλλον καὶ διὰ τρίτης ἐπιπαροξύνονται, καὶ διὰ τῆς γαστρὸς ἐκκρίνουσι χολώδη καὶ ἰχωροειδῆ περιττώματα, καὶ οἱ ἐν τῷ πνεύμονι φλεγμονὴν ἔχοντες ἐρυσιπελατώδη, ἀλλ' οὐ διψῶσιν οὕτω σφοδρῶς. ἀναπνέουσι δὲ πυκνὸν καὶ μέγα, καὶ τὰ μῆλα ἔχουσιν ἐρυθρά, καὶ τὴν γλῶτταν τραχεῖαν, καὶ παραφρονοῦσι, καὶ τοῦ ψυχροῦ ἀέρος μᾶλλον ἐπιθυμοῦσι, καὶ μᾶλλον ὠφελοῦνται ὑπ' αὐτοῦ, ἢ τοῦ ψυχροῦ πόματος, ὅπερ μᾶλλον τοῖς ἔχουσιν ἐν ἄλλῳ μέρει φλεγμονὴν ἐρυσιπελατώδη διδόναι δεῖ. τοῖς δ' ἔχουσι περὶ τὸν πνεύμονα, ψυχρὸν ἀέρα παρασκευάζειν ἀναπνεῖν μᾶλλον. ὑπ' αὐτοῦ γὰρ καὶ ὠφελοῦνται.

Περὶ νόθου καύσου. γʹ

Εἰδέναι δὲ δεῖ καὶ τοῦτο, ὡς δύο εἰσὶν εἴδη καύσου. ὁ μὲν γάρ ἐστι γνήσιος καὶ ἀκριβής, πάντα τὰ προειρημένα ἔχων, δίψαν σφοδράν, διαχωρήματα χολώδη, καὶ γλῶτταν τραχεῖαν, καὶ μέλαιναν. οἱ δὲ νόθοι φέρουσι μὲν καὶ αὐτοὶ δίψαν, ἀλλ' οὐ πάνυ σφοδρὰν καὶ ἐπιτεταμένην, οὐδὲ τὴν μέλαιναν τῆς γλώττης, οὐδὲ τὸ διὰ γαστρὸς ἐκκρίνειν

χολώδη, ἀλλὰ μᾶλλον διεφθαρμένα. οὐδὲ πικρὰ περὶ τὴν γεῦσιν ἡ αἴσθησις, ἐκ τοῦ φλεγματώδους καὶ ἁλμυροῦ χυμοῦ πλεονάζοντος μᾶλλον, ὅθεν καὶ τὸ ἐπικίνδυνον ἔχει μᾶλλον τοῦ γνησίου πυρετοῦ. τοῖς μὲν οὖν γνησίοις καύσοις καὶ ἀκριβέσιν, ἅτε δὴ ὑπὸ ξανθῆς χολῆς κινουμένοις, ἁρμόζει μᾶλλον ἡ τοῦ ψυχροῦ ὕδατος πόσις, καὶ τἆλλα πάντα ὅσα ψύχειν καὶ ἔξωθεν δύναται δυνάμει καὶ ἐνεργείᾳ. τοῖς δ' ὑπὸ τοῦ φλέγματος κινουμένοις φείδεσθαι δεῖ ψυχρὸν πόμα προσφέρειν, καὶ πάντα τὰ ἐνεργείᾳ ψυχρά· ἀλλὰ μᾶλλον ὅσα προσηνῆ θερμότητα καὶ χλιαρὰν κέκτηται, οἷά ἐστι τὰ διὰ τοῦ λινοσπέρμου ἐπιρρύματα καὶ μόνα. πολλάκις δὲ καὶ διὰ κριθίνου ἀλεύρου εἰς ὕδωρ ἑψηθέντος, ἐν ᾧ χαμαίμηλα καὶ μελίλωτα ἀπεζέσθησαν. καὶ τὰ ῥάκη δὲ τούτοις ἁρμόζει τὰ ἐκ τῶν ἐρίων ὑφανθέντα, μᾶλλον εἰς τὸ ζέμα τῶν προειρημένων βοτανῶν ἀποβρεχόμενα. δῆλον δὲ ὅτι καὶ ἐλαίων τινῶν προσειληφότος τοῦ ζέματος, οἷόν ἐστι χαμαίμηλον, ῥόδινον, καὶ τὸ ὀμφάκινον. γινώσκειν δὲ δεῖ ὅτι οὐ μόνον τοῖς νόθοις συμφέρει τὰ τοιαῦτα ἐπιρρύματα, ἀλλὰ καὶ τοῖς γνησίοις. τοῖς μέντοι νόθοις πλέον. ὅσα γὰρ καὶ δυνάμει καὶ ἐνεργείᾳ ψυχρά, τὰ τοιαῦτα τοῖς γνησίοις μᾶλλον ἁρμόζειν, οἷάπερ ἐστὶ καὶ τὰ διὰ τοῦ ῥοδίνου σκευαζόμενα ληξιπύρετα, καὶ προσειληφότα χυλὸν ψυχουσῶν βοτανῶν, κοτυληδόνος τε καὶ ὀξαλίδος, καὶ θριδακίνης, καὶ ἀτραφάξυος, καὶ ἀνδράχνης, καὶ ἀρνογλώσσου, καὶ ἄλλων μυρίων. διαγνοὺς οὖν τὰς διαφορὰς αὐτῶν, καὶ τὴν ὕλην ὅθεν ἐξάπτονται, οὕτω καὶ τὸ ποσὸν τῆς ἐμψύξεως, καὶ τὸν τρόπον παραλάμβανε τῆς τοῦ διαφορουμένου κενώσεως.

Πρὸς στόμαχον ἔχοντα πύρωσιν.

Τοῖς δὲ καυσουμένοις τὸν στόμαχον, καλῶς ποιήσει καὶ ψυχρὸν ὕδωρ μετὰ ῥοδίνου ἀνακοπέν, καὶ ἔξωθεν ἐπιβληθέν, ἢ σήσαμον ὕδατι βραχέν, εἶτα ἐπιμελῶς λειωθὲν μετὰ ῥοδίνου. καὶ ῥοδίνη κηρωτὴ ποιεῖ καλῶς, προσλαβοῦσα χυλὸν ἀνδράχνης, καὶ ὄμφακος ἴσον. εἰ δὲ καὶ ὅλον τὸ σῶμα ὑγρὸν ποιήσας τὴν κηρωτὴν ἀλείψεις, μεγάλως ὠφελήσεις.

Διάγνωσις τῶν ἐπὶ αἱματικῷ χυμῷ κινουμένων πυρετῶν.

Γνωριεῖς δὲ τοὺς ἀπὸ σήψεως αἱματικοῦ χυμοῦ ἀναπτομένους πυρετούς, ἔκ τε τοῦ πραεῖαν εὐθὺς κατὰ τὴν πρώτην ἐπιβολὴν τὴν θερμασίαν φαίνεσθαι, καὶ μηδὲν ἔχουσαν δακνῶδές τε καὶ δριμύ, οἷόν ἐστιν ἐπὶ τῶν ἐξ ὑπερπλήσεως τῆς ξανθῆς χολῆς ἀναπτομένων πυρετῶν. φαίνεται μὲν γὰρ καὶ ἐπὶ τῶν ἐπὶ φλέγματι σηπομένων πυρετῶν εὐθὺς κατ' ἀρχὰς θερμασία πραεῖά τε καὶ ἀτμώδης. ἀλλ' εἰ χρονίσει τις, ὀλίγον ὕστερον προσγίνεται τῇ ἁφῇ δακνώδης θερμασία, ὡς δι' ἠθμοῦ τινος ἢ κοσκίνου ἀναφερομένη. διαγνοὺς οὖν τοὺς ὑπὸ αἵματος κινουμένους πυρετοὺς εὐθὺς κατ' ἀρχάς, ὡς προείρηται, φλεβοτόμησον. τοὺς δὲ ὑπὸ χολῆς, κάθαιρε μᾶλλον, ἐὰν ὀργῶσά σοι φαίνοιτο ἡ ὕλη, καὶ μήτε ὁ πυρετὸς εἰσβαλλὼν εἴη σφοδρός. οἶδα δὲ καὶ πυρέττοντα ὀξέως καθάρας. ἀλλὰ χρήζει τὰ τοιαῦτα πολλῆς καὶ ἀκριβοῦς διαγνώσεως, καὶ θαρρῆσαι δυναμένου ἰατροῦ. ἀρκεῖ δὲ καὶ μόνον φλεβοτομῆσαι τὸν κάμνοντα, διὰ τὸ ἀσφαλέστερον καὶ δυνατώτερον, ἐμψυχούσῃ τε καὶ ὑγραινούσῃ λοιπὸν χρῆσθαι διαίτῃ, καὶ τοιούτοις ἀλείμμασι.

Περὶ διαίτης.

Ἐπὶ πάντων μὲν ὁ τῆς πτισάνης χυλὸς ἐπιτήδειος, ἀλλ' ἐπὶ μὲν τῶν γνησίων καὶ διακαῶν καύσων, καὶ δίψος ἐχόντων σφοδρόν, καὶ ψυχρανθέντα ἐπιδιδόναι τὸν χυλόν. καὶ τὰς κηρωτὰς δὲ ὁμοίως σκευάζειν δεῖ, διὰ τοῦ ψυχροῦ ὕδατος καὶ ῥοδίνου, καὶ τῶν ἐμψυχόντων. ἐπὶ δὲ τῶν νόθων οὐδαμῶς,

ἀλλ' ἀρ-

κεῖ χλιαρὰ πάντα καὶ εὔκρατα, καὶ μηδὲν ἔχοντα τῆς σφοδρᾶς ψύχειν δυναμένων· καὶ θριδακίνης δὲ * χλιανθέντας καυλοὺς, καὶ ᾠὰ, ὁμοίως δὲ ἴντυβα, καὶ τρώξιμα, καὶ κολοκύνθας, ἐπιδιδόναι πάντα συμφέρει τοῖς διακαέσι πυρέττουσι. τὸ γὰρ ὀξύμελι φεῦγε παντελῶς τούτοις ἐπιδιδόναι, καὶ πάντων ὅλως ἀποσχέσθαι. εἰσὶ γὰρ πάντα ταῦτα τοῖς πάνυ πυρέττουσι πολέμια. εἰ δ᾽ ἄρα συμβῇ γενέσθαι πολλὴν ἀγρυπνίαν τῷ κάμνοντι, τηνικαῦτα τὴν διὰ κωδειῶν αὖθις ἀντίδοτον ἐπιδιδόναι δεῖ. καὶ γὰρ μετὰ τὸ ποθῆναι, ὕπνον ἐμποιεῖ, καὶ τὸ σφοδρὸν δὲ τὸ διακαὲς ἀμβλύνει τῶν πυρετῶν. εἰ δ᾽ ἄρα καὶ τοῖς νόθοις ἐπιδοῦναι δεηθείης αὐτὴν, δι᾽ ἀγρυπνίαν ἢ παραφροσύνην ὀχλοῦσαν τῷ κάμνοντι, ὀλίγον αὐτῇ προσπλέξας ἀπομέλιτος, οὕτως ἐπιδίδου. οὕτω γὰρ οὐ φοβηθῇς μὴ τῇ ψύξει παχυτέραν ἐργάσηται τὴν ὕλην τὸ φάρμακον. καὶ ῥοδόμελι δὲ καὶ ὑδρορόσατον οἶδα δεδωκὼς, ὕδατι μίξας, τοῖς καιομένοις μάλιστα τὸ ἧπαρ, καὶ ῥόδινον αὐτὸ καθ᾽ ἑαυτὸ ψυχρανθέν. Περὶ λουτρῶν. Λούειν δὲ χρὴ τοὺς καυσώδη καὶ διακαῆ νοσοῦντας πυρετὸν, ἐν τῷ οἴκῳ μᾶλλον, ἐν σκάφῃ χλιαρὸν ἐχούσῃ ὕδωρ πολὺ, ὥστε πανταχόθεν ὑπὸ τοῦ ὕδατος περιέχεσθαι ὅλον τὸ σῶμα τοῦ κάμνοντος. μὴ προσαντλείτω δέ τις αὐτῷ μήτε κινείτω τι ὅλως τὸ ὕδωρ. διαφορητικὸν γάρ ἐστι τῆς δυνάμεως καὶ καταβλητικόν. διόπερ οὐδὲ τοὺς ἔχοντας ἀσθενῆ πάνυ τὴν δύναμιν δεῖ σκαφολουτεῖν, ὅ ἐστι παρὰ ῥωμαίοις, * κιτάδα ἐμβαλεῖν, ἀλλ᾽ ἐκείνους ἐμβιβάζειν δεῖ, ὅσοις ἡ δύναμις ἀντέχειν τε καὶ φέρειν δύναται τὴν ἀπὸ τοῦ χλιαροῦ γινομένην ἔκλυσίν τε καὶ διαφόρησιν. Τοσοῦτον περὶ τῶν καύσων καὶ συνεχῶν εἰρήσθω πυρετῶν. καὶ ἀρκούντως ἔχειν ἡγοῦμαι καὶ ταῦτα. εἰ γάρ τι παραλέλειπται τῶν κατὰ μέρος, ἐκ τῶν καθόλου καὶ μερικῶς εἰρημένων δυνήσεταί τις ἑαυτῷ τὸ λοιπὸν ἐξευρίσκειν.

Περὶ συγκοπῆς τῆς ἐν πυρετοῖς γινομένης.

Γίνονται δὲ συγκοπαὶ δυνάμεων ἐπὶ τῶν καμνόντων αἰφνιδίως, ἢ διὰ πλῆθος χυμῶν ὠμοτέρων, καὶ μάλιστα βαρυνόντων τὸ στόμα τῆς γαστρός· ἢ διὰ χολώδεις καὶ ὑπερλέπτους χυμοὺς, καὶ διαφορουμένους ἑτοίμως, ἔσθ᾽ ὅτε δὲ καὶ συρρέοντας εἰς τὸ στόμα τῆς γαστρὸς, ὥστε καὶ διὰ τοῦτο συμβαίνειν ἐπὶ πλέον συγκόπτεσθαι τὴν δύναμιν. ἐπειδὴ οὖν οὐ διὰ μίαν αἰτίαν, ἀλλὰ καὶ δι᾽ ὠμοὺς χυμοὺς ἐπιγίνονται συγκοπαὶ, καὶ διὰ λεπτοὺς, καὶ χολώδεις, εἰδέναι δεῖ καὶ διακρίνειν ὅπως χρὴ γινώσκειν τὰς τούτων διαφοράς. ἄνευ γὰρ διαγνώσεως οὐχ οἷόν τε ἁρμόσασθαι καλῶς πρὸς ἑκάστην αἰτίαν. Διάγνωσις τῶν ἐπὶ πλήθει συγκοπτομένων πυρετῶν. Οἱ μὲν ἐπὶ πλήθει ὠμῶν χυμῶν συγκοπτόμενοι, πρῶτον μὲν ἔχουσι τὸ πρόσωπον οἰδαλεώτερόν τε καὶ ὠχρότερον, καὶ τὸ στόμα τῆς γαστρὸς, καὶ ὅλην τὴν γαστέρα πνεύματος μεστὴν, καὶ τοὺς σφυγμοὺς ἔχουσι μικροὺς, καὶ ἀραιοὺς, καὶ βραδεῖς, καὶ ὀξώδεις ἐρυγὰς ὑπομένουσι, καὶ φλεγματικωτέραν δὲ τὴν ἕξιν. καὶ τὰ προηγησάμενα δὲ σαφέστερον ἔτι σοι δηλώσει τὸν πλεονάζοντα χυμόν. ἀπεψίαι γὰρ τέως ὡς ἐπὶ τὸ πολὺ προηγοῦνται συνεχεῖς, καὶ ἀργίαι, καὶ ἀκαίρων λουτρῶν χρήσεις, καὶ ὀσπρείων, καὶ ὀπωρῶν, καὶ κρεῶν πλησμονὴ, οἴνου τε παχυτέρου κατάχρησις. οὕτω μὲν οὖν τοὺς ἐπὶ πλήθει χυμῶν ὠμῶν συγκοπτομένους διαγινώσκειν χρή. Σημεῖα τῶν ἐπὶ χολώδεσι καὶ λεπτοῖς χυμοῖς συγκοπτομένων. Τοὺς δὲ ἐπὶ χολώδεσι καὶ λεπτοῖς χυμοῖς συγκοπτομένους ἔνεστί σοι διαγινώσκειν οὕτω· πρῶτον μὲν τὸ πρόσωπον αὐτῶν ἀτμώ-

δές ἐστι καὶ ξηρόν, καὶ οἱ σφυγμοὶ μικροί, καὶ ἀνώμαλοι, καὶ ἄτακτοι φανήσονται. καὶ τὸ διαχώρημα δὲ χολῶδές ἐστι· καὶ ἀγρυπνικώτεροι μᾶλλον τῶν ἄλλων, καὶ διψώδεις. καὶ ἐξ ἄλλων δὲ πολλῶν ἐστι διακρίνειν· μάλιστα δὲ καὶ ἀπὸ τῶν προηγησαμένων. φροντίδες γὰρ ὡς ἐπὶ τὸ πολὺ προηγοῦνται τούτοις, καὶ δυσθυμίαι, καὶ ὀλιγοτροφίαι, κακοχύμων τε καὶ δριμέων προσφοραί. οὕτω μὲν οὖν αὐτοὺς διαγινώσκειν χρή. Θεραπεία τῶν ἐπὶ συγκοπῇ κινδυνευόντων. Θεραπεύειν μὲν τοὺς διὰ πλῆθος ὠμῶν χυμῶν συγκοπτομένους, διαίτῃ λεπτῇ χρωμένους καὶ τοῖς λεπτύνειν ἅπασι δυναμένοις. καλὸν μὲν οὖν ἐστιν ὅσον ἐπὶ τῷ πλήθει, κένωσιν διὰ φλεβοτομίας παραλαβεῖν, καὶ ἀποκένωσιν τοῦ πλήθους. ἀλλὰ τὸ εἶναι πάλιν τοὺς πλεονάζοντας χυμοὺς ὠμοὺς ἀποτρέπει. δέος γάρ ἐστι μὴ φθάσασα ἡ δύναμις καταβληθῆναι, ἀποκάμῃ πέψαι καὶ διοικῆσαι τὸν ὠμὸν χυμόν. βέλτιον οὖν οἶμαι φεύγειν μᾶλλον τὴν κένωσιν. εἰ δ' ἄρα τοσοῦτον εἴη τὸ πλεονάζον, ὡς καταπνιγῆναι κινδυνεύειν τὴν δύναμιν, οὐδὲν ἄτοπον τηνικαῦτα μικρὸν ὑποκενῶσαι τοῦ πλήθους, καὶ κουφίσαι βαρυνομένην αὐτήν. ὁρῶμεν γὰρ ὡς ἐπίπαν καὶ ἐπὶ τοῦ πυρὸς τοῦτο γινόμενον. καὶ γὰρ αὐτὸ κινδυνεῦον ὑπὸ χλωρῶν ἀποσβεσθῆναι ξύλων, πολλάκις ὀλίγων ἀφαιρεθέντων ἔλαμψε πάλιν, καὶ περιεγένετο τῶν καταπνιγόντων αὐτό. εἰ μὲν οὖν ἡ δύναμις ἔρρωται, καὶ πλῆθος εἴη πάνυ πολὺ τὸ λυποῦν, οὕτω δεῖ πράττειν. εἰ δ' ἀσθενὴς εἴη, καὶ ὠμότης ὑπόκειται πολλή, τῇ ἀνατρίψει ἀνάγκη προσκαρτερεῖν, καὶ τοῖς ἠρέμα λεπτύνειν καὶ διαφορεῖν δυναμένοις, καὶ συμπέττειν τοὺς ὠμοὺς χυμοὺς καὶ ἀπέπτους. τοιοῦτον δέ ἐστι τὸ χαμαίμηλον· καὶ γὰρ ἀραιοῖ, καὶ διαφορεῖ, καὶ συμπέττει τὰ αἴτια. ἀποτρίβειν δὲ χρὴ ἀπὸ τῶν σκελῶν ἀρχομένους ἐπὶ τὰ κάτω. ἔπειτα καὶ τὴν ῥάχιν ὅλην, καὶ τὰς χεῖρας, εἶτα πάλιν ἀπὸ τῶν χειρῶν ἐπὶ τὰ κάτω, καὶ τοὺς πόδας· καὶ τοῦτο ποιεῖν συνεχέστερον, ἀποβλέποντα πρὸς τὴν δύναμιν. πολλάκις γὰρ ἀνατριψάντων ἀμετρότερον τινῶν, ἀθρόως διεφορήθη ἡ δύναμις. ἐγὼ δὲ ἐθεασάμην οὕτω συγκοπέντα τινὰ ὑπὸ ἀμαθίας. ἀνατρίβεσθαι γὰρ αὐτὸν ἐκέλευσεν ἐκ διαδοχῆς ἅπασαν τὴν ἡμέραν καὶ τὴν νύκτα, ἀσιτίαν τε παντελῆ φυλάξαι μέχρι τῆς πέμπτης ἡμέρας. εἶτα τοῦτο πράττοντος αὐτοῦ ἀσεβῶς, μὴ δυνηθεὶς ἐνεγκεῖν ἀμφότερα, μήτε τὸν κόπον, μήτε τὴν ἀσιτίαν, εἰς ἄλλας πέντε ἡμέρας ἀπώλετο συγκοπῇ. ἐχρῆν δέ, οἶμαι, κεχρημένον αὐτὸν τῇ τοσαύτῃ ἀνατρίψει καὶ ἀμέτρῳ, καὶ τοῖς δριμέσιν ἐλαίοις οἷς ἐχρήσατο, καὶ ἐνόμιζε διαφορεῖν τὴν τοσαύτην ὠμότητα, μὴ οὕτως ἄσιτον φυλάξαι τὸν κάμνοντα, μήτε τρέφοντα πάλιν, παύσασθαι τῆς ἀμέτρου ἀνατρίψεως. ὅπου γὰρ λιμός, οὐ δεῖ πονεῖν· ὥσπερ ἅπαντα καὶ τοῦτο ὁ σοφὸς πρεσβύτης ἀπεφήνατο. οὐκ οἶδα τί παθὼν καὶ ὁ θειότατος Γαληνὸς οὕτως ἐπιτάττει ποιεῖν. ἀνατρίψεσι δὲ ἀμέτροις κεχρῆσθαι, καὶ τὸ σικυώνιον ἔλαιον ἀλείφεσθαι, καὶ ἀσιτίαν παρακελεύεται. ὕσσωπον γὰρ αὐτοῖς ἐπιτάττει πίνειν ἅμα καὶ ὀλίγῳ μέλιτι, καὶ μηδὲν ἄλλο μέχρι τῆς ἑβδόμης ἡμέρας προσφέρεσθαι. ποῖος ἂν τις ἐπινοήσειεν οὕτως ἰσχυρὰν εἶναι δύναμιν, ὦ πρὸς θεῶν, ὅστις ἅμα πάντα φέρειν δυνήσεται, καὶ ἀσιτίαν ἅμα καὶ ἀνάτριψιν. ἐμοὶ γοῦν φαίνεται κάλλιον, καὶ ἀνατρίβειν συμμέτρως, καὶ πάλιν τρέφειν, πρὸς τὴν δύναμιν ἀφορῶντα, χυλῷ πτισάνης, ἢ ἄλικος, μετὰ ὀξυμέλιτος, κεχρῆσθαι καὶ ἄρτῳ εἰς οἶνον κεκραμένῳ, ἐπειδὰν ἡ δύναμις ἰσχυρῶς κάμνουσα φαίνηται. ὁ γὰρ ἀμφότερα πράττων, τῶν ποτὲ μὲν διαφορούντων ἐκ τοῦ πλή-

θους διὰ

θοις διὰ τῆς ἀνατρίψεως, εἶτα πάλιν χρηστὴν ἀντεισαγόντων ἡμῶν τροφὴν πεφθῆναι καὶ ἀναδοθῆναι δυναμένην, ἥ τε δύναμις φυλαχθῆναι δυνήσεται, καὶ οἱ ὠμοὶ χυμοὶ πεφθῆναι καλῶς. Περὶ οἴνου. Οἶνον δὲ διδόναι τοῖς μετὰ πυρετοῦ χαίρειν οὐ δεῖ· διὰ δὲ τὴν πλεονάζουσαν ὕλην ὠμοτέραν, χρήζομεν τῶν ἠρέμα λεπτύνειν καὶ θερμαίνειν δυναμένων. οὐδὲν οὖν ἄτοπον ἐπιδιδόναι λεπτοῦ καὶ εὐαναδότου, καὶ μηδεμίαν ἔχοντος φανερὰν στύψιν ἢ γλυκύτητα. τῷ δὲ χρόνῳ μὴ πάνυ νέος, μήτε παλαιὸς ἔστω, μηδὲ τῇ χρόᾳ μέλας, ἀλλὰ μᾶλλον ὑπόκιρρος καὶ λευκός, καὶ τῇ συστάσει λεπτός. ἀναδοθῆναι γὰρ αὐτὸν εἴς τε τὰς φλέβας ταχέως, καὶ ὅλον τὸ σῶμα βουλόμεθα· καὶ μάλιστα ἡνίκα καὶ τὴν δύναμιν καταπεσοῦσαν, καὶ ἀπολέσθαι κινδυνεύουσαν ἀνακαλέσασθαι σπεύδομεν. Περὶ λουτροῦ. Οὐ δεῖ δὲ τοὺς ἐπὶ ὠμότητι χυμῶν κάμνοντας συγκοπήν, ταχέως, οἶμαι, ἐπὶ τὸ λουτρὸν ἄγειν. ἥ τε γὰρ ὕλη παχυτέρα οὖσα καὶ πολλή, καὶ οὔπω λεπτυνθεῖσα, μὴ δυναμένη δὲ διὰ τοῦτο διαφορηθῆναι, σφηνωθήσεται μᾶλλον ἐντεῦθεν, καὶ τούτοις ἐπαυξήσει. λεπτυνθέντων οὖν τῶν χυμῶν, καὶ πέψεως ἤδη φανείσης, οὕτω λούειν καὶ τρέφειν, καὶ ἠρέμα θερμαινούσῃ τροφῇ κεχρῆσθαι, οἷον, περιστερᾷ τε ἀποζεσθέντι καλῶς μετὰ ἀπομέλιτος, καὶ ἰχθύων, εἰ ἐνδέχεται, πετραίων· εἰ δὲ μή γε, ποταμίων τῶν καλουμένων * ἀναδρομῶν, μετὰ ὀξυμέλιτος, καὶ τῶν κατοικιδίων ὀρνέων τὰ πτερά. τῆς δυνάμεως δὲ ὑπὸ τούτων αὐξηθείσης, λοιπόν ἐστιν ἔτι τὰς ἐπὶ πλέον τρεφούσας προσφέρειν τροφὰς ἀβλαβῶς. Θεραπεία τῶν ἐπὶ σήψει λεπτῶν χυμῶν συγκοπτομένων. Τοὺς δὲ ἐπὶ σήψει τῶν λεπτῶν χυμῶν συγκοπτομένους εὔδηλον ὡς ὑπεναντίως ἄγειν χρή, διαίτῃ τε παχυνούσῃ καὶ δυσδιαφορήτῳ κεχρημένους. χυλὸς τοίνυν γλυκὺς συμφέρει τούτοις, καὶ ἄρτος εἰς ὑδροροσάτον λαμβανόμενος, ἢ εἰς ὀμφακόμελι, καὶ ὄρχεις τῶν ἀλεκτρυόνων, καὶ χίδρον, καὶ ἴντυβα, καὶ θρίδακες, καὶ ἀστακοί, καὶ κτένια, καὶ κηρύκια, καὶ ἐχῖνος, καὶ * ἀφράτον, καὶ μῆλα, καὶ ῥοιαί, καὶ ἀπίδια. καὶ ταῦτα προσφέρειν δεῖ μὴ ἀθρόως, ἀλλὰ κατὰ μέρος, καὶ ἐκ διαλειμμάτων, ὥστε καὶ τὸ διδόμενον λόγῳ τροφῆς, μὴ βραδύνειν κατὰ συγκοπήν, ἀλλὰ μᾶλλον αὔξειν τὴν δύναμιν. Περὶ οἴνου. Οἶνον δὲ τούτοις τὸν ὑδατώδη χρὴ διδόναι, οἷός ἐστιν ὁ κνίδιος, ἢ ὁ Σαρεφθῖνος, ἢ ὁ εὐγενὴς Σαβῖνος· μὴ παλαιὸς πάνυ τῷ χρόνῳ, καὶ ὑδαρὴς πάλιν γινέσθω, καὶ μὴ ἄκρατος. κεχρῆσθωσαν δὲ καὶ ἀλοιφῇ μηδὲν ἐχούσῃ χαλαστικὸν ἢ ἀραιωτικὸν τῆς ἐπιφανείας, ἀλλὰ τοὐναντίον πυκνωτικὴν καὶ ῥῶσαι δυναμένην, οἷόν ἐστι καὶ τὸ μήλινον ἔλαιον. ἐπιπλάσμασι δὲ τοιούτοις κεχρήσθωσαν, οἷόν ἐστι τῶν ῥόδων τὸ ἄνθος, καὶ αὐτὰ τὰ ῥόδα ἐπιπασσόμενα, καὶ μάλιστα ἡνίκα καὶ ἱδρῶτες πλείονες γίνονται, καὶ συγκόπτεται ὁ κάμνων, καὶ εἰς ἄκραν ἀσθένειαν ἥκει τὰ τῆς δυνάμεως.

Περὶ λειποθυμίας.

Ἐπειδὴ δὲ καὶ λειποθυμίαι συμβαίνουσι τοῖς κάμνουσιν, ἐπιφέρουσαι συγκοπάς, καὶ καταβάλλουσι τὴν δύναμιν αἰφνιδίως, ἀκόλουθόν ἐστι καὶ περὶ τούτων διαλαβεῖν καθολικώτερον, εἶθ' οὕτως ὅσα καὶ ἡμῖν δέδωκεν ὁ χρόνος εἰδέναι προσθήσομεν, ῥήσεις τοῦ θειοτάτου Γαληνοῦ. αὐτὸ μὲν οὖν τὸ πρᾶγμα τῆς λειποθυμίας ἕν ἐστιν· αἰτίαι δὲ αὐτοῦ πολλαί, καὶ καθ' ἕκαστον εἶδος αὐτῆς ἐστιν ἰδία. γράψαι δὲ νῦν ὑπὲρ ἁπασῶν οὐκ ἐγχωρεῖ. τὰς διαθέσεις δὲ τὰς συνεδρευούσας οὐχ οἷόν τε χωρὶς ἰάσασθαι. τοσοῦτον οὖν ἐν τῷ παρόντι λόγῳ περὶ αὐτῶν ἐροῦμεν, ὡς ἄν τις μαθών,

ἱκανὸς εἴη τοῖς ἐξαίφνης ἐμπίπτουσιν ἐνίστασθαι παροξυσμοῖς.

Περὶ τῶν ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλυομένων.

Τοὺς μὲν οὖν ἐπὶ χολέρᾳ καὶ διαῤῥοίᾳ, καὶ ταῖς ἄλλαις ἀθρόαις κενώσεσιν ἐκλυομένους ὕδωρ ψυχρὸν δεῖ * προσραίνειν, καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν, καὶ ἀνατρίβειν τὸ στόμα τῆς γαστρὸς, καὶ κελεύειν παρατίλλειν τὸν στόμαχον, ἢ τοῖς δακτύλοις, ἢ πτερῶν καταθέσεσιν, ἀλλὰ καὶ χεῖρας καὶ σκέλη δεσμεῖν. εἰ δὲ χρὴ πλείονας * μὲν καὶ σφοδροτέρους, ἄνω μὲν ἐπὶ τοῖς κάτω, κάτω δὲ ἐπὶ τοῖς ἄνω. ἴαται δὲ καὶ οἶνος ἐν ὕδατι ψυχρῷ κεκραμένος ἐπὶ ταῖς ἀθρόαις κενώσεσι καὶ ἐκλύσεσι συνεχῶς, μάλιστα τῶν εἰς τὴν γαστέρα ῥυέντων ῥευμάτων. ἐπισκοπεῖσθαι δὲ δεῖ μὴ κωλύει τι τῶν τοιούτων. λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτήδεια. τὰς δὲ αἱμοῤῥαγίας ἱκανῶς προξενεῖ, καὶ ὅσοι διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι, καὶ τούτοις ἐναντιώτατα ἰατρευτέον. δεῖ γὰρ ψύχειν καὶ στύφειν, οὐ χαλᾶν τὸ δέρμα, καὶ τὸν οἶνον μάλιστα τούτοις ψυχρὸν διδόναι, καὶ μηδὲν ὅλως προσφέρειν θερμὸν, ἀλλὰ μηδὲ διαδεῖν τὰ κάτω κῶλα, μηδὲ ἀναγκάζειν ἐμεῖν, ἀλλὰ μᾶλλον εἰσόδους πνευμάτων ἐπιτεχνᾶσθαι· καὶ χρὴ τὸν ἀέρα τοῦ οἴκου τρέπειν εἰς ψύχουσάν τε καὶ στρυφνὴν ποιότητα· μυρσίνης τε καὶ ἀμπέλων ἕλιξι καὶ ῥόδοις καταστρωννύειν τὸ ἔδαφος. τούτων οὐδενὶ χρήσῃ τῶν εἰς τὴν γαστέρα ῥευμάτων· αὔξεται γὰρ τὸ ῥεῦμα, εἰς ὅσον ἂν πυκνωθῇ τὸ δέρμα. τοῖς μὲν οὖν ἐπὶ ταῖς κενώσεσιν ἐκλυομένοις οὕτω χρὴ βοηθεῖν παραχρῆμα.

Περὶ τῶν διὰ πλῆθος λειποθυμούντων.

Τοῖς δὲ ἐπὶ πλήθει λειποθυμοῦσιν, οὐκέτι ὁμοίως· ἀλλὰ καὶ τρίβειν ἐπὶ πλεῖστον τὰ κῶλα, καὶ θερμαίνειν, καὶ διαδεῖν. οἴνου δὲ καὶ τροφῆς ἀπέχεσθαι, καὶ λουτρῶν, εἰ πυρέττοιεν. ἀρκεῖ δὲ αὐτοῖς καὶ μελικράτου διδόναι πόμα, θύμον, ἢ ὀρίγανον, ἢ γλήχωνα, ἢ ὕσσωπον ἔχοντος ἀφεψημένον. ἐπιτήδειον δὲ καὶ ὀξύμελι.

Περὶ τῶν ἐφ' ὑστέρᾳ λειποθυμούντων.

Καὶ τὰς ὑφ' ὑστέρας ἐκλυομένας ὡσαύτως ἐξιᾶσθαι, πλὴν ὀξυμέλιτος· καὶ διαδεῖν, καὶ τρίβειν σκέλη μᾶλλον ἢ χεῖρας. ὥσπερ γὰρ ταῖς ἀμέτρως αἱμοῤῥαγούσαις ἐξ ὑστέρας εἴωθε τοῖς τιτθοῖς ἐπιβάλλειν σικύας, οὕτως αἷς ἀνέσπασται καὶ περιέσπασται ἡ μήτρα, βουβῶσί τε καὶ μηροῖς προσάξομεν· καὶ τοῖς μὲν ῥισὶν ὀσφραντὰ δυσωδέστατα, ταῖς δὲ ὑστέραις εὐώδη, καὶ χαλᾶν καὶ θερμαίνειν δυνάμενα φάρμακα προσοίσομεν.

Περὶ τῶν ἐπὶ στομάχῳ ἀτονοῦντι λειποθυμούντων.

Εἰ δὲ ἄῤῥωστος ὁ στόμαχος εἴη, καὶ διὰ τοῦτο λειποθυμοῦσι, καταπλάττειν μὲν τοῖς τονοῦν δυναμένοις, οἷα τὰ διὰ φοινίκων ἐστὶ, καὶ οἴνου, καὶ ἀλφίτων, καὶ κρόκου, καὶ ἀλόης, καὶ μαστίχης. ἐπιβρέχειν δὲ διὰ τοῦ ἀψινθίου, καὶ μηλίνου, καὶ μαστιχίνου, καὶ νάρδου.

Περὶ τῶν ἐκκαιομένων τὸν στόμαχον.

Καὶ εἰ ἐκκαίοιντο δὲ τὸν στόμαχον, μιγνύειν τι τῶν ἐμψυχόντων, οἷον, τῆς κολοκύνθης τὸν χυλὸν, καὶ τῆς θριδακίνης, καὶ τῆς ἀνδράχνης, καὶ τοῦ στρύχνου, καὶ τῆς σέρεως, καὶ τοῦ ὄμφακος. ἔστι μέν γε οὐ στύφει μόνον, ἀλλὰ καὶ τονοῖ. καὶ ψυχρὸν δὲ ὕδωρ τοὺς διακαιομένους τὸν στόμαχον ὤνησε πολλάκις ἐν καιρῷ δοθέν. μεγάλως δὲ βλάπτει παρὰ καιρὸν διδόμενον· καὶ διὰ τοῦτο μᾶλλον χρὴ ἀκριβῶς διαγινώσκειν. οἴνου δὲ διδόναι θερμοῦ τοῖς ἀῤῥώστοις τὸν στόμαχον, εἰ μηδὲν ἄλλο κωλύσει. ὀνίνησι δὲ μεγάλως τοὺς

τοιούτους

τοιούτοις καὶ ἡ τῶν ἄκρων τρῖψις. εἰ δὲ ἐπὶ τούτοις βέλτιον γένοιντο, τοὺς μὲν καιομένους ἐπὶ λουτρὸν ἄγειν τὸ τάχιστον· ὅσοι δὲ ψύξεώς τινος αἴσθησιν ἔχουσι, τοῦ τε διὰ τριῶν πεπέρεων φαρμάκου, καὶ αὐτοῦ δὴ τοῦ πεπέρεως μόνου, καὶ ἀψινθίου πινέτωσαν. ὅσοι δὲ διὰ μοχθηροὺς χυμοὺς δάκνοντας τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, διδοὺς ὕδωρ θερμὸν καὶ ὑδρέλαιον, ἐμεῖν κέλευε· εἰ δὲ δυσεμὴς εἴη, θάλπειν χρὴ πρότερον αὐτά τε τὰ περὶ τὸν στόμαχον χωρία, καὶ πόδας καὶ χεῖρας· εἰ δὲ μὴ δύναιντο, τοὺς δακτύλους ἢ πτερὰ καθιέντες, ἐρεθίζειν· εἰ δὲ μηδ᾽ οὕτως, αὖθις αὐτοῖς * ἔλαιον θερμὸν ὡς ὅτι κάλλιστον διδόναι. εἴωθε δὲ πολλάκις τὸ ὑδρέλαιον οὐκ εἰς ἔμετον ὁρμᾶν, ἀλλὰ τὴν γαστέρα μαλάττειν, καὶ τοῦτο οὐ σμικρὸν ἀγαθὸν τοῖς πάσχουσιν· ὥστε εἰ μὴ γένοιτο αὐτομάτως, ἐπιτεχνᾶσθαι χρή, μάλιστα δὲ καὶ τοῖς προσθετοῖς αὐτὸ πειρᾶσθαι δρᾶν· εἰ δ᾽ ἐπὶ τούτοις γένοιτο τὰ τῆς κενώσεως, καὶ ἀψινθίου κόμην ἀφεψεῖν, καὶ μελίκρατον αὐτὸ ποιοῦντα, διδόναι πίνειν, καὶ οἶνον ἐφεξῆς, καὶ παντοίως ῥωννύειν τὰ μόρια διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων, καὶ ἀψινθίου ταῖς πόσεσιν· οὐ μὴν κατ᾽ ἀρχὰς κελεύω σε ποιεῖν τοῦτο, ἀλλ᾽ ὕστερον ἡνίκα καθαρὰ τὰ περὶ τὴν κοιλίαν ᾖ. περιεχομένων δὲ τῶν χυμῶν ἐν αὐτῇ, μηδόλως στύφειν, ἀλλὰ θάλπειν μόνον, ὡς ἔμπροσθεν εἴρηται.

Περὶ τῶν ἐπὶ φλέγματι λειποθυμούντων.

Φλέγματος δὲ πολλοῦ ψυχροῦ κατὰ τὸ στόμα τῆς γαστρὸς ἠθροισμένου, καταπλάττειν μὲν ἐπὶ πλεῖστον ἐλαίῳ συνεψοῦντα ἀψινθίου κόμην· ἐφεξῆς δὲ μέλιτός τε καὶ πεπέρεως. καὶ τὸ διοσπολίτου, καὶ τὸ σύμπαν σοι τῆς διαίτης τμητικὸν ἔστω.

Περὶ τῶν ἐπὶ ψύξει λειποθυμούντων.

Τοὺς δὲ ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσι λειποθυμοῦντας ὁμοίως τοῖς βουλίμοις ἰᾶσθαι, παντὶ τρόπῳ θερμαίνοντα, τόν τε οἶνον αὐτοῖς διδόναι θερμῷ κεκραμένον, καὶ τροφὰς θερμαίνειν πεπιστευμένας, ἀνατρίβειν τε καὶ θάλπειν παρὰ πυρί.

Περὶ τῶν ἐπὶ θερμασίᾳ λειποθυμούντων.

Τὰς δ᾽ ἐπὶ θερμασίᾳ πλείονι γινομένας ἐκλύσεις τοῖς ἐμψύχουσί τε καὶ τονοῦν δυναμένοις ἰᾶσθαι· ἐμπίπτουσι δὲ ταῦτα μάλιστα τοῖς ἐν ἀέρι πνιγώδει καὶ βαλανείοις χρονίσασι. ῥώσεις οὖν αὐτούς, ἐν μὲν τῷ παραχρῆμα ποτὸν ψυχρὸν ὕδωρ προσφέρων, καὶ ῥιπίζων, καὶ πρὸς ἄνεμον τρέπων, καὶ τρίβων τὸ στόμα τῆς γαστρός, καὶ παραπλάττων· ἐφεξῆς δὲ καὶ οἶνον διδοὺς, καὶ τροφάς.

Περὶ τῶν ἐπὶ φλεγμοναῖς πυρετώδεσι λειποθυμούντων.

Τοὺς δὲ διὰ μέγεθος φλεγμονῆς καὶ κακοήθειαν πυρετῶν λειποψυχοῦντας, ἐν ταῖς καταβολαῖς καταψυχομένους, τὰ κῶλα τρίβειν ἰσχυρῶς, καὶ θάλπειν, καὶ διαδεῖν σκέλη τε καὶ χεῖρας, καὶ ἐγρηγορέναι κελεύειν, καὶ σιτίου παντὸς ἀπέχεσθαι καὶ πόματος. ἄριστον δὲ ἐπὶ τούτων, προγνῶναι μέλλοντα ἔσεσθαι τὸν παροξυσμόν, φθάσαι αὐτὸ τοῦτο πρᾶξαι πρὸ τῆς εἰσβολῆς αὐτοῦ. τοὺς δὲ διὰ ξηρότητα καὶ ἔνδειαν συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς, ἄριστον προγινώσκειν. εἰ γὰρ ὥραις δυσὶν ἢ τρισὶν ἔμπροσθεν τοῦ παροξυσμοῦ θρέψας, διακρατεῖσθαι πόδας καὶ χεῖρας κελεύσειας, οὐκ ἂν ἀπόλοιντο. δεῖ δὲ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐαναδότους. εἰ δὲ καὶ σφοδρόν τινα κίνδυνον ὑπονοεῖσθαι φθάνειν, οἴνου διδόναι, μάλιστα δὲ εἰς χόνδρον ἑφθὸν οἶνον ἐπιχέοντα προσφέρειν. εἰ δὲ καὶ ἄρτον ἀντὶ τοῦ χόνδρου ἐπιδοίης, τὸ αὐτὸ δύναται. μετρίας δὲ τῆς συγκοπῆς προσδοκωμένης, οὐδὲ οἴνου διδόναι, ἀλλ᾽

ἀρκεῖ τηνικαῦτα ῥοιῶν, ἢ ἀπίων, ἢ μήλων, ἢ ἄλλης τινὸς ὀπώρας στυφούσης τῇ τροφῇ μιγνύειν. καὶ ἐὰν ἐπὶ τοῖσδε τὸν προοξυσμὸν μετρίως ἀνέλκοιεν, αὖθις τρέφοντας, οὐκ ἀναγκαῖον ὀπώραις κεχρῆσθαι. ταῦτα μὲν πράττειν, εἴπερ προγνῷς τὸ μέλλον ἔσεσθαι· τοῖς δ' ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπίπτουσιν οἴνου τε διδόναι, καὶ ἄρτου θερμοῦ, καὶ χόνδρου σὺν αὐτῷ ὀλίγου παντελῶς. εἰ γάρ τι πλέον δόξει σοι διδόναι καὶ δυσπεπτότερα σιτία τοῖς οὕτως ἔχουσιν, οὐ συγκοπήσονται μόνον, ἀλλὰ καὶ πνιγήσονται.

Περὶ τῶν δι' ἔμφραξιν ἐπικαίρου μορίου λειποθυμούντων.

Τοῖς δὲ δι' ἔμφραξιν ἐπικαίρου μορίου λειποθυμοῦσιν, ὀξύμελί τε διδόναι, καὶ τὰ δι' ὑσσώπου, καὶ ὀριγάνου, καὶ γλήχωνος, καὶ μέλιτος τὰ πόματα, καὶ τροφὰς τμητικάς. ἀλλὰ καὶ τὰ κῶλα τρίβειν τε καὶ διαδεῖν οὐδὲν χεῖρον. ἀγαθὸν δὲ καὶ τοῖς τὰ οὖρα κινοῦσι χρῆσθαι, οἷά ἐστι τά τε δι' ἀνήθου, καὶ μαράθρου, καὶ σελίνου, καὶ ναρδοστάχυος, καὶ δαύκου, καὶ ἄμεως· ἐφ' οἷς ἤδη φανερᾶς τῆς ὠφελείας οὔσης, καὶ οἴνῳ χρήσασθαι λευκῷ καὶ λεπτῷ, καὶ μὴ πάνυ παλαιῷ. Σημεῖα ἐμφράξεως. Γνωρίσεις δὲ τὰς τοιαύτας ἐμφράξεις ταῖς τε ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν, καὶ μάλιστα δὲ ταῖς κατὰ μέγεθος σμικρότησι καὶ σφοδρότησι γινομέναις, μὴ ποιούσης τῆς καλουμένης πληθωρικῆς συνδρομῆς. εἰσὶ δὲ καὶ οἷς γίνονται διαλείποντες ἐπὶ ταῖς μεγάλαις τῶν τοιούτων διαθέσεων οἱ σφυγμοί.

Περὶ τῶν ἐπὶ τομῇ ἀποστήματος, ἢ ῥήξει λειποθυμούντων.

Ὅσοις δὲ διὰ ῥῆξιν ἀποστήματος ἢ τομὴν γένοιτο λειποθυμία, καὶ διὰ κένωσιν ἀθρόαν, χρὴ τούτοις ἐν μὲν τῷ παραχρῆμα τοῖς ὀσφραντοῖς ἀνακτήσασθαι, μικρὸν δ' ὕστερον ῥοφήμασιν εὐπέπτοις τρέφειν.

Περὶ τῶν ἐπὶ χαρᾷ, ἢ λύπῃ, καὶ τοῖς ὁμοίοις, καὶ περὶ τῶν ἐπὶ ὀδύνῃ λειποθυμούντων.

Τοὺς δὲ διὰ λύπην, ἢ χαρὰν, ἢ φόβον, ἢ ἔκπληξιν ἐκλυθέντας, ἐν ὀσφραντοῖς τε καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησαμένων, ἐμεῖν ἀναγκάζειν. ὡσαύτως δὲ καὶ ἐπὶ τραύμασι, καὶ ἀλγήμασι. τοῖς δὲ καὶ τὰ ἄρθρα, καὶ νεῦρα, καὶ τῶν μυῶν τοὺς τένοντας ἐν τῷ παραχρῆμα ἀνακτήσασθαι δεῖ· μετὰ δὲ ταῦτα ποιεῖσθαι τοῦ παθήματος ἐπιμέλειαν.

Περὶ τῶν ἐπὶ εἰλεῷ, ἢ κώλῳ λειποθυμούντων.

Ἐν δὲ τοῖς κωλικοῖς πάθεσιν, ἢ εἰλεοῖς, ἢ τινι τῶν οὕτω μεγάλας ἐπιφερόντων ὀδύνας, ἐπὶ μὲν λειποθυμίας τῶν πεπονθότων μορίων ἀ * ες καθίσανται.

Περὶ τῶν ἐπὶ ἀρρωστίᾳ δυνάμεως λειποθυμούντων.

Τὴν δὲ δι' ἀρρωστίαν οἰκείαν τῆς διοικούσης τὸ σῶμα δυνάμεως ἔκλυσιν ἐπὶ δυσκρασίᾳ τῶν μορίων ἐκείνων γινομένην, ὅθεν αἱ δυνάμεις ὁρμῶνται, τοῖς ἐναντίοις ἰᾶσθαι προσήκει, θερμαίνοντας μὲν τὰς ψυχρὰς, ψύχοντας δὲ τὰς θερμάς· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἡ μὲν οὖν ζωτικὴ καλουμένη δύναμις ἐκ καρδίας ὁρμᾶται, ἥτις ἐδείχθη ἐκ τῶν ἀμυδρῶν σφυγμῶν γνωριζομένη· ἡ δὲ ἐξ ἥπατος ὁρμωμένη, ταῖς αἱματώδεσι διαχωρήσεσι· κατ' ἀρχὰς μὲν ὑδατώδεις τε καὶ λεπταὶ γινόμεναι, ὕστερον δὲ παχεῖαι, οἷάπερ ἐστὶν ἡ ἀμόργη. τὴν δ' ἐξ ἐγκεφάλου ὁρμωμένην, ἐξαιρέτως δὲ ὀνομαζομένην ὑπό τινων ψυχικὴν, ἐκ τῆς περὶ τὰς προαιρετικὰς κινήσεις ἀρρωστίας γνωρίζεις.

Περὶ

Περὶ ἑκτικοῦ πυρετοῦ. δʹ

Ὅταν ἀμέτρως ζέσις ἐπιλήψηται τῇ ἐνούσῃ οὐσιώδει ὑγρότητι ἐν τοῖς στερεοῖς σώμασι, μὴ μέντοιγε διαφορηθῇ, ἀλλ' ἔτι μένῃ ἐν αὐτοῖς σωζομένη καὶ ἀεὶ ζέουσα, καὶ μηδὲ παρακμὴν ἔχουσα, τηνικαῦτα τὸ εἶδος τοῦτο τοῦ πυρετοῦ, ἑκτικὸν ὀνομάζουσιν.

Περὶ μαρασμώδους καὶ ἑκτικοῦ.

Εἰ δ' ἀναλίσκεσθαι μέλλει ἡ οὐσιώδης ὑγρότης ἐν ἡμῖν, μαρασμώδης ὁ τοιοῦτος πυρετὸς προσαγορεύεται ἁπλῶς. εἰ δ' ἀναλωθῇ τελείως, * ἢ περιφρυγῇ, τηνικαῦτα συνίσταται μαρασμός. ὅθεν ὁ μὲν ἑκτικὸς οὐ πάνυ δυσίατος, ὁ δὲ περιφρυγὴς ἀνίατος. ἵνα οὖν μήτε ἐπιχειρῶμεν κατ' ἄγνοιαν τοῖς δυσθεραπεύτοις, ὡς εὐϊάτοις * ἀποτυγχάνωμεν, μηδὲ πάλιν τὰ εὐΐατα φεύγωμεν, ὡς ἀνίατα, ὀφείλομεν αὐτῶν ἓν ἕκαστον εἶδος ἀπὸ τοῦ ἑτέρου ἀκριβῶς διακρίνειν, διὰ τὸ ὡς ἐκ τούτου ἀρίστην ἡμῖν γενέσθαι καὶ τὴν διάγνωσιν ἑκάστου τούτων. Πῶς ἐστι διακρίνειν, καὶ γινώσκειν ἐφήμερον ἀπὸ ἑκτικοῦ. Οἱ ἑκτικοὶ πυρετοί, καθάπερ οἱ ἐφήμεροι, πολλάκις καὶ αὐτοὶ ἀπὸ προκαταρκτικῆς αἰτίας συνίστανται, καὶ οὐκ ἂν εἴη ἀπὸ τῶν ἐκ μεταπτώσεως τῶν ἐπὶ σήψει πυρετῶν. εἰδέναι τοίνυν δεῖ τὸ ποιὸν τῆς θερμασίας, ὅτι ἐπὶ μὲν τῶν ἑκτικῶν, δριμὺ καὶ ξηρόν ἐστιν· ἐπὶ δὲ τῶν ἐφημέρων, πραότατον, καὶ ταχέως προσπίπτον τῇ ἁφῇ, καὶ τρόπον τινὰ * περιϊπτάμενον· ἔστι δὲ καὶ ἀπὸ τῶν οὔρων διακρίνειν τούτους εὐχερῶς. εἰ γὰρ τελεία πέψις ἐν ἀρχῇ φαίνοιτό σοι, τηνικαῦτα τὸν πυρετὸν ἐφήμερον εἶναι νόμιζε. τροφῆς δέ τινος γινομένης, καὶ μή τινος πέψεως φαινομένης, ἑκτικὸν ὑποπτεύειν δεῖ. καὶ ἀπὸ τῶν σφυγμῶν δὲ διακρίνεις αὐτούς· μεγάλοι μὲν γὰρ ἐπὶ τῶν ἐφημέρων, καὶ ταχεῖς, μικροὶ δὲ καὶ ἀμυδροὶ ἐπὶ τῶν ἑκτικῶν ὄντες * σημαίνουσι καὶ διακρίνονται ἀπ' ἀλλήλων οἱ ἀριθμοὶ ὡρῶν. παρελθουσῶν γὰρ δέκα ὡρῶν, καὶ μὴ ἀπολωφήσαντος τοῦ πυρετοῦ, ἑκτικὸν ὑπολαμβάνειν μᾶλλον ἔσεσθαι τὸν πυρετόν. Πῶς χρὴ διακρίνειν ἑκτικὸν ἀπὸ τῶν ἐπὶ σήψει. Εἰ δὲ μηδόλως ἔχει διάλειμμα ὁ πυρετός, πρὸς δὲ τούτῳ μήτε ἀμυδρότερος ἢ σφοδρότερος γίγνοιτο, ἀλλ' ὡσαύτως βεβαίως, ἑκτικὸν εἶναι νόμιζε τοῦτον. ἐπὶ γὰρ τῶν ἐπὶ σήψει καὶ αὔξησις γίνεται, καὶ μείωσις· αὔξησις μὲν ἐν ταῖς ἀκμαῖς, μείωσις δὲ ἐν ταῖς παρακμαῖς.

Πῶς διακρίνομεν ἀπὸ τῶν ἑκτικῶν τοὺς συνεχεῖς. Εἰ δὲ καὶ οἱ συνεχεῖς τῶν πυρετῶν κατὰ τοῦτο δοκοῦσιν ἐοικέναι τοῖς ἑκτικοῖς, διότι καὶ αὐτοὶ οὐδὲ αὔξησιν ἢ μείωσιν ἐπιδέχονται, ἀλλ' οὖν γε διακρίνονται ἀπό τε τοῦ ποιοῦ τῆς θερμασίας, καὶ τῶν σφυγμῶν. ἡ μὲν γὰρ τῶν συνεχῶν θερμασία οὐκ ἔστι ξηρὰ καὶ δριμεῖα, ὥσπερ ἐπὶ τῶν ἑκτικῶν, ἀλλὰ καὶ ἐπιπολῆς μᾶλλον φαινομένη. καὶ μεγάλοι μὲν καὶ ταχεῖς ἐπὶ τῶν συνεχῶν οἱ σφυγμοί· ἐπὶ δὲ τῶν ἑκτικῶν, καὶ μικροὶ καὶ ἀμυδροί. οὕτω μὲν καὶ ἀπὸ τῶν ἐπὶ σήψει πάντων διακρίνειν δυνήσῃ τοὺς ἑκτικούς. Σημεῖα ἑκτικῶν μέγιστα. Μέγιστον δὲ σημεῖον ἑκτικῶν ἐστι, τὸ μετὰ τροφὴν αὔξησιν τῆς θερμασίας δοκεῖν ἐπιφαίνεσθαι. ἔστι δὲ οὐκ αὔξησις, ἀλλ' ἔλεγχος τῆς ἐν τῷ βάθει κεκρυμμένης θερμασίας. συμβαίνει γὰρ ἐπὶ τούτων γίνεσθαι τὸ τοιοῦτον, οἷον ἐπὶ τῆς τιτάνεως. καὶ γὰρ ὡς ἐπὶ ταύτης τὸ κεκρυμμένον πῦρ ὑπὸ τοῦ ἐνεχθέντος ὕδατος ἐλέγχεται, οὕτω καὶ ἐπὶ τῶν ἑκτικῶν ἡ προσφορὰ τῆς τροφῆς προσκαλεῖται τὴν ἐν τῷ βάθει κεκρυμμένην θερμασίαν. Σημεῖα ἑκτικοῦ μεταπίπτοντος εἰς τὸν μαρασμώδη πυρετόν.

Τὰ τοῦ μαρασμώδους ἀπὸ ἑκτικοῦ σημεῖα καὶ ἐξ αὐτοῦ μόνου τοῦ προσώπου

πᾶσι φανερώτατα καθέστηκε. πρῶτον μὲν γὰρ αὐτῶν τὸ τῆς χροιᾶς ἄνθος οὐκέτι σώζεται, ἀλλὰ μελάντερόν πως, καὶ καταξηρόν, καὶ αὐχμῶδες ὑπὸ τῆς ἀμέτρου θερμασίας τῶν πυρετῶν καταφαίνεται. καὶ τὸ δέρμα δὲ διατείνεται τοῦ μετώπου ἰσχυρῶς, καὶ τὰ βλέφαρα βαρύνονται, ὥσπερ οἱ εἰς ὕπνον ἐρχόμενοι. ἔστι δὲ οὐχ ὕπνος, ἀλλὰ μᾶλλον ἀδυναμία τῶν ἀνασπᾶν τὰ βλέφαρα πεφυκότων μυῶν, ὅθεν καὶ λήμας ἔχουσι ξηράς, διὰ τὴν ἀσθένειαν τῶν φυσικῶν δυνάμεων. καὶ τὰ ὑποχόνδρια δὲ τεταμένα· οὐκ αὐτῶν δὲ τεταμένων κατ' ἀλήθειαν, ἀλλὰ τῶν ὑμένων καὶ τῶν νεύρων τάσιν τινὰ ὑπομεινάντων διὰ τὴν ξηρότητα. διὰ γὰρ τὴν τοιαύτην αἰτίαν φαντασία τις ἡμῖν γίνεται τοῦ φλεγμαίνειν καὶ διατετάσθαι τὰ ὑποχόνδρια. καὶ οἱ σφυγμοὶ δὲ ἐπὶ τῶν τοιούτων σκληροὶ καὶ μικροί, διὰ τὴν τοιαύτην αἰτίαν, καὶ πυκνοί, διὰ τὴν χρείαν, καὶ ἀμυδροί, διὰ τὴν ἀσθένειαν, καὶ ἰσχνοί, διότι οὐδὲ εἰς πλάτος ἐπεκτείνεσθαι δύνανται. καὶ τί χρὴ λέγειν ἄλλα σημεῖα, τούτων οὕτως ἐναργῶς δυναμένων ἡμῖν παραστῆσαι τὸν μαρασμώδη πυρετόν; * μετεωροτέρων μὲν οὖν ὄντων τῶν ἀρχομένων, ἰσχνοτέρων δ' ἤδη συνισταμένων, καὶ ὅσον οὔπω καὶ τῷ ὄντι μαρασμὸν σημαίνοντα γίνεσθαι. εἰπόντες οὖν ἤδη τῶν ἑκτικῶν ἁπάντων τὰ σημεῖα, ἐπὶ τὴν θεραπείαν ἤδη μετέλθωμεν.

Θεραπεία ἑκτικοῦ πυρετοῦ.

Τὸν ἑκτικὸν εἰ βούλοιτό τις θεραπεῦσαι καλῶς, ὑγραινούσῃ τε καὶ ἐμψυχούσῃ κεχρήσθω διαίτῃ, διότι καὶ τὴν αἰτίαν οὐκ ἄλλοθεν ἔχει, ἢ ἐξ ἐνδείας πρώτως τρέφειν αὐτὰ τὰ στερεὰ δυναμένης ὑγρότητος. ἀλλ' ἐπειδὴ τὰ ψύχοντα διαφόρου τυγχάνει δυνάμεως. καὶ γὰρ πέφυκε τὰ μὲν πλέον, τὰ δὲ ἔλαττον ἐνεργεῖν· ἀκόλουθόν ἐστιν εἰδέναι τίσι μὲν χρὴ ὕδωρ διδόναι, ἢ ἄλλο τι τῶν ψυχόντων· καὶ τίσι μὲν πλέον, τίσι δὲ ἔλαττον· ποίοις δὲ οὐδόλως χρὴ διδόναι· καὶ τὸν καιρὸν τῆς δόσεως· καὶ τίνας μὲν καὶ ἔσωθεν, καὶ ἔξωθεν δεῖ ψύχειν, τίνας δὲ μόνον ἔξωθεν. οὕτω γὰρ ἡμῶν προσδιοριζομένων, καὶ ἡ θεραπεία τῶν ἑκτικῶν, καίπερ οὖσα δύσκολος, ῥᾳδία τε καὶ εὐχερὴς γίνεται.

Ποίοις αὐτῶν χρὴ διδόναι ψυχρὸν ὕδωρ.

Εἰ μὲν οὖν ὁ κάμνων εἴη πρώτως ἐμπεσὼν εἰς τὸν ἑκτικὸν πυρετόν, καὶ οὐχὶ τὴν γένεσιν ἔχων ἐκ μεταπτώσεως τῶν ὀξέων νοσημάτων, θαρρῶν βρέχε χυλῷ πτισάνης, καὶ ἄρτον βεβρεγμένον εἰς ὕδωρ, καὶ θριδακίνας, καὶ πάσῃ τροφῇ κέχρησο, καὶ μετὰ τὴν τροφὴν ἐπιδίδου πίνειν ψυχροῦ ὕδατος ὅ,τι βούλει. φυλάξασθαι γὰρ ἐνταῦθα καὶ δεδιέναι τὰς εἰσβολὰς τοῦ πυρετοῦ οὐ δεῖ· οὐδὲ γὰρ συστολὰς ἢ παροξυσμούς ἐστιν εὑρεῖν ἐπὶ τούτων, ὥσπερ ἐπὶ τῶν ἐπὶ σήψει πυρετῶν. οὕτω μὲν χρὴ πράττειν, εἴποτε αὐτὸς καθ' ἑαυτὸν εἴη ἑκτικὸς πυρετός, καὶ ὁ κάμνων εἴη τὴν δύναμιν ἐρρωμένος, καὶ μὴ εἴη ἄλλος παραπεπλασμένος ἐπὶ σήψει πυρετός.

Ἐπὶ ποίου χρὴ διδόναι τὸ ψυχρόν.

Ἐπισκέπτου πάλιν μήποτε ἄρα φλεγμονῆς οὔσης ἐν τοῖς ὑποχονδρίοις, μεγάλης σήψεως τινος ἐμφαινομένης ἐν ταῖς φλεψίν, ἢ ὠμοτέρων χυμῶν, ὁ ἑκτικὸς συνέστη πυρετός. ἐνδέχεται γὰρ ἑκτικὸν εἶναι), καί τινα τῶν ἐπὶ σήψει νοθεύειν αὐτόν. εἰ οὖν εἴη τι τοιοῦτον, ἐπισχεῖν χρὴ τὴν δόσιν, καὶ μάλιστα ἂν μηδὲ πέψεως ἐν τοῖς οὔροις ἐμφαίνηταί τι, μηδὲ φλεγμονὴ ζέουσα καὶ ἀξιόλογος τῷ μεγέθει ἐμφαίνοιτο, καὶ προσέτι καὶ ἡ δύναμις ἄρρωστος.

Πότε δεῖ καὶ φλεγμονῆς οὔσης ἐπιδιδόναι ψυχρὸν ὕδωρ.

Εἰ δὲ ζέουσα πάνυ τύχῃ ἡ φλεγμονή, καὶ χολώδης, καὶ ἐρυσιπελατώδης, ἐπιδιδόναι δεῖ ψυχρὸν ὕδωρ. ἐγὼ γοῦν οἶδα δεδωκὼς ἐπί τινος τὴν τοιαύτην ἔχοντος διάθεσιν, καὶ διακαιομένου, ψυχρὸν ὕδωρ, καὶ τὰ μέγιστα ὠφελήσας· παρῃτηκὼς μέντοι χρονίσαι τὸν κάμνοντα μικρόν· ὅσπερ καὶ ἀπέβη. ἐθερά-

δύνε γὰρ εἰς τὴν ἀνάληψιν. ἐξέφυγε δὲ τοῦ μεταπεσεῖν, αὐξηθέντος τοῦ πυρετοῦ εἰς τὸν μαρασμώδη ἑκτικόν. οὕτω δὲ καὶ εἰ τῷ ἐπὶ σήψει εἴη τις προσπεπλεγμένος, καὶ μάλιστα τῶν καυσωδῶν, ἐπιδιδόναι χρὴ τὸ ψυχρὸν ὕδωρ, οὐχ ἁπλῶς οὐδ᾽ ἐπὶ τούτων, ἀλλ᾽ ἡνίκα πέψεως χρηστῆς ἤδη ἐν τοῖς οὔροις φανῇ σημεῖα, τηνικαῦτα ἐπιδιδόναι συμφέρει.

Περὶ τῶν ἐκ μεταπτώσεως ἑκτικῶν πυρετῶν.

Εἰ δ᾽ ἐκ μεταπτώσεως τῶν ὀξέων νοσημάτων ἑκτικὸς ἐπιγένοιτο· ὡς ἐπὶ τὸ πολὺ γὰρ μὴ θεραπευομένων καλῶς τῶν καυσωδῶν πυρετῶν, οἱ μαρασμώδεις ἐπιγίνονται ἑκτικοί· ἐὰν οὖν τὸ τοιοῦτον συμβῇ, ἐπιτείνειν δεῖ τὴν πόσιν τοῦ ψυχροῦ, καὶ μάλιστα τῶν ἀμέτρων. προλεπτυνθέντος γὰρ ἤδη τοῦ σώματος, καὶ ἀσθενοῦς τε ἅμα καὶ ἀσάρκου γενομένου, καὶ * διὰ τὸν χρόνον τῶν προειληφότα, καὶ τὴν δυσκρασίαν τῶν καυσωδῶν πυρετῶν, ἀνάγκη διττὴν παρακολουθῆσαι τὴν βλάβην, ἢ καταβληθῆναι τὴν δύναμιν ἰσχυρῶς, καὶ ἀπόλλεσθαι, ἢ καταψυχθείσης τὴν καρδίαν, καὶ φθασάσης ἀπολέσθαι τὴν ἔμφυτον θερμότητα, τὸν τῷ γήρᾳ παρακολουθοῦντα παραπλήσιον μαρασμόν. εἰκότως ἐκ νόσου γῆρας ἐκάλουν. ψυχρὸς γάρ ἐστι καὶ ξηρός ἐστιν, οὐδαμῶς ἐπιφέρων πυρετόν. * ὅσπερ οὐδὲ τῶν ψυχόντων ἐστὶ χρήζει ὁ μαρασμός, ἀλλὰ μᾶλλον τῶν ὑγραινόντων τε ἅμα καὶ θερμαινόντων. Πῶς χρὴ βοηθεῖν διὰ τῶν ἐκτὸς, ἐφ᾽ ὧν μὴ δυνάμεθα ψυχρὸν ὕδωρ ἐπιδιδόναι. Καταπλάσμασι μὲν οὖν, καὶ ἐμβροχαῖς καὶ κηρωταῖς ἐμψυχούσαις μὲν ἐπὶ πάντων πυρετῶν, ἔστι καλὸν κεχρῆσθαι, ἐφ᾽ ὧν ἀδυνατοῦμεν τῇ τοῦ ὕδατος πόσει κεχρῆσθαι, ἢ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, ἢ διὰ τὴν ἀμέτρων λεπτότητα, καὶ τὴν τῶν σαρκῶν ἀπώλειαν. ἐπισκέπτου δὲ μὴ ἄρα καὶ ὁ γινόμενος μαρασμώδης ἑκτικὸς ἐπὶ πεπονθότι μορίῳ τὴν γένεσιν ἔσχεν ἐξ ἀρχῆς. καὶ ἐπὶ φλεγμονῇ γὰρ τοῦ ἥπατος, καὶ γαστρὸς, καὶ μεσαραίου, καὶ νεφρῶν, καὶ κώλου, καὶ χρονικαῖς φλεγμοναῖς μήτρας καὶ θώρακος, καὶ πνεύμονος, καὶ διαφράγματος, καὶ ἐπὶ ἄλλων μορίων ἐχόντων φλεγμονάς. δεῖ οὖν ἐπιβλέπειν καὶ διαγινώσκειν ἐπὶ ποίῳ μορίῳ συνέβη παρακολουθῆσαι τὸν μαρασμώδη πυρετὸν, καὶ ἐν αὐτῷ μᾶλλον προσφέρειν τὰ ἐμψύχοντα καὶ ὑγραίνειν δυνάμενα βοηθήματα, καὶ οἷς αὐτὴν ἐθέλειν κατασβεννύειν τὴν ἑστίαν τοῦ πυρός. πολλὰ μὲν οὖν ἐστι τοῦτο ποιεῖν δυνάμενα, ἀλλ᾽ οὐδὲν οὕτως ὡς ἡ ῥοδίνη κηρωτή. καὶ γὰρ ἐμψύξαι καὶ ὑγρᾶναι τὰ στερεὰ τῶν μορίων δύναται, καὶ φυλάξαι μὴ ἀπόλλυσθαι παντελῶς τὴν ὀλίγην αὖθις ἔτι περιλαμπομένην ὑγρότητα. ἔχει δὲ ἡ σκευασία οὕτω, κηροῦ ℥ γ´, ῥοδίνου ℥ ς´. τὸν κηρὸν πλῦνον ἅπαξ, ἢ δίς· εἶτα μετὰ τὸ πλυθῆναι ἐν ὕδατι, χρῶ. οὕτως ἐπίβαλλε ῥοδίνῳ ἀλλὰ φύλαξον ὅσον ℥ α´, μικρῷ πλέον ἢ ἔλαττον· καὶ ὅτε λυθῇ μαλακῷ πυρὶ καλῶς ἡ κηρωτὴ, ἔασον αὐτὴν ψυγῆναι· εἶτα λαμβάνων ἐξ αὐτῆς, εἰς τὴν θυΐαν τρίβε, ποτὲ μὲν ἐκ τοῦ ὑπολειφθέντος ῥοδίνου βάλλων ἐν τῇ θυΐᾳ βραχύ· ποτὲ δὲ ψυχροῦ ὕδατος, ἕως οὗ τὸ πᾶν ἀναλωθῇ ῥόδινον. καὶ θεάσῃ ὅτι καλῶς ἐνεμίχθη τῇ κηρωτῇ. εἰ δὲ καὶ λευκὰ ᾠῶν ἐθέλεις βάλλειν, ἔτι κάλλιον ἂν εἴη τὸ βοήθημα. ὁμοίως δὲ εἰ καὶ χυλὸν πλιατάνης προσπλέξεις, ἔτι κάλλιον ποιήσεις. δεῖ δὲ καὶ συνεχέστερον ἀλλάττειν τὰ ῥάκη, καὶ μὴ συγχωρεῖν χρονίζειν ἐν τῷ σώματι, μηδὲ ἐπὶ πολὺ θερμαίνεσθαι. ἀσθενέστερον γὰρ χρονίζον γίνεται. πρὸς πολλὰ χρήσιμα ταύτη ἐστὶν ἡ κηρωτὴ, καὶ δεῖ μὴ ὡς ἔτυχεν αὐτῇ χρῆσθαι. ἐγὼ γοῦν ταύτῃ πολλάκις χρησάμενος, ἀρχομένους ἑκτικοὺς ἀπέλυσα ταχέως, μὴ δυναμένους αὐξηθέντας ἐνεγκεῖν τὸν μα-

ρασμώδη πυρετόν. ἐπιμένειν δὲ καὶ ἐπὶ τούτων, χρωμένων αὐτῇ, καὶ μὴ ὀκνεῖν, ἀλλὰ καὶ συνεχέστερον αὐτῇ κεχρῆσθαι, ποτὲ μὲν ὡς κηρωτὴν ἐπιβάλλοντας, ἄλλοτε δὲ ὑγροτέραν ποιοῦντας, ἀναλύοντας ἐπὶ πολὺ ὑδροροδίνῳ. οὕτω γὰρ ἔξεστί σοι καὶ ὡς ἀλείμματι κεχρῆσθαι τῷ βοηθήματι, καὶ κατὰ παντὸς τοῦ σώματος, καὶ μάλιστα ἐπὶ τῶν ἐκτετηκότων καὶ καταλεπτυνθέντων σωμάτων. δεῖ δὲ μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς τῆς ἡμέρας οὕτω κεχρῆσθαι, καὶ μάλιστα κατὰ τῶν σπλάγχνων. ἐπιχειρεῖν δὲ μέλλοντας δεύτερον, ἀκόλουθόν ἐστι καὶ ἐπὶ δευτέρου χρισθὲν ἀπομάττειν. Περὶ ἐμβροχῆς. Ἐμβροχαῖς δὲ κεχρῆσθαι ταῖς διὰ χυλοῦ θριδακίνης, καὶ ὄμφακος, καὶ ἀνδράχνης, καὶ στρύχνου, καὶ κοτυληδόνος. κάλλιον δὲ εἰ καὶ ψυχρανθέντας ἐπιρρίπτειν βουληθείης τοὺς χυλούς, καὶ μάλιστα ἐπὶ χιόνος. εἰ δέ τι φλεγμαῖνον εἴη κύριον μόριον, οὐδὲ καθ' ἑαυτοὺς ἐπιβάλλειν τοὺς χυλούς, ἀλλ' ὀμφάκινον ἔλαιον συναναπλέκειν, ἢ χαμαίμηλον, ἢ καὶ ῥόδινον, ἢ καὶ πάντα ὁμοῦ σπουδάζειν. δεῖ δὲ μὴ περὶ τὸν θώρακα προσφέρειν τὰ πάνυ ψύχοντα βοηθήματα, εἰ μή τι πολλὴν πύρωσιν ἢ φλεγμονὴν ἐν αὐτοῖς θεάσῃ. καὶ οὕτω δὲ δεῖ χρονίζειν τὰ ῥάκη, διότι πολλοὺς οἶδα μὲν οὐ μετρίως βλαβέντας, οὐ μόνον τὴν ἀναπνοήν, ἀλλὰ καὶ τὴν φωνὴν ὑπὸ τῆς ἀμέτρου ψύξεως αὐτήν. Περὶ οἰκήματος. Οὐ μόνον δὲ διὰ τῶν ἔξωθεν προσφερομένων πειρᾶσθαι δεῖ βοηθεῖν τοῖς ἐμψύχουσιν, ἀλλὰ καὶ διὰ τὸ μηχανᾶσθαι τὸν ἀέρα μεταβάλλειν ἐπὶ τὸ ψυχρότερον. εἰ οὖν θέρος εἴη, ἐν οἰκήματι καταγαίῳ κατακείσθω, καὶ ῥαντιζέσθω τὸ ἔδαφος ὕδατι πολλῷ ψυχρῷ, ὥστε διὰ τούτου ψυχρότερον ἀποτελέσαι τὸν ἀέρα. ἐπιρρείτω δὲ καὶ ὕδωρ ἐξ ἑτέρων ἀγγείων εἰς ἕτερα. ὁ γὰρ μέτριος τοῦ ὕδατος ψόφος καὶ ὕπνον προσκαλεῖται. ἔτι δὲ κάλλιον ἂν μεταβάλλῃς τὸν ἀέρα, ὥστε μὴ μόνον ἐμψύχειν, ἀλλὰ καὶ ῥωννύειν δύνασθαι τὸ σῶμα, ἐὰν εἰς τὸ ἔδαφος ἐπιρρίψῃς τινὰ τῶν ἐμψυχόντων, ἢ ῥόδα, ἢ ἀείζωα, ἢ βάτον, ἢ ἄγνου κλῶνας, ἢ ἕλικας ἀμπέλων, ἤ τι τοιοῦτον, ὅπερ καὶ ἐμψύχειν καὶ τόνον δύναται ἐπιτιθέναι. συμβάλλεται μὲν πᾶσι τοῖς ἑκτικοῖς ὁ τοιοῦτος ἀήρ, μάλιστα δὲ οἷς ὁ πνεύμων καὶ ἡ καρδία τὴν ἐκπύρωσιν ἔχει περιττῶς. καὶ γὰρ οὐ τοσοῦτον ὑπὸ τροφῆς καὶ πόματος ἐμψύχοντος ὀνίνανται, ὅσον ὑπὸ τῆς τοῦ ψυχροῦ ἀέρος εἰσπνοῆς, καὶ τοὐναντίον μᾶλλον ὑπὸ τροφῆς ὠφελοῦνται, ἢ ὑπὸ τοῦ ἀέρος, εἰ τὸ ἧπαρ καὶ ἡ γαστὴρ ἄλλο τι πέπονθεν. οὕτω μὲν εἰ θέρος εἴη, μεταβάλλειν τὸν ἀέρα ἐπὶ τὸ ψυχρόν. εἰ δὲ χειμὼν εἴη, ἐπὶ τὸ θερμότερον μὲν οὐ δεῖ τὸν ἀέρα παρασκευάζειν. ὅπως γὰρ ἂν ᾖ ψυχρός, οὐδὲν αὐτοὺς ἀδικεῖ. μόνον μέντοι τὸ ἄλλο σῶμα ἐπισκέπειν δεῖ, μετρίως τε μόνον ἐκ τῆς πλείονος σκέπης θερμαίνεσθαι, καὶ διὰ τοῦτο καὶ ἔκλυσιν ὑπομένειν τινὰ τὸν κάμνοντα. Περὶ βαλανείου. Καὶ τὸ βαλανεῖον δὲ συμφέρει τοῖς ἔχουσιν ἑκτικὸν πυρετὸν ὄντα καθ' ἑαυτόν, καὶ * μὴ μετά τινος εὑρεθῇ συμπεπλεγμένος τῶν ἐπὶ σήψει χυμῶν. βλάπτονται γὰρ τηνικαῦτα, καὶ οὐδαμῶς ὠφελοῦνται, καὶ μάλιστα ἐὰν ἔτι καὶ ἀπέπτων ὄντων, ἐθελήσειέ τις αὐτοὺς λοῦσαι. οὐδὲ γὰρ ἧττον ἀδικοῦνται, ἐὰν καὶ φλεγμονῆς οὔσης ἐν τοῖς κυρίοις μορίοις, ἐξ ὀλίγου τοῦτο ποιεῖν βούλοιντο. εἰδέναι δὲ δεῖ ὅτι οὐ μόνον τοῖς ἔχουσιν ἑκτικὸν πυρετὸν συμβάλλεται, ἀλλὰ καὶ τοῖς ἔχουσι ψυχρὰς καὶ ξηρὰς δυσκρασίας, καὶ τὸ ἐκ νόσου γῆρας. ἔχει γὰρ καὶ τοῦτο θαυμαστὸν τὰ βαλανεῖα, ὅτι καὶ τὰς θερμὰς καὶ τὰς ψυχρὰς δυσκρασίας ὠφελεῖν δύνανται. καὶ ἁπλῶς εἰπεῖν, εἴ τις ἐγνωκὼς εἴη τοὺς διαφόρους τρόπους τοῦ λουτροῦ, δυνήσεται καὶ πᾶσαν, οἶμαι, δυσκρασίαν ἄγειν εἰς τὸ ἐναν-

τίον με-

τίον μεταβάλλειν. ἔστω οὖν καὶ ὁ ἀὴρ εὔκρατος, καὶ ἡ ἀλοιφὴ, καὶ ἡ δεξαμενή. ἀποπλῦναι γὰρ δεῖ ἔλαιον, καὶ εὐθέως ἅμα τῷ εἰσελθεῖν ἐπὶ τὸν ἔξω θόλον, συγχρίεσθαι τὸ σῶμα. καὶ μηδὲ εἰς τὸν ἀέρα χρονιζέτω ὁ κάμνων. εἰς δὲ τὰ σπλάγχνα περιχείσθω τὸ ἔλαιον μᾶλλον. ἐξελθὼν δὲ περιχείσθω εἰς τὴν τοῦ ψυχροῦ δεξαμενὴν, μὴ ἔχουσαν τὸ ὕδωρ ψυχρὸν, ἀλλὰ γαλακτῶδες. περιβαλλόμενος δὲ τὰ σάβανα, μὴ πάνυ χρονιζέτω ἐν αὐτοῖς. μέλλων δὲ λαμβάνειν τὴν ἐσθῆτα, πάλιν ὅλον ἀλειφέσθω τὸ σῶμα. πάνυ γὰρ καὶ τοῦτο δύναται αὐτοὺς ὠφελεῖν. ἐπὶ πολὺ γὰρ τὴν ἀπὸ τοῦ λουτροῦ φυλάττειν δέον ὑγρότητα, καὶ μὴ συγχωρεῖν ἑτοίμως ἀπορρεῖν ἐκ τοῦ σώματος. ἀνελθὼν δὲ ἀπὸ τοῦ λουτροῦ, ἢ χυλὸν πτισάνης, ἢ ἄλικος λαμβανέτω, ἢ γάλακτος. εἰ δὲ διψώδης εἴη ὁ κάμνων, καὶ ἐν τοῖς σαβάνοις ἔτι μένοντος αὐτοῦ, μὴ πρὸ τοῦ διδόναι ἢ γάλακτος, ἢ τινος τῶν εἰρημένων τροφῶν. καὶ γὰρ ἀναδίδοται μᾶλλον, (ἐνίοτε ἕλκεται) τηνικαῦτα εἰς τὸ ὅλον σῶμα. Περὶ γάλακτος. Γάλα μὲν οὖν ἅπασι τοῖς ἑκτικοῖς ἐπιτήδειον, εἴπερ τι καὶ ἄλλο, καὶ μάλιστα τοῖς μαρασμώδεσι. διὸ καὶ τοῖς ἔχουσιν ἀσθενεστέραν δύναμιν, καὶ μηδὲ τὴν τροφὴν ἕλκειν δυναμένοις, αὐτοῖς καὶ μόνον τοῦτο ἀναδοθῆναι, καὶ ἐκκενωθῆναι ῥαδίως πολλὴν ἔχει τὴν ἐπιτηδειότητα. τὸ μὲν οὖν γυναικεῖον γάλα προτετίμηται, καὶ δεύτερον πάλιν τὸ ὄνειον. ἀλλ' ἐπειδὴ δυσχερὲς ἓν ἐκ τούτων (ἀνέχονται) λαμβάνειν, τὸ ὄνειον αὐτοῖς δοτέον γάλα, μέσον πως ὂν, καὶ πλέον τρέφειν δυνάμενον. δῆλον δὲ ὅτι καὶ φροντίζειν δεῖ τοῦ ζώου, τρέφοντα αὐτὸ ἐν οἴκῳ διὰ κριθῶν, καὶ μυρσίνης, καὶ σχίνου, καὶ δρυὸς φύλλων. οὕτω γὰρ οὐκ ἔτι φθαρτικὸν τὸ γάλα. τούτου γὰρ δεῖ φροντίζειν, ὥστε μὴ ὑπάγεσθαι τὴν γαστέρα τῶν ἑκτικῶν, καὶ μάλιστα ὧν ἐπὶ συγκοπῇ πολλῇ καὶ χρονίᾳ κενώσει γαστρὸς ἐμπεσόντων εἰς τὸν μαρασμώδη πυρετόν. διὸ ἐφ' ὧν ἐστιν ἡ γαστὴρ ἀσθενὴς, καὶ ἑτοίμως ὑπαγομένη, ἐπὶ τούτων καὶ ἕψειν δεῖ τὸ γάλα, ἢ καὶ ποταμίους ἐμβάλλειν κόχλακας. γινέσθωσαν δὲ διάπυροι, ὥστε τὸ ὀρρῶδες τοῦ γάλακτος διὰ τούτων ἀναλωθῆναι. τοῖς δὲ μὴ θέλουσι λαμβάνειν καθ' ἑαυτὸ τὸ γάλα, καὶ μετὰ πτισάνης, ἢ ἄλικος, ἢ χύτρας ἑψῶν αὐτὸ δίδου, καὶ μετὰ ἰτρίου δὲ, καὶ τῆς σεμιδάλεως ὡσαύτως. ἔτι δὲ μᾶλλον ἐκείνοις αὐτὸ παρέχειν δεῖ, οἷς καὶ ἡ γαστὴρ πλείονα καὶ χολωδέστερα φαίνηται διαχωροῦσα. προϊόντος δὲ τοῦ χρόνου, καὶ τῶν πυρετῶν μαρανθέντων, καὶ τῆς δυνάμεως προσθήκην τινὰ λαβούσης, καὶ τῶν ἁπαλωτάτων καὶ νεοτύρων μετὰ τὸ αὐτὰ παγέντων οὐδὲν ἄτοπον αὐτοῖς ἐπιδιδόναι. πρὸς ὃ γὰρ ἐπιδιδοῦσαν ὁρῶμεν τὴν δύναμιν, οὕτω δεῖ καὶ ἡμᾶς τὸ ποσὸν ἐπαύξειν τῆς τροφῆς. Περὶ οἴνου. Οἶνον δὲ τοῖς μὲν ἔχουσι ψυχρὰν καὶ ξηρὰν δυσκρασίαν ἐν τοῖς στερεοῖς, καὶ τὸν ἐκ νόσου καλούμενον μαρασμὸν, ἀναγκαῖόν ἐστι διδόναι. θάλπεσθαι γὰρ ἅμα καὶ ὑγραίνεσθαι τοὺς οὕτω πάσχοντας δεῖ. πάντα δὲ ταῦτα παρέχειν αὐτοῖς οἶδεν ὁ σύμμετρος οἶνος. ἐν δὲ τοῖς μετὰ πυρετοῦ μαραινομένοις, καὶ μάλιστα τοῖς περιφρυγέσι, φεύγειν δεῖ διδόναι. πολέμιος γὰρ, εἴπερ τι καὶ ἄλλο, τούτοις ἐστὶν ὁ οἶνος.

Περὶ τῶν ἐπὶ συγκοπῇ μαραινομένων. ε'

Τοῖς δὲ ἐπὶ συγκοπῇ μαραινομένοις, ὅσον μὲν ἐπὶ τῇ καταπτώσει τῆς δυνάμεως, καὶ τῇ πολλάκις ἑπομένῃ καταψύξει, προσφέρειν χρὴ τὸν οἶνον. ἀλλ' ἐπειδὴ καὶ παρὰ φύσιν αὐτοῖς θερμασία, καὶ πυρετὸς ἔτι σύνεστι, καὶ παύεται μὲν ἡ κατάψυξις ἔσθ' ὅτε

γίνεσθαι, πάλιν δὲ τὰ τῶν πυρετῶν ἐπιγίγνεται, καὶ ἁπλῶς ἄλλοτε ἄλλως ἀπολέσθαι τὸν κάμνοντα κίνδυνος, ποτὲ μὲν ὑπὸ τῆς καταψύξεως, ἄλλοτε δὲ ὑπὸ τοῦ πυρέσσειν, ἀνάγκη τότε λοιπὸν ἀποβλέπειν πρὸς τὴν ἐπείγουσαν χρείαν, καὶ ποτὲ μὲν εὐκαίρως ἐπιτάττειν τὸν οἶνον, ἄλλοτε δὲ πάλιν ἀποτρέπειν.

Περὶ διδύμων, οὓς καὶ ὄρχεις καὶ παραστάτας καλοῦμεν.

Τοὺς δὲ ὄρχεις τῶν ἀλεκτρυόνων διδόναι χρή. κατὰ πάντα γὰρ τοῖς ἐκτικευομένοις ἅπασιν ἀγαθόν. καὶ γὰρ τρέφειν εἰσὶν ἱκανοί, καὶ αὔξειν τὴν δύναμιν, ἐπειδὰν πεφθῶσι καλῶς. ὥστε χρὴ διὰ τοῦτο σπουδάζειν ἀεὶ διδόναι τὴν αὐτὴν τροφήν, μηδέπω τῆς δυνάμεως ἐσχάτως καταπεσούσης. τί γὰρ ὠφελεῖν ἐστι λοιπόν, εἰ μὴ πέττει, καὶ περιγίγνεται τῆς τροφῆς ἡ δύναμις; οὐ γὰρ ἁπλῶς τροφὴ τὴν δύναμιν αὔξει, ἀλλ᾽ ἡ φύσις ἥτις πᾶσαν τροφὴν καὶ πέττειν καὶ μεταβάλλειν καὶ προστιθέναι τῷ σώματι πέφυκεν.

Περὶ ὀπώρας.

Η ὀπώρα διότι μὲν ὑγραίνει, κατὰ τοῦτο τοῖς ἐκτικοῖς ἐστι πρόσφορον ἔδεσμα, διότι οὐ μόνον ὑγραίνειν πέφυκεν, ἀλλὰ καὶ ψύχειν ὀλίγου δεῖν ἅπαντα. διὰ τοῦτο πάλιν πᾶσαν ὀπώραν οὐ δεῖ λέγειν, ὅτι πάντῃ ἐκτικοῖς συμφέρει. τοῖς μὲν γὰρ ἔχουσι θερμὴν καὶ ξηρὰν δυσκρασίαν, καὶ πᾶσι τοῖς μαρασμώδεσι καὶ περιφρυγέσι, καταλλήλως ἅπασιν ἡ ψύχουσα καὶ ὑγραίνουσα, καὶ μάλιστα ἡ τῶν πεπόνων ἐντεριώνη καὶ σικύων. καὶ μῆλα δὲ καὶ ῥοδάκινα τούτοις ἐπιτήδεια, καὶ κεράσια. τοῖς δὲ νοσοῦσι ψυχρὰν δυσκρασίαν, καὶ εἰς τὸ ἐκ νόσου γῆρας ἐμπεσοῦσιν, ἀνοίκεια. τῆς μέντοι ἄλλης ὀπώρας ἥτις οὐ πάνυ ψύχει, ἀλλὰ μᾶλλον θερμαίνει καὶ ὑγραίνει, μετρίως ἐπιδιδόναι οὐδὲν ἄτοπον, οἷον, σταφυλῆς πεπείρου πάνυ γλυκείας, καὶ μάλιστα τῆς διὰ σταφίδος, καὶ μήλου τοῦ πάνυ γλυκέος, καὶ συκῆς τῆς πάνυ πεπείρου. τὸ γὰρ πάνυ πεφθὲν σῦκον ἐγγὺς τοῦ μηδόλως βλάπτειν ἥκει. ἐὰν οὖν ἡ γαστὴρ οὐδὲν ἡμᾶς κωλύῃ, πλέον ἐκκρίνουσα τοῦ δέοντος, θαρρῶν πάρεχε τὰς εἰρημένας τροφάς. εἰ γὰρ εἴη τι τοιοῦτον, καὶ φαίνοιτο κατὰ λόγον ἡ γαστὴρ μᾶλλον φερομένη, τούτων μὲν ἀπέχεσθαι πρὸς τὸ παρόν, ἐπιδιδόναι δὲ ἀεὶ ἢ ῥοιᾶς μετρίως στυφούσης, ἢ ἀπίων, ἢ μήλων. τὰς δὲ ποιότητας ταύτας, καὶ μάλιστα περὶ τῆς ἄλλης τροφῆς. μετὰ γὰρ τροφὴν ἐσθιόμενα, γαστρὸς ὑπακτικὰ γίγνονται. καὶ αὐτοῖς δὲ καὶ τοῖς ἐπὶ συγκοπῇ πᾶσιν ἐκτικοῖς τὰς εὐστομάχους καὶ εὐκαρδίους δεῖ παρέχειν τροφὰς μᾶλλον. εἰ δὲ διψώδεις ὄντες καὶ οὗτοι, καὶ σφόδρα πυρέττοντες φαίνοιντο, καὶ τούτοις τὰς ἐμψυχούσας ὀπώρας εὐκαίρως ἐπιδιδόναι, καὶ ἁπλῶς πρὸς τὸ μᾶλλον κατεπεῖγον ἅπαντα πράττειν. οὕτω γὰρ ἐπιβλέπων καὶ προσδιοριζόμενος, οὐδέποτ᾽ ἂν βλάψῃς τινά, οὐδ᾽ εἰ ὀπώραν ἢ ἄλλην τροφὴν τινὰ παρέχων. ποσότητι γὰρ καὶ ποιότητι, καὶ καιρῷ, καὶ τάξει, καὶ τρόπῳ χρήσεως, ἅπαντα ἢ κατορθοῦται, ἢ σφάλλονται.

Περὶ μαρασμοῦ.

Εἰ τῷ ὄντι μαρασμός, ἀπώλειά τις παντελὴς τῆς ἐν τοῖς στερεοῖς ὑγρότητος ἀνίατός ἐστιν, εἰκότως οὖν διὰ τοῦτο τινὲς τῶν ἰατρῶν πλανηθέντες πρὸς τὴν διάγνωσιν, ἔδοξαν τεθεραπευκέναι τὸν τῷ ὄντι μαρασμόν. λεπτότητα μὲν γὰρ καὶ ἀτροφίαν τῶν σαρκῶν, καὶ οἷον σύντηξιν αὐτῶν, δυνατὸν ἀνακαλέσασθαι. τὴν μέντοι πρώτην καὶ αὐτὰ τὰ στερεὰ τρέφειν δυναμένην ὑγρότητα πᾶσαν ἀπολεσθεῖσαν, ἀδύνατον προσθεῖναι. οὕτω γὰρ ἂν ἀδύνατον καὶ τὸ γῆρας ἰᾶσθαι. καὶ γὰρ τὸ γῆρας, μαρασμός ἐστιν

σμός ἐστιν ἐπὶ τὸ κατὰ φύσιν. ὥσπερ οὖν οὐ δυνατὸν ἰᾶσθαι τὸ γῆρας, οὐδὲ τὸν τῷ ὄντι μαρασμόν, ὅμως δεῖ φιλονεικεῖν διὰ φιλάνθρωπον τῆς τέχνης βοήθειαν, καὶ μὴ ἐγκαταλιμπάνειν ἔσθ' ὅτε γὰρ φύσεως εὐφόρου εὐπορῶν τις, καὶ ἀρχόμενος τοῦ μαρασμοῦ, καὶ μηδέπω καταφρύξαντος τὰ στερεά, ἐπιτύχοι ἂν τοῦ σκοποῦ· εἰ δὲ μή, ὅπερ μᾶλλον μὴ πάθῃ ὁ νοσῶν, τοῦτο μὴ ποιεῖν. τοῖσι γὰρ κεκρατημένοισιν οὐ δεῖ ἐγχειρεῖν.

Περὶ τριταίου. ς'

Ὁ τριταῖος μὲν ἐστὶ δυσθεράπευτος, κακῶς δὲ ἰατρευόμενος ὑπὸ τῶν ἀμεθοδεύτων ἰατρῶν, οὐ δυσθεράπευτος μᾶλλον, ἀλλὰ καὶ ἀνίατος ἔσθ' ὅτε γίνεται. ὑγραινούσης οὖν ἐπὶ πάντων καὶ ἐμψυχούσης εὔδηλον ὡς δεῖται τροφῆς, ὅτε κρίσει γε καθαρὸς καὶ γνήσιος ὁ τριταῖος ὑπάρχει, καὶ ὑπὸ μόνης χολῆς κινούμενος. ὁ μὲν οὖν τῆς πτισάνης χυλὸς ὑπὲρ πάντα χρησιμώτατος αὐτοῖς ὑπάρχει, καὶ τούτῳ χρησάμενοί τινες ἄχρι κρίσεως, ἄριστα διεγένοντο. εἰ δὲ μὴ χαίροιεν τῇ πτισάνῃ, καὶ τὸν χυλὸν τοῦ χόνδρου δοτέον αὐτοῖς. καὶ καυλοῖς δὲ θριδάκων ἢ ἰντύβων ἀναγκαῖον χρήσασθαι. εἰ δὲ μὴ σφοδρὸς ὁ πυρετὸς, καί τινα πέψεως φανῇ σημεῖα, καὶ τῶν ὀρνέων ἐπιδίδου τὰ στερεά, καὶ τῶν ἰχθύων τοὺς ἁπαλοσάρκους. οὖρα δὲ προτρέπειν ἐπὶ τῶν τοιούτων ἀναγκαῖον, ἀποβρέχοντα μάλιστα τὴν ῥίζαν τοῦ σελίνου καὶ τοῦ ἀδιάντου. τὸ γὰρ τοῦ ἀνήθου ζέμα εἰ καὶ τὸ προτρέπειν οὖρα καλῶς οἶδε, φεύγειν αὐτὸ δεῖ μᾶλλον ἐπὶ τῶν γνησίων, καὶ ἐφ' ὧν ἐστὶ θερμοτέρα καὶ ξηροτέρα ἡ κρᾶσις. ἔτι δὲ εἰ καὶ φροντιστικοὶ καὶ ἄγρυπνοι τυγχάνοιεν οἱ κάμνοντες. ἐπὶ γὰρ τῶν τοιούτων ἁπάντων ἡ βλάβη μείζων τῆς ὠφελείας γίνεται. καὶ μάλιστα τοῦ ἀψινθίου φευκτέον τῷ ἀποζέματι τοῦ θερμοῦ καὶ ξηροῦ τὴν κρᾶσιν ὄντος. * οἶδα δ' ἐγὼ καὶ ἐκτικὰ θέντας τινὰς κατὰ μέρος, ἀμετρότερον δεξαμένους, καὶ μὴ φυλάξαντας. ἔτυχε γὰρ τοῦ ἐρεθίσαι τινῶν μὲν τὰ στερεὰ ξηρότερα, τινῶν δὲ ζέουσαν τὴν χολήν, καὶ οὐ ποσότητι λυποῦσαν, ἀλλὰ ποιότητι μᾶλλον. ἄλλοι δ' ἐν τῷ στόματι γαστρὸς ἔχειν πυρώδη δυσκρασίαν, ἢ φλεγμονήν. ἐπὶ πάντων οὖν τούτων φεύγειν δεῖ τὰ τοιαῦτα, καὶ εὐκράτῳ περὶ τροφῆς κεχρῆσθαι πλείονι μᾶλλον. οὐδὲν δ' ἧττον καὶ ἐν τῷ ἄλλῳ καιρῷ διδόναι πόμα. καὶ γὰρ ὑγραίνει τοῦτο, καὶ τὸ ζέον ἀναψύχει, καὶ χαλᾷ τοὺς πόρους. συμβαίνει οὖν ἐκ τούτων πάντων τὸ μέν τι τῆς χολῆς διὰ γαστρὸς ἐκκρίναι, ἄλλο δὲ δι' οὔρων, περὶ τούτου κατεργασμένης, καὶ διὰ τὸ ζέον τῆς θερμασίας, ἔτι τε καὶ τὴν τῶν ἀποζεμάτων ὑπερόπτησιν οὐ δυναμένης ἐκκρίνεσθαι. θαυμάζω οὖν πῶς ὁ νόμῳ τὴν τέχνην ἀσκήσας, εἴπερ τις καὶ ἄλλων ἰατρῶν, γαληνὸς οὕτως ἀπροσδιορίστως ἀφῆκεν, ὥστε φησὶ τοῖς ἀκριβῆ νοσοῦσι τριταῖον, ἐπιδίδοσθαι τὸ ἀπόβρεγμα τοῦ ἀψινθίου, μετὰ τὴν ἑβδόμην ἡμέραν. ἐγὼ δὲ μᾶλλον ἔδωκα τοῖς νόθοις, μίξας αὐτῷ βραχέος ὀξυμέλιτος. οὕτω γὰρ καὶ ἀπολεπτύνει μᾶλλον τὴν ἐπιμιξίαν τοῦ φλέγματος ἀλύπως, καὶ ὑποκαθαίρει, ὥστε μὴ γίνεσθαι χρείαν ὀριγάνου, ἢ ὑσσώπου, ἢ καλαμίνθης, ἢ γλήχωνος. ἁπάντων τούτων δριμυτέρων ὄντων, καὶ ἐπισφαλεστάτων, καὶ πολλάκις ἐξαπτόντων ἤδη πλέον τὸν πυρετόν. ἅπαντα οὖν τὰ τοιαῦτα μᾶλλον φεύγειν δεῖ, καὶ τηνικαῦτα ἐπιδιδόναι τολμᾶν, ἡνίκα τὸ φλέγμα τῆς χολῆς ἐπικρατέστερόν ἐστι πολλῷ, καὶ ἡ κρᾶσις τοῦ πάσχοντος * θερμοτέρα, καὶ βίος ἀργός, τά τε ἄλλα πάντα ὅσα τὸν ψυχρότερον ἐπικρατεῖν ποιεῖ χυμόν. εἰ δὲ τούτων ἐναντίος εἴη ὁ πλεονάζων χυμός,

ἀφίστασθαι δεῖ τὸ τηνικαῦτα τούτων. κεχρῆσθαι δὲ μᾶλλον ἐκείνοις ὅσα λεπτύνει, καὶ τοὺς παροξυσμοὺς σφοδροτέρους * οὐκ ἀναγκάζει γίνεσθαι. Περὶ ὀπωρῶν. Ὀπώραν δὲ τοῖς ἀκριβέσι τριταίοις ἐπιδιδόναι μάλιστα ψιλῶς, οἷον, τῆς γλυκείας σταφυλῆς, καὶ περσικῶν ἑφθῶν καὶ ἀνέφθων, καὶ τῶν πεπόνων τὴν ἐντεριώνην. μάλιστα δὲ εἰ καὶ διψώδεις εἶεν οἱ κάμνοντες. ἐγὼ γοῦν οἶδα πολλάκις οὐ συγχωρήσας ἔτι παροξυνθῆναι τοὺς νοσοῦντας, πέπονας ψυχριασθέντας καλῶς πρὸ μιᾶς ὥρας τῆς εἰσβολῆς προσενέγκασθαι κελεύσας, καὶ πάλιν εὔκρατον ἐπάνω τοῦ πέπονος ἐπιπίνειν πολὺ ἐπιτρέψας, καὶ ὅσον ἦν δυνατόν. ἠκολούθησεν οὖν οὐ μετ' οὐ πολὺ τοῦ πιεῖν, ἐνίοις μὲν ἱδρώς, ἄλλοις δὲ χολῆς πλῆθος διὰ γαστρός. εὗρον δὴ ἐγὼ πολλοὺς τῶν ἐν ῥώμῃ ἰατρῶν οὐδὲ ὄνομα τολμῶντας ὀνομάσαι τῶν πεπόνων, ὡς χολὴν τικτόντων αὐτῶν. ἐμοὶ γοῦν ἐπιτάξαντί ποτε τινὶ καὶ διψῶντι σφοδρῶς καὶ καυσουμένῳ, καὶ * κεκοπωμένῳ ὄντι, προσενέγκασθαι πέπονος, ἐπεβόησέ τις τῶν ἰατρῶν, εὐθέως εἶπε, τί θέλεις ἀποκτεῖναι τὸν κάμνοντα μᾶλλον; οὐ μεμάθηκας ὅτι ὁ πέπων χολὴν τίκτει; ἀνάγνωθι τὸ περὶ τροφῶν Γαληνοῦ, καὶ εὑρήσεις ἔνθα λέγει φανερῶς ὅτι χολερικοὺς ἀποτελεῖ βρωθεὶς ὁ πέπων. ἔκαμον οὖν ἐγὼ οὐ μικρῶς ἵνα δυνηθῶ πεῖσαι τοὺς παρακολουθεῖν δυναμένους, ὅτι οὐ χολὴν ἐνταῦθα λέγει τίκτειν αὐτούς, ἀλλὰ χολέραν ποιεῖν. χολέραν δὴ ἐκάλουν τὴν ἀνατροπὴν τοῦ στομάχου, μετὰ ἐμέτου καὶ ἐκταράξεως γαστρός· καὶ χολερικοὺς, τοὺς ταῦτα πάσχοντας. ἔχει γάρ τι κατὰ ἀλήθειαν ὁ πέπων τὸ κακοστόμαχον, διὸ καὶ πλείων βρωθεὶς ἔμετον καὶ ἐκτάραξιν γαστρὸς, ἔτι δὲ καὶ κατάψυξιν καὶ σπασμοὺς ἐργάζεται τοῦ παντὸς σώματος. ὁ δὲ μηλοπέπων οὐδὲν τούτων οἶδε ποιεῖν. οὐκ ἔχει γὰρ οὕτω τὸ κακοστόμαχον, ἀλλ' οὐδὲ ὁ πέπων συμμέτρως βρωθείς. θαρρούντως οὖν χρὴ διδόναι τοῖς τὸν τριταῖον νοσοῦσι πυρετόν, ἀλλὰ καὶ τοῖς ἔχουσι καῦσον, καὶ τοῖς θερμὴν δυσκρασίαν νοσοῦσιν, εἴτε ἐν νεφροῖς, εἴτε ἐν ἥπατι, ἢ περὶ στόμαχον, ἢ κεφαλήν. οὐδὲν γὰρ οὕτως ἐναντιοῦσθαι δύναται, καὶ ἀπομάχεσθαι, καὶ νικᾶν τὰς τοιαύτας δυσκρασίας, ὡς ὁ πέπων, ἢ ὁ καλούμενος μηλοπέπων. τὰ γὰρ ψύχοντα καὶ ὑγραίνοντα πῶς δύναται τίκτειν χολήν, οὐκ οἶδα. ἀπαριθμοῦντι δέ σοι πεπόνων, καὶ καυλοὶ θριδάκων ψυχριασθέντες, καὶ κολοκύνθαι, καὶ σικύων ἐντεριώνη, καὶ περσικὰ ἀνέφθα, καὶ εἰς ἀτμὸν κρεμασθέντα, καὶ ὑπὸ ἀτμοῦ μόνου ἑψηθέντα, καὶ ὥσπερ * γλυόμενα. τούτοις καὶ τοῖς ὁμοίοις τούτων ἀεὶ κεχρῆσθαι, καὶ ἐν τοῖς λαχάνοις καὶ ἐν ὀπώραις. καὶ ἀπὸ πάντων ἐπιλέγεσθαι τὰ ἐμψύχειν καὶ ὑγραίνειν δυνάμενα, καταλλήλως πρὸς τὴν ἑκάστου κρᾶσιν καὶ μέγεθος τοῦ νοσήματος ἐφαρμόζοντα.

Περὶ λουτροῦ. Τὸ δὲ λουτρὸν ἐπιτρέπειν αὐτοῖς χρή, ὡς μέγιστον βοήθημα, καὶ μάλιστα τοῖς ἔχουσι θερμὴν καὶ ξηρὰν τὴν κρᾶσιν, καὶ ἔθος ἔχουσι κεχρῆσθαι συνεχέσι λουτροῖς, καὶ μὴ περιμένειν πέψιν πάντως, ἀλλ' ἐὰν κατεπείγῃ τὰ τῆς ξηρότητος, καὶ πρὸ πέψεως δεῖ λούειν. γινέσθω δὴ ὁ τρόπος τοῦ λουτροῦ τοιόσδε. μετὰ τὸ εἰσελθεῖν ἐν τῷ εὐκράτῳ ἀέρι, καὶ μετρίως ἱδρῶσαι, καὶ λαβεῖν τὰς χλιαράς, οὕτως ἀλειφέσθω, μὴ ἐλαίῳ ψιλῷ. τί γὰρ δύναται καθ' ἑαυτὸ ὑγρᾶναι, ἐκτὸς ὕδατος, ἢ ἐμψύξαι καλῶς ὑπὸ χολῆς ἐκπυρούμενον σῶμα; βέλτιον οὖν ἐστι προσμιγνύειν ὕδατος χλιαροῦ. καὶ γὰρ ἐμψύξαι καὶ ὑγρᾶναι πλέον οὕτω δύναται, καὶ διελθεῖν εἰς τὸ βάθος. ἡ δὲ ἀλοιφὴ παραλαμβανέσθω μὴ ἐν τῷ οἴκῳ τῷ ἔχοντι τὸν θερμὸν ἀέρα, ἀλλ' εἰς τὸν ἐξώτερον οἶκον ὑποστρέψαντι, ὃν καὶ μαλακτικὸν καλοῦσιν.

εἶτα

εἶτα μετὰ τὴν ἀλοιφὴν τοῦ ὑδρελαίου, ἢ ὑδροχαμαιμήλου. εἰ γὰρ εἴη πολλὴ καὶ μάλιστα παχυτέρα ἡ χολή, οὐδὲν ἄτοπον καὶ χαμαιμήλῳ κεχρῆσθαι ἀντὶ τοῦ κοινοῦ ἐλαίου, μᾶλλον ἔχοντι τὸ διαφορητικὸν πλέον. οὐ δεῖ δὲ χρονίζειν ἐν τῷ ἀέρι, ἀλλὰ τάχιστα τῇ προόδῳ μόνον χρησάμενον, εἰς τὴν τοῦ θερμοῦ δεξαμενὴν εἰσιέναι χλιαρὰν οὖσαν, καὶ ἐν ταύτῃ χρονίζειν. ἐξελθόντα δ' αὐτὸν ἐκ τῶν θερμῶν οἴκων, ἐπιτρέπειν ἐγχρονίζειν ἐν τῷ ψυχρῷ ὕδατι, καὶ εἴπερ ἡδέως ἔχοιεν, καὶ νήχεσθαι κελεύειν. μετὰ δὲ τὸ λαβεῖν τὰ σάβανα, πίνειν ἐπιτρέπειν εὐκράτου ὅσον ἂν θέλῃ, μικρὸν ἀναμείναντα. μετὰ γὰρ τὴν πόσιν, ἔστιν ἰδέσθαι δαψιλεῖς ἱδρῶτας ἐκχεομένους, ἔσθ' ὅτε δὲ καὶ ἐμοῦντας χολήν, ὥστε ἐκ τῶν ἐπιγιγνομένων ἀπαλλαγῆναι τῆς νόσου τὸν κάμνοντα ταχέως. ἀνελθὼν δὲ ἐν τῷ οἴκῳ, εἰ μὴ παρείη πέπων, ἢ τῶν ἄλλων ὧν εἰρήκαμεν τροφῶν, λαμβανέτω ἢ θριδάκων καυλούς, ἢ κολοκύνθην, ἢ σικύα, ἢ πτισσάνην. τὸ δ' εὔκρατον οὐχ ἅπαξ μόνον χρὴ διδόναι, ἀλλὰ καὶ δίς, καὶ πολλάκις, καὶ μηδὲν δεδιέναι. ἐπὶ γὰρ τοῦ νοσήματος τούτου τὸ μέγιστον βοήθημα, τὸ εὔκρατόν ἐστι. σπουδάζειν δ' ἐν παρακμῇ μᾶλλον ἐπιδιδόναι, καὶ περὶ τοῦ παροξυσμοῦ. ἔσθ' ὅτε δὲ καὶ ἐν τῷ παροξυσμῷ. οἶδα μὲν γὰρ ὅτι τοὺς παροξυσμοὺς ὑποστέλλεσθαι δεῖ, ὡς ὁ θειότατος Ἱπποκράτης φησί, καὶ ἔστιν ἀληθὲς ὅσον ἐπὶ τούτῳ, καὶ ὅταν μηδὲν κατεπείγῃ. πολλάκις γὰρ ἀναγκαζόμεθα διὰ τὸ κατεπεῖγον, οὐκ εὔκρατον μόνον ἐπιδιδόναι, ἀλλὰ καὶ τροφὴν ἐν αὐτῷ τῷ παροξυσμῷ. ἐπ' ἐκείνων δὲ δεῖ τοῦτο πράττειν ἐφ' ὧν ἡ ἕξις ἄμετρος τοῦ στομάχου, καὶ ἀσθένεια δυνάμεως, ὡς μὴ δύνασθαι φέρειν τὸ μέγεθος τῆς εἰσβολῆς, ἀλλὰ συγκοπὴν ἀπειλεῖν. οἶδα οὖν ἐγὼ ἐπὶ τῶν ἀμέτρως δακνομένων ἐπιδοὺς εὔκρατον, εἶτα ἐμέτου γενομένου, χολῆς ἐκκριθείσης πλείστης, παρ' αὐτὰ τὸν παροξυσμὸν ἀποπαυσάμενον. ποία ἐγένετο πρόσθεσις, οὐχὶ δὲ καὶ ἄλλων ἀφαίρεσις, καὶ τοῦ εὐκράτου καὶ τῆς χολῆς κενωθείσης. Πῶς διακρίνειν δεῖ εἰ γνήσιος ἢ νόθος ἐστὶν ὁ τριταῖος. Δεῖ δὲ γνησίους εἶναι τριταίους ἐκείνους νομίζειν, οἷς ἅπαντα συνδεδράμηκε τὰ λεγόμενα σύστοιχα, ἡλικία, φημί, καὶ χώρα, καὶ τὸ ἔθος, καὶ κρᾶσις, καὶ ἐπιτηδεύματά τε καὶ δίαιτα. ἐνδέχεται δ' εἶναι καὶ γέροντα, καὶ νοσεῖν τριταῖον, ἅπαν τὸ εἶδος τοῦ γνησίου τριταίου καὶ πᾶσαν τὴν κίνησιν διαφυλάττοντα. ἐγὼ γοῦν αὐτόπτης ἐγενόμην τούτων ἐπί τινος γέροντος, ὃς ἔμει ξανθὴν χολήν, ἐξέκρινε δὲ καὶ διὰ γαστρὸς ὡσαύτως, ἐπύρεσσέ τε σφοδρῶς, καὶ διὰ τοῦτο ὁ παροξυσμὸς εἰσέβαλλε μετὰ ῥίγους σφοδροῦ. καὶ ἡ παρακμὴ μεθ' ἱδρώτων ἐγένετο πολλῶν. κατεῖχε δὲ τὸ μῆκος ὥρας που δέκα ἢ δώδεκα τοῦ παροξυσμοῦ. τούτων οἱ μὲν ἄλλοι τῶν ἑταίρων ὅτι γέρων τε ἦν τῇ ἡλικίᾳ, ἐκέλευον αὐτῷ ἀπόζεμα πίνειν, ἅπαντά τε πράττειν ἐκεῖνα ὅσα τοῖς νόθοις ἐστί, φασίν, ἐπιτήδεια. καὶ ὀλίγου δεῖν ἀπώλετο, εἰ ἔπινε τὰ διὰ τοῦ ὑσσώπου, καὶ ὀριγάνου, καὶ γλήχωνος ἀποζέματα, εἰ μή τις αὐτὸν ἥρπασε ταχέως κινδυνεύοντα, κελεύσας αὐτὸν καὶ πεπόνων προσενέγκασθαι, καὶ θριδάκων, καὶ πτισάνης, μηδὲν ἐχούσης περίεργον, καὶ πᾶσαν τὴν ἄλλην δίαιταν, ὑγραίνουσαν καὶ ψύχουσαν, ὡς ἐπὶ γνησίου τριταίου. μὴ ἀπατηθεὶς ἐκ τῆς ἡλικίας ὅτι γέρων ἦν, ἀλλὰ μᾶλλον τῇ ὅλῃ κράσει, τὴν ἐξ ἀρχῆς πυρώδη δυσκρασίαν ἣν ἐσχηκώς, ἣν ἄλλοι ὀλίγου δεῖν ἔμειναν ἀκριβῶς αὐτὴν διαφυλάττοντες. δεῖ οὖν μάλιστα τῇ φύσει προσέχειν τοῦ νοσοῦντος, καὶ τοῖς προηγησαμένοις. οὐδὲν δ' ἧττον, ἀλλὰ καὶ πάντων πλέον τῷ εἴδει τοῦ πυρετοῦ. ἐγὼ δὲ οὐδὲ τὸν τῶν νόθων τριταίων ἐπαι-

νοῦ δίαιταν ἐπὶ πάντων οὖσαν ἀληθῆ καὶ συμφέρουσαν, ἣν ὁ φιλόσοφος γαληνὸς ἐν τοῖς πρὸς γλαύκωνα προστάττων φαίνεται, ἐμβάλλειν πάντως ἐν τῇ πτισάνῃ πεπέρεως, ἢ ὀριγάνου, ἢ ὑσσώπου. καὶ γὰρ ἐπισφαλῆ τὰ τοιαῦτα ὡς ἐπὶ πολύ, καὶ πυρετοὺς ἐξάπτοντα σφοδροτέρους. ἔτι δὲ μᾶλλον, εἴπερ καὶ ἡ κρᾶσις εὑρεθῇ τοῦ σώματος θερμοτέρα, καὶ φλέγμα ἔλαττον τῆς χολῆς, καὶ μὴ πάνυ χρῇζον τῶν θερμαινόντων. ἤρκει γὰρ ἐπὶ τούτων καὶ τὸ μὴ πάνυ πολλοῖς ψύχουσι χρήσασθαι, καὶ τοῖς λεπτύνειν ἠρέμα δυναμένοις ἄνευ τοῦ θερμαίνειν, οἷά ἐστιν ἥτε ῥίζα τοῦ σελίνου καθαρθεῖσα, ὡς μὴ μετέχειν τῶν ῥιζῶν, καὶ πτισάνη ὁμοίως ἔχουσά ποτε σέλινον, ἢ ἄνισον, ἢ κόμην πράσου, ἢ μέλιτος ὀλίγου καὶ ὄξους. εἰ δὲ μὴ πάνυ νόθος ὑπάρχῃ, οὐδὲν τούτων ἐστὶ χρεία, ἀλλ' ἀρκεῖ καθ' ἑαυτὴν μόνῃ χρήσασθαι τῇ πτισάνῃ, καὶ ἐπικεράσαι τὸ χολῶδες, καὶ ἀναλῦσαι τὸ φλεγματῶδες. καὶ οὐχὶ πῆξαι διὰ τῶν ξηραινόντων, ὥσπερ οἱ τὸ πέπερι καὶ τὸ ὕσσωπον ἐπιτάττοντες ποιοῦσι διὰ τὸ δοκεῖν λεπτύνειν. δεῖ δὲ προσέχειν ἀκριβῶς τὸν τῇ διαίτῃ τῇ ὑγραινούσῃ κεχρημένον, ἵνα ὅταν ἴδῃ τοὺς χυμοὺς ἀναλυθέντας ὑπὸ τῆς ὑγραινούσης διαίτης, εὐθὺς ἐπὶ τὸ κενῶσαι καὶ ἐκκῦσαι αὐτοὺς ὁρμήσῃ, ἐπιδοὺς φάρμακον μηδὲν ἔχον θερμὸν πάνυ. ἔστι δὲ πολλὰ τοιαῦτα, καὶ τὰ δι' ὀξυμέλιτος ἁπλουστέρως σκευαζόμενα, καὶ διὰ τοῦ χυλοῦ τῶν ῥόδων, καὶ ὀλίγου ἀγαρικοῦ, καὶ δακρυδίου. * πῶς οὖν δεῖ συντόμως ὑποκαθαίρειν ὅτε μάλιστα θεάσῃ τοὺς χυμοὺς ἤδη διαχεομένους, καὶ ἤδη λοιπὸν ὀργῶντας, ὡς φησιν ὁ θειότατος ἱπποκράτης.

Πῶς δεῖ γνωρίζειν τοὺς χεομένους, καὶ ἀναλυομένους, καὶ ἤδη ὀργῶντας χυμούς.

Γνωριεῖς δὲ τῆς ὑποκειμένης ὕλης ἀναλυομένης ὑπὸ τῆς εὐκράτου ἢ ὑγραινούσης διαίτης, ἐκ τοῦ πρότερον ἀκίνητον οὖσαν τρόπον τινά, νῦν ἄρχεσθαι κινεῖσθαι, καὶ ἄλλοτε εἰς ἄλλον μεταβαίνειν τόπον· ὅτε μὲν εἰς τὸ στόμα τῆς γαστρός, καὶ τὰ ἔντερα, ἔσθ' ὅτε δὲ καὶ εἰς τὰ ἄρθρα, ἢ περὶ τὸ δέρμα. τὸν ἐπιστήμονα οὖν ἐπισκέπτεσθαι ὀξέως δεῖ τὴν κίνησιν ταύτην τῶν χυμῶν, καὶ διδόναι τι τῶν εἰρημένων ὑπηλάτων, πρὸ τοῦ φθάσαι τοὺς χυμοὺς βλάβην πλανωμένους ἐργάσασθαι, εἰς ἕν τι κατασκήψαντας τῶν ἐπικαίρων μορίων. ἀλλὰ τούτων οὐδὲν ἴσασιν οἱ πολλοὶ τῶν ἰατρῶν, ἅτε μὴ διαγινώσκειν σπουδάζοντες τὰς κινήσεις τῶν χυμῶν, ὅθεν τὰ ἐναντία πράττουσιν. ἐπειδὰν οὖν θεάσωνται ταῦτα, εὐθὺς ὁρμῶνται ἐπὶ τὰ ξηραίνειν καὶ παχύνειν τοὺς χυμοὺς δυνάμενα· καὶ στεγνὰ μὲν φάρμακα τοιαῦτα, οἱ δὲ δίαιταν ἐπιτάττουσι. συμβαίνει οὖν ἐκ τούτου παχυνθέντας τοὺς χυμούς, μηδὲ τοῖς καθαίρουσιν εὐχερῶς ὑπείκειν φαρμάκοις. δεῖ οὖν ἐγνωκότας τοὺς χυμοὺς ἀναλυθέντας, μὴ μόνον ἅπαξ διδόναι τὰ ὑπάγειν δυνάμενα, ἀλλὰ καὶ πάλιν τῇ ὑγραινούσῃ διαίτῃ χρησάμενον, καὶ ἀναλύσαντα εἴ τι ξηρὸν καὶ παχὺ ὑπολέλειπται, αὖθις ὑποκαθαίρειν χρή. οὕτω γὰρ τῶν χυμῶν ὑποκλεπτομένων, ἐξαρκέσει καὶ ἡ δίαιτα μόνη τελέως ἐκνικῆσαι τὸ νόσημα, καὶ μεταβάλλειν καὶ μετακομίζειν ἐπὶ τὸ χρηστόν, ὡς μὴ δεηθῆναι φαρμακείας τινὸς ἄλλης· εἰ δὲ καὶ δεήσει, ἐπιθέμασι κεχρῆσθαι τοῖς ἁπλουστέροις. καὶ ἐπιρρήμασι δὲ κεχρῆσθαι, καὶ πέψεως ἀρχομένης φαίνεσθαι, καὶ πρὸ πολλοῦ τοῦ προσδοκωμένου παροξυσμοῦ. οὕτω γὰρ ἔσται καὶ δραστικωτέρα, καὶ ὡς ἐπίπαν λύουσα τοὺς προσδοκωμένους παροξυσμούς. τοῖς δὲ καθαρτηρίοις κεχρῆσθαι δεῖ. καὶ διὰ τὸ εὐχερῶς εὑρίσκειν καὶ συντόμως, καλὸν ἐνόμισα καὶ τὴν σύνθεσιν αὐτῶν ὧδε παραθέσθαι.

θέσθαι. ἔχει δὲ οὕτω. Ροδόμελι καθαρτικόν. Ῥόδων χυλοῦ ξέσται β', μέλιτος ξέστης α', σκαμμωνίας ὀπῆς οὐγγία α', ἕψε ὁμοῦ τὰ πάντα. ἡ δόσις ἡ τελεία κοχλιάρια η', ἡ μέση γ', ἡ ἐλάττων β'. τοῦτο οὐ μόνον τοῖς τριταΐζουσιν ἐπιδιδόναι δεῖ, ἀλλὰ καὶ ὀφθαλμιῶσι, καὶ ἄλλως πως ἀσθενοῦσι διὰ χολὴν, ἢ θερμὴν δυσκρασίαν. Ἄλλο ῥοδόμελι καθαρτικόν. Ῥόδων χυλοῦ ξέστης α', σκαμμωνίας οὐγγία α', ἀγαρικοῦ < α', πεπέρεως < β', μέλιτος οὐγγίαι ς'. ἕψε ἐπὶ μαλθακῷ πυρὶ, καὶ ὅταν συστραφῇ, ἐπίβαλε τὴν σκαμμωνίαν, τό, τε ἀγαρικὸν καὶ πέπερι, καὶ χρῶ. ἡ δόσις, κοχλιάρια ε' ἢ ς'. μόνοις τοῦτο ἁρμόζει τοῖς νόθον ἔχουσι τριταῖον. ἔχει γάρ τι καὶ φλέγματος ἐπακτικόν, ἐπειδὴ προσείληφε τὸ ἀγαρικὸν καὶ τὸ πέπερι. οἶδα δὲ καθάρας καὶ τοὺς ἔχοντας τὸν φλοιὸν τοῦ κιτρίου, καὶ τοὺς διὰ τῶν κυδωνίων μήλων. καὶ τούτων μὴ παρόντων, αὐτῇ μόνῃ χρησάμενος τῇ σκαμμωνίᾳ. ὅτι γὰρ καὶ αὐτὴ οὐ μόνον χολὴν, ἀλλὰ καὶ φλέγμα μᾶλλον κενοῖ, δῆλον εἴ τις εὐκράτῳ καὶ ὑγροτέρᾳ διαίτῃ χρησάμενος διαχέει τὸ φλέγμα, κενώσει καὶ τοῦτο διὰ τῆς σκαμμωνίας, καὶ οὐ μὴ δεηθήσεται τῶν ἐχόντων ἀγαρικοῦ ἢ κολοκυνθίδος. ὥστε καὶ τὸν νόθον εἴ τις ὀρθῶς διαιτήσας ἐθελήσει καθαίρειν τῇ σκαμμωνίᾳ, οὐχ ἁμάρτοι. Ταῦτα καὶ περὶ τριταίου ἡμῖν εἰρήσθω συντόμως. οἴδαμεν γὰρ ὅτι καὶ τοῖς παλαιοῖς εἴρηται περὶ τούτων, καὶ μηδεὶς διὰ τοῦτο μέμψεται. ἃ γὰρ ὅσα καὶ ἡμῖν δέδωκεν ὁ χρόνος καὶ ἡ μακρὰ πεῖρα γνῶναι, ταῦτα δίκαιον ἐνόμισα τοῖς αἰτήσασιν ἡμᾶς φίλοις καὶ ἰατροῖς ἐκθέσθαι, ὀλίγα μὲν ὄντα, μεγάλην δὲ δύναμιν περιέχοντα. αἱ γὰρ εἰρημέναι μέθοδοι οὐκ ἐπὶ τριταίων μόνων, ἀλλὰ καὶ ἐπὶ ἄλλων πολλῶν νοσημάτων ἁρμόσαι δύνανται.

Περὶ ἀμφημερινοῦ. ζ'

Ὅτι τὴν γένεσιν ὁ ἀμφημερινὸς πυρετὸς ἀπὸ φλέγματος ἔχει, πᾶσιν ὡμολόγηται. καὶ γὰρ οὔτε οἱ πυρετοὶ φαίνονται τούτοις ὄντες ὀξεῖς, οὔτε διψώδεις σφόδρα, οὔτε διακαές τι καὶ ξηρὸν ἔχουσι κατὰ τὴν ἁφὴν εὐθὺς ἁπτομένοις, ἀλλὰ μᾶλλον τοῖς χρονίζουσιν ἀναδιδομένη φαίνεται ἐκ τοῦ βάθους καπνώδης θερμασία. καὶ οἱ σφυγμοὶ δὲ ὡς ἐπὶ τὸ πολὺ μικροὶ καὶ ἀραιοὶ, καὶ ἡ ἀνάβασις οὐ ταχεῖα, πολὺν δὲ χρόνον μᾶλλον κατέχουσα. καὶ οἱ ἱδρῶτες δὲ οἱ γινόμενοι αὐτοῖς καθαρὸν οὐδέποτε φανεροῦσι διάλειμμα, οἷον ἐστι πολλάκις ἰδεῖν ἐπὶ τριταίου φαινόμενον, ἢ τεταρταίου. Σαφέστερον δέ σοι καὶ κατάδηλον ἔσται τὸ εἶδος τοῦ πυρετοῦ καὶ ἐκ τῶν προηγησαμένων ἔτι μᾶλλον, εἰ μὴ παρέργως, ἀλλὰ μετὰ πολλῆς ἀκριβείας ἐπιζητῆσαι καὶ ἐξετάσαι σπουδάσεις ἅπαντα. καὶ γὰρ ἀπεψίαι ὡς ἐπὶ τὸ πολὺ, καὶ ἀδηφαγίαι, καὶ λουτρῶν ἀμέτρων χρήσεις, καὶ ἥπατος δὲ ἔσθ' ὅτε καὶ στομάχου προηγεῖται κατάψυξις. τούτοις οὖν προσέχειν καὶ καταμανθάνειν ἀκριβῶς δεῖ τὸν τὸ εἶδος τοῦ πυρετοῦ γινώσκειν ἐθέλοντα. ποτὲ μὲν γὰρ πάντα τὰ σημεῖα ἅμα πάρεισι, ποτὲ δὲ οὔ. ἐπὶ μὲν γὰρ τῶν γνησίων ἅπαντα σχεδὸν εὑρίσκεται· ἐπὶ δὲ τῶν νόθων, οὐ πάντα· ἀλλά τινα μὲν αὐτῶν πάρεισι, τινὰ δὲ οὐκ ἀεὶ διὰ τὰς * τότε. καὶ πλείστη τις ἐν αὐτοῖς εὑρίσκεται ἡ διαφορὰ καὶ κατὰ τὴν θεραπείαν, καὶ κατὰ τὸ εἶδος. ἡ μὲν οὖν διάγνωσις οὕτω γινέσθω. εἴρηται δὲ καὶ τῷ θειοτάτῳ Γαληνῷ ἐπὶ πλέον, καὶ Ῥούφῳ, καὶ πολλοῖς τῶν ἄλλων παλαιῶν. λοιπὸν δὲ καὶ περὶ τῆς θεραπείας σκοπήσωμεν. ἔχει γάρ τινα ζήτησιν ὁ εἰρημένος περὶ τῆς θεραπείας τρόπος, μήποτε ἄρα οὐκ ἐπὶ πάντων ἐστὶν ἀληθής.

Περὶ θεραπείας. Ὅτι μὲν ὁ ἀμφημερινὸς πυρετὸς ἅτε δὴ ὑπὸ φλέγματος ἔχων

τὸ εἶναι), τῶν λεπτυνόντων καὶ τεμνόντων ἔχει χρείαν, ἀληθές ἐστιν. εἰ γὰρ παχὺ καὶ γλίσχρον, δεηθήσεται τῶν λεπτυνόντων. διττὴ δέ τις οὖσα θεωρεῖται ἡ διαφορά. τὰ μὲν γὰρ ἔχει τὸ τέμνειν, μετὰ τοῦ δύνασθαι πολὺ θερμαίνειν· τινὰ δὲ τέμνειν μὲν, οὐ θερμαίνειν δὲ πολύ· τινὰ δ᾽ οὐ θερμαίνειν ὅλως. ποίοις οὖν ἐπὶ τοῦ νοσήματος τούτου κεχρῆσθαι δεῖ, ἆρά γε τοῖς θερμαίνειν δυναμένοις, ἢ τοῖς ἄνευ τοῦ θερμαίνειν; φαίνεται γὰρ ὁ θειότατος Γαληνὸς ἐπιτάττων ἀπροσδιορίστως τῷ φιλοσόφῳ Γλαύκωνι, τοῖς λεπτύνουσι κεχρῆσθαι. ἐχρῆν δ᾽ οἶμαι μεγίστης οὔσης τῆς διαφορᾶς, διαιρέσει χρήσασθαι καὶ προσδιορισμῷ, ποίοις ἐπὶ ποίῳ δεῖ κεχρῆσθαι. οὔτε γὰρ μίαν ἔχει τὴν ἰδέαν τούτου τὸ φλέγμα, ἐξ οὗ ἀνάπτεται ὁ πυρετός. τὸ μὲν γάρ ἐστιν ἁλμυρὸν, τὸ δὲ ὀξῶδες, τὸ δὲ ὑελῶδες, ἑκάτερον δὲ ψυχρὸν καὶ παχύ· καὶ διὰ τοῦτο σφηνωθῆναι ἐποίησε τὸν πυρετόν. εἰκότως ἄρα καὶ τῶν λεπτυνόντων δεῖται πρὸς θεραπείαν. τὸ δ᾽ ἁλμυρὸν οὐχ ὁμοίως, εἴγε καὶ θερμότης καὶ ξηρότης τοῦτ᾽ αὐτῷ παρέχειν. ὅτι δὲ καὶ θερμόν ἐστι, δηλοῖ τὸ δάκνειν αὐτὸ καὶ ζέειν τὸ ἔντερον, καὶ τὰς κακίστας ἐργάζεσθαι δυσεντερίας, καὶ οὐδὲν ἔλαττον τῆς χολῆς, ἅτε δὴ καὶ τὴν ποιότητα ταύτης ἀναδεδεγμένον. οἵ τε γὰρ χυμοὶ οὐ δρῶσι κατὰ τὴν ὕλην αὐτῶν, ἀλλὰ καὶ τὰς ἐν αὐτοῖς ὑποκειμένας ποιότητας. αὗται γάρ εἰσιν αἱ μαχόμεναι, καὶ δρῶσαι πρὸς ἑαυτάς. καὶ τὸ φλέγμα δὲ τὸ ἁλμυρὸν εἰ καὶ φαίνεται ὑγρὸν, δῆλον ὅτι δυνάμει ξηρόν ἐστιν, ὥσπερ καὶ τὸ θαλάττιον ὕδωρ. καὶ ἄλλα δὲ πολλά εἰσι τῇ μὲν φαντασίᾳ ὑγρά, τῇ δὲ δυνάμει ξηρά. ὅτι δὲ οὐ δυνατόν ἐστι τὸ ἁλμυρὸν φλέγμα διὰ τῶν φλεγμαινόντων αὐτὸ καὶ ξηραινόντων λεπτυνθῆναί ποτε καὶ διαχυθῆναι, ἀλλ᾽ ἔτι καὶ μᾶλλον ἐπιπαχυνθῆναι, δηλοῦσι τοῦτο σαφῶς καὶ νίτρον, καὶ ἅλες, καὶ ἁλμυροὶ ζωμοί. καὶ γὰρ θερμαινόμενοι οὗτοί γε παχύτεροι γίνονται. δέδεικται γὰρ τοῦτο Ἀριστοτέλει, καὶ αὐτῇ τῇ πείρᾳ, ὅτι τὰ φθάσαντα ὑπὸ θερμότητος παγῆναι, οὐκ ἀπὸ θερμότητος, ἀλλ᾽ ὑπὸ τοῦ ἐναντίου διαλύεσθαι πέφυκε. ταῦτα οὖν δεῖ σκοπεῖν καὶ ἐπὶ τῶν ἐν σώματι χυμῶν. καὶ εἴπερ εἰσὶν ἁλμυροὶ, μὴ τὰ θερμαίνοντα προσφέρειν, ἢ τὰ ξηραίνοντα πολὺ ἱκανῶς, ἢ λεπτύνειν δυνάμενα, ἅπερ ποιοῦσι πολλοὶ ἐπ᾽ αὐτῶν, ῥαφανίδα αὐτοῖς διδόντες, καὶ πέπερι, τάριχόν τε καὶ κάππαριν, καὶ τὰ σφόδρα λεπτύνοντα τῶν ἀποζεμάτων, καὶ τῶν ἀντιδότων, ὅσαι πρὸς αὐτὰ προσφέρονται· ἅπερ ἔδει γε μᾶλλον τοῖς ὑπὸ ψυχροῦ καὶ ὀξώδους χυμοῦ τὴν γένεσιν ἐσχηκόσιν ἀμφημερινοῖς ἐπιτάττειν. καὶ γὰρ ὠφελοῦνται ὑπὸ τῶν τοιούτων. ἐγὼ γοῦν οἶδα πολλάκις ἐπιδεδωκὼς ἐπὶ τῶν ὑπὸ τοῦ ψυχροῦ καὶ ὑγροῦ φλέγματος καὶ ὀξώδους ἀναπτομένου ἀμφημερινοῦ, ἅπαντα ταῦτα· ἐφ᾽ ὧν δὲ ἁλμυρόν ἐστιν, ἢ χολῶδές τι ἀναμέμικται, ἐπὶ τούτων ὡς ἐπὶ τὸ πολὺ τῶν λεπτυνόντων προσενεγκόντι, καὶ μάλιστα εἴπερ καὶ ἡ κρᾶσις τοῦ πάσχοντος θερμοτέρα. ἔτι δὲ μᾶλλον οὐδὲ κατ᾽ ἀρχὰς τὰ τοιαῦτα δεῖ προσφέρειν, ἐπικρατοῦντος ἔτι τοῦ ἁλμυροῦ χυμοῦ, καὶ δυσκράτου ὄντος τοῦ σώματος. εἰ δ᾽ ἄρα καὶ δεήσει τινὶ τῶν τοιούτων χρήσασθαι, χάριν τοῦ τὸν κάμνοντα ἐπιθυμεῖν, ἢ διὰ τὸ ἀνακαλέσασθαι τὴν ὄρεξιν, εὐκράτῳ δεῖ κεχρῆσθαι πρότερον διαίτῃ· καὶ ἐπειδὰν ἄρξηται πέττεσθαι, τηνικαῦτα τῷ κάμνοντι συγχωρεῖσθαι λαμβάνειν τῶν ἠρέμα λεπτύνειν καὶ θερμαίνειν δυναμένων ἐδεσμάτων τε καὶ * πομάτων, οἷον, σελίνου κεφαλάς, καὶ πρασῶν, καὶ ὀλίγου πεπέρεως, καὶ οἴνου ὀλίγου, καὶ λευκοῦ, καὶ τούτων μὴ πολλάκις. ἡ γὰρ ἐπὶ πλεῖον χρῆσις βλαβερά· ἀλλὰ σπουδάζειν εἰς πέψιν ἔρχεσθαι τῶν χυμῶν, καὶ μὴ ἐᾶν χρονίζειν,

νίζειν, ἀλλὰ καθαίρειν. ἐμμένοντες γὰρ ἔτι μᾶλλον παχύνονται ὑπὸ τῶν θερμαινόντων ἁπάντων καὶ λεπτύνειν δοκούντων βοηθημάτων, ὥστε μηκέτι μηδὲ τοῖς καθαίρειν δυναμένοις φαρμάκοις εὐχερῶς εἴκειν φθάσαι, δυσκινήτους αὖθις καὶ γεωδεστέρους ὑπ᾽ αὐτῶν γενομένους. γνοίης δὲ ταύτην ἐπιτηδείαν οὖσαν πρὸς κάθαρσιν. καὶ πολλάκις γὰρ ὑπὸ τῆς προλαβούσης διαίτης, καὶ τῆς εὐκράτου πόσεως, τρέπεται τὰ σημεῖα τῶν οὔρων, καὶ τότε τοῖς μὴ εἰδόσιν ἄπεπτα εἶναι νομίζεσθαι τὰ τοιαῦτα τῶν οὔρων ἔνεστιν ἰδεῖν. ἀλλ᾽ ἐπειδὴ συμβαίνει πολλάκις εἰς ὅλον τὸ σῶμα διαχεῖσθαι τὴν ὕλην, καὶ ἄλλοτε ἄλλως, ἢ δι᾽ ἱδρώτων, ἢ ἐμέτων, ἢ διὰ γαστρὸς διαφορεῖσθαι, διὰ τοῦτο καὶ ἀνυπόστατα φαίνεται τοῖς πολλοῖς τὰ οὖρα. βέλτιον οὖν ἐστι κατανοεῖν καὶ διαγινώσκειν πότε μᾶλλον ἄρχεται λεπτύνεσθαι ἡ ὕλη, καὶ διαχεῖσθαι, καὶ ὀργᾶν, καὶ εἰς τόπον ἐκ τόπου μεταβαίνειν, καὶ οὕτω καθαίρειν, μὴ προσέχοντας μόνοις τοῖς οὔροις. δεῖ δὲ μηδ᾽ ἀθρόαν ποιεῖσθαι τὴν κάθαρσιν, ἀλλὰ κατὰ μέρος, καὶ ἐκ διαλειμμάτων. οὕτω γὰρ ἁρμόζεσθαι δεῖ τοῖς νοσήμασι τοῖς ἀπὸ παχυτέρων ἔχουσι χυμῶν τὴν γένεσιν, καὶ ἠρέμα λεπτύνειν τε καὶ ὑποκαθαίρειν, ἕως ἂν ἀρκούντως ἔχειν δοκοίη, τὸ πολὺ τῆς ὕλης. ἐκκαθαίρειν γὰρ ἐπιπλέον φάρμακον λαμβάνειν, δυσκρασίαν πολλὴν ἐμποιεῖ τῷ σώματι, καὶ βλάβην μᾶλλον ἢ ὠφέλειαν ἐργάζεται, καὶ ἔτι μᾶλλον ἐπὶ τῶν ἐχόντων θερμοτέραν καὶ χολωδεστέραν τὴν κρᾶσιν.

Πότε δεῖ κεχρῆσθαι τοῖς ἁλμυροῖς ἐπὶ τῶν ἀμφημερινῶν. Τοῖς δὲ ἔχουσι κατεψυγμένον τὸ ἧπαρ, ἢ τὸ στόμα τῆς γαστρός, καὶ ὀξῶδες ἐμοῦσι φλέγμα, καὶ νοσοῦσιν ἀμφημερινόν, τούτοις καὶ ἐδέσμασι θερμοτέροις εἰ θελήσειας χρήσασθαι, οὐδὲν ἄτοπον. ἀνέχεται γὰρ ὑγρὸς καὶ ψυχρὸς ὁ στόμαχος ἁπάντων ἀβλαβῶς τῶν λεπτυνόντων. ἐθάρρησα γοῦν ἐγώ ποτε καθ᾽ ἑκάστην ἡμέραν, ἐπὶ * προοξυνομένου καὶ ἐμοῦντος φλέγμα, ἁλμυροῖς χρήσασθαι, οἷον τῇ τε καλουμένῃ ἐξαλμηρᾷ, καὶ ὑδρογάρῳ, καὶ πράσοις ἀπὸ ζέματος, καὶ οἴνῳ ὑδατώδει. καὶ θαυμαστῶς ὅπως ἂν ὑγίανε, προνοησαμένων καὶ τοῦ στόματος τῆς γαστρὸς διὰ τῶν ἔξωθεν ἀλειμμάτων τε καὶ ἐπιθεμάτων, καὶ τῆς τοῦ ὅλου σώματος εὐκρασίας. καὶ ἀκόλουθον μὲν ταῦτα ποιεῖν ἐπὶ τῶν ἀμφημερινῶν, καὶ προσέχειν τῇ ποιότητι καὶ ποσότητι τοῦ φλέγματος, καὶ οὕτω τὴν ἁρμόζουσαν ἑκάστῳ δίαιταν ὁρίζειν. ὥσπερ γὰρ οὐκ ἔστιν ἓν εἶδος τοῦ φλέγματος, οὕτως οὐδὲ τὴν δίαιταν εἶναι δεῖ μίαν, ἀλλὰ πρὸς ἕκαστον εἶδος ἁρμόζουσαν. καὶ ἐπὶ πάσης δὲ φαρμακείας τὸ αὐτὸ δεῖ ποιεῖν, καὶ τὸ κατάλληλον ἐπὶ ἑκάστου ζητεῖν. πρὸς δὲ τὸ εὐχερῶς εὑρίσκειν τὸν ζητοῦντα, καὶ μὴ ἀλλαχόθεν ἀναλέγεσθαι καὶ τῶν ἀντιδότων καὶ τῶν καθάρσεων, ἐξεθέμην ἐνταῦθα τὰς διαφοράς, μετὰ τοῦ καὶ προσδιορίσασθαι ποίοις ἐπὶ ποίων δεῖ κεχρῆσθαι μᾶλλον.

Περὶ ἐμβροχῶν καὶ καταπλασμάτων. Ταῖς δ᾽ ἐπιβροχαῖς καὶ καταπλάσμασιν οὐ δεῖ σπουδάζειν εὐθὺς κατ᾽ ἀρχὰς κεχρῆσθαι, οὐδὲ πλήθους ἐν ὅλῳ τῷ σώματι πελαζομένου. δέος γάρ ἐστι μὴ διαθερμαινομένων τῶν σπλάγχνων καὶ χαυνουμένων, σύρροιά τις ἐπὶ τὰ πεπονθότα γένηται, καὶ πρὸς τῷ μηδὲν ὠφελῆσαι, μᾶλλον καὶ βλάψωμεν, ἐπαυξήσαντες τὰ φλεγμαίνοντα· ὅπερ καὶ πράττουσιν οἱ πρὶν ἀπέριττον ἐργάσασθαι τὸ ὅλον, καταπλάσμασιν ἢ καταιονήσεσι τολμῶντες κεχρῆσθαι. ἔγωγε οὖν οἶδα καὶ μὴ οὔσας φλεγμονὰς ἐπιγινομένας ἐπὶ τῇ προπετεῖ χρήσει αὐτῶν. ὅπως οὖν μὴ γένοιτο βλάβη, σπουδάζειν χρή, τοῦ πλήθους ἤδη μειωθέντος, καίπερ καὶ πέψεώς τινος ἐν τοῖς οὔροις ἀρξαμένης ἐπιφαίνε-

θαι, τοῖς σπλάγχνοις ἐπιβάλλειν, ἐὰν ᾖ χρεία, τὰ θερμαίνειν ἢ χαλᾶν δυνάμενα. σπούδαζε δὲ τὰς μόνας χαλώσας φεύγειν, καὶ τὰς ἀποκρούειν δυναμένας τῶν ἐπιβροχῶν, ἢ καταπλασμάτων, ἀλλὰ μικτὴν αὐτῶν ποιεῖσθαι τὴν σκευασίαν. καὶ εἰ μὲν ἀσθενέστερα καὶ ῥευματιζόμενα φαίνοιτο τὰ σπλάγχνα, καὶ ἀνόρεκτος ὁ πάσχων, τῶν στυφόντων καὶ ῥωννυόντων ἐπιτείνειν χρὴ τὴν δύναμιν. εἰ δὲ φλεγμαίνοντα καὶ ὀδυνώμενα, τὰ χαλῶντα μᾶλλον. καὶ ἁπλῶς πρὸς τὸ κατεπεῖγον καὶ ἐπιτείνειν καὶ ἀνιέναι δεῖ θατέρου τὴν δύναμιν. Περὶ ἐμβροχῆς στομάχου ἀσθενοῦντος, καὶ μετρίως φλεγμαίνοντος. Εἰς οἴνου μέρη ε΄ μίγνυε ὀμφακίου μέρη δ΄, καὶ χαμαιμήλου μέρη β΄, καὶ μαστίχης βραχύ. εἰ δὲ φλεγμονὴ ζέουσα φαίνοιτο, εἰ καὶ γλεύκινον ἢ νάρδινον προσπλέξεις, οὐδὲν βλάψεις, ἀλλὰ καὶ ὠφελήσεις τὰ μέγιστα. εἰ δὲ φαίνοιτο τὸ στόμα τῆς γαστρὸς οὐκ ἀσθενὲς ἔχων, ἢ ἀνορεκτῶν, ἀντὶ οἴνου, ἕψημα προσπλεκέτω τῇ ἐπιβροχῇ, καὶ μυροβάλανον, καὶ τῆλιν ποίει προσαφεψεῖσθαι εἰς τὸ ἀφέψημα. οὕτω δὲ καὶ ἐπὶ τῶν καταπλασμάτων δεῖ προσέχειν, μικτὴν ἐπ᾽ αὐτῶν γίνεσθαι τὴν θεραπείαν. καὶ ὅπου μὲν ἀνήθινον ἢ κύπρινον ἀεὶ προσπλέκων τῷ καταπλάσματι, ἢ νάρδον· εἰ δὲ ὀξίδος ἢ ψύξεως αἰσθάνεται εἰς τὸν στόμαχον, καὶ εἰς τὸ ζέμα ἐν ᾧ ἕψονται, καὶ νάρδου κελτικῆς προσπλέκειν καὶ ἀψινθίας, καὶ ἀνήθου δεῖ σὺν αὐτοῖς. ἀλμυρὸν δ᾽ ἐμούντων χυμόν, θερμῶν ὄντων τὴν κρᾶσιν, καὶ μόνον τὸ χαμαιμήλινον ἀεὶ προσπλέκειν ἔλαιον, καὶ μαστίχης ἐπιπάσσειν βραχύ. ὁ δὲ καιρὸς τῶν καταπλασμάτων γινέσθω περὶ μιᾶς ὥρας τῆς ἐπισημασίας, ἐκτὸς πλείστης πυρείας, καὶ μηδὲ χρονιζέτω ἐπικείμενα. χρονίζειν γὰρ πάντα, εἴτε ἐπιβροχὴ, εἴτε καταπλάσματα εἴη, εἰ καὶ τὰ μάλιστα ἐξ ἀπλύτων αὐτά τις κατασκευάσαι δυνηθείη τὸν τόνον ἐντιθέναι δυναμένων φαρμάκων, ἀλλὰ τῷ ἐπικεῖσθαι αὐτὰ πλείονα χρόνον, ἔκλυσιν καὶ ἀσθένειαν τῆς δυνάμεως ἀπεργάζονται. τοσοῦτον περὶ ἐπιβροχῶν καὶ καταπλασμάτων ἡμῖν εἰρήσθω. εἰ γάρ τι καὶ τῶν κατὰ μέρος παραλέλειπται, τούτῳ τις τῷ λόγῳ ἐξευρίσκειν δυνήσεται, ἐπιβλέπων εἰς ἄπλυτα, καὶ καταστοχαζόμενος τὸ συμφέρον. Περὶ καθαρσίου. Μετὰ δὲ τὸ λεπτυνθῆναι τὴν ὕλην καὶ διαχυθῆναι, περιέχων αὐτῷ ὀξύμελι, καὶ τῶν ἄλλων ὅσα λεπτύνειν οἶδεν ἐν ταῖς τροφαῖς, καὶ ἀποζέμασι, καὶ καταπλάσμασι, τηνικαῦτα λοιπὸν ἐπὶ τὸ καθαίρειν αὐτοὺς ἔρχου. σφόδρα γὰρ ὠφελοῦνται ὑπὸ τῶν κενώσεων· δεῖ δὲ μὴ ἀθρόως αὐτοὺς καθαίρειν, ἀλλὰ κατὰ μέρος, καὶ ἀπλουστέροις, εἶτα λοιπὸν τοῖς ἐπὶ πλέον ἰσχυροτέροις. παχεῖα γὰρ οὖσα ἡ ὕλη οὐκ εὐχερῶς εἴκει τοῖς ἀθρόαν καὶ ταχεῖαν ποιοῦσι τὴν κένωσιν. ἀγαρικοῦ γοῦν δίδου γρ. γ΄ ἢ δ΄ μετὰ μέλιτος. ποτὲ δὲ καὶ πλέον ἢ ἔλασσον, ἀποβλέπων πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, καὶ πρὸς τὸ ποσὸν τοῦ πλεονάζοντος χυμοῦ. ἄγει γὰρ φλέγμα, καὶ οὐκ ἐᾷ χρονίζειν τὸ νόσημα. Ἄλλο. Καὶ ὁ κνίδιος κόκκος μετὰ πέψιν διδόμενος, χρονίοις ἀμφημερινοῖς ἰάσατο, καὶ καταπότια, οἷς συνήθως ἐγὼ ἀεὶ καὶ ἐπὶ τεταρταίων καὶ ἄλλων παθῶν χρῶμαι, καλῶς ποιοῦσιν ἐν ἑσπέρᾳ διδόμενα. ἔχεις δ᾽ αὐτῶν καὶ ἐν ἄλλοις ἐγκειμένην τὴν γραφὴν ἔχουσαν οὕτως, ἀλόης γο α΄, κολοκυνθίδος γο δ΄, σκαμμωνίας γο α΄, εὐφορβίου γο S΄΄, ἑλλεβόρου φλοιοῦ μέλανος γο α΄, βδελλίου γο α΄, κόμμεως γο α΄, νίτρου ἀλεξανδρινοῦ γο S΄΄, ἐν ἄλλῳ γο α΄ S΄΄. χυλῷ κράμβης ἀναλάμβανε, καὶ δίδου ἐξ αὐτῶν κοχλιάρια δ΄ ἢ ς΄, μηδὲν ὑφορώμενος ἢ στρόφον, ἢ ὑπερκάθαρσιν. πάνυ ἀλύπως κενοῦσιν οὐ μόνον φλέγμα, ἀλλὰ καὶ με-

καὶ μελαγχολικὸν χυμόν· διὸ καὶ τεταρταϊκὰς ἀπαλλάττουσι περιόδους. δίδου δὲ τοῖς κόκκους τούτους ἐφ' ὧν ἀπεψίαι πολλαί, καὶ ἀδδηφαγίαι, καὶ ἀργὸς βίος προηγήσατο, καὶ ἡ κρᾶσις φλεγματικωτέρα, καὶ οὐδὲν ἔχουσα ξηρὸν ἢ δριμύ. ἐπὶ γὰρ τῶν τοιούτων ἀβλαβῶς δίδοται, καὶ σφόδρα ὠφελοῦνται οἱ λαμβάνοντες. Ἄλλο ἄλυπον ἁλάτιον σφόδρα καλόν. Ζιγγιβέρεως, πετροσελίνου μακεδονικοῦ, θύμου, σιλφίου, κυμίνου, σελίνου σπέρματος, λιβυστικοῦ ἀνὰ Γο δ', σκαμμωνίας Γο γ' S'', ἁλῶν κοινῶν πεφρυγμένων Γο η'. Ἄλλο ὡς ἡ γραφὴ τῶν παλαιῶν, κάλλιον. * Ζιγγιβέρεως Γο S'', πετροσελίνου μακεδονικοῦ, ἐπιθύμου, σιλφίου, σελίνου σπέρματος, ἄμμεως, κυμίνου, λιβυστικοῦ, πεπέρεως ἀνὰ < β', ἁλῶν πεφρυγμένων Γο β' S'', σκαμμωνίας Γο α' S'', γρ ς' δίδου ἐν τοῖς διαλείμμασιν ἑσπέρας, ὡς ἂν βούλωνται. μαλάξαι δὲ θέλων τὴν γαστέρα, δίδου κοχλιάριον α'· εἰ δὲ καὶ πλέον ἐργάσασθαι, δύο. * καθαίρει δὲ ἐπὶ ἀνδρῶν, καὶ παιδίοις, καὶ γυναιξὶν ἐγκυμονούσαις ἐπὶ τὸν δ' ἢ ζ', καὶ καθόλου ὅτε μηνῶν γ' ἢ δ' κενώσας, οὕτως εἰσὶν ἀλυπώτατοι καὶ ἀκίνδυνοι. δυνατὸν μὲν γὰρ καὶ μετὰ ἄρτου δεδόσθαι, καὶ ἐν ὀξυκράτῳ, καὶ ἐν λαχάνοις. ἀλλ' ὅμως κάλλιόν ἐστιν ἐπὶ τῶν περιοδικῶν νοσημάτων μετὰ χυλοῦ πτισάνης ἡμᾶς αὐτὸ ποιεῖν δίδοσθαι. τοσαῦτα καὶ περὶ καθαρσίων εἰρήσθω.

Περὶ ἀντιδότων πρὸς ἀμφημερινούς.

Στύρακος καλαμίτου, ἴρεως ἰλλυρικῆς, σμύρνης ἀνὰ < δ', ὀποπάνακος, πεπέρεως, χαλβάνης, ὀπίου ἀνὰ < α'· ταῦτα τρίψας, ἕνωσον πάντα, συμμίσγων αὐτοῖς μέλιτος τὸ ἀρκοῦν, καὶ δίδου κυάμου αἰγυπτίου τὸ μέγεθος πρὸ τῆς ἐπισημασίας, ἀνακεκλιμένῳ ἐν τῇ κλίνῃ, καὶ συγκεχρισμένῳ μετὰ ἐλαίου, καὶ πεπέρεως κόκκων ι'. παρακείσθωσαν δὲ ἄνθρακες. τοῦτο ὕπνον ποιεῖ καὶ ἱδρῶτας· καὶ κουφίζειν πάνυ ποιεῖ, καὶ μάλιστα ἐπὶ τῶν ἐχόντων καὶ ὠμότητα πολλήν. Ἄλλο. Ἀγαρικοῦ, γεντιανῆς ἀνὰ < α', δίδου μετὰ μελικράτου πρὸ τῆς ἐπισημασίας. τοῦτο λεπτύνει μετρίως, καὶ ἐκφράττει, καὶ διὰ γαστρός, καὶ δι' οὔρων τὴν ὕλην συμμέτρως κενοῖ.

Ἄλλο. Τὸ ζέμα τῆς χαμαίδρυος δίδου πίνειν τοῖς ἔχουσιν ἀμφημερινὸν πυρετόν, ἤτοι περίοδον, ἀλλ' οὖρα πολλὰ καὶ κουφίζει. δίδου δὲ ἐπὶ τῶν μὴ πάνυ πυρεσσόντων, μηδ' ἐφ' ὧν ἡ κρᾶσις θερμὴ καὶ ξηρά. Ἀντίδοτος πρὸς ἀμφημερινούς· ποιεῖ καὶ πρὸς τεταρταίους. Ὀπίου, ὀποπάνακος, καστορίου, δαύκου σπέρματος ἀνὰ < δ', λεῖα ποιείσθωσαν, προσμίγε μέλιτος ὀλίγον, * ἀνδρῶν ἐν ὁλκῇ, ὀβολοὺς γ', παιδίοις δὲ β'. χρῶ ὡς παραδόξως διδοὺς μετὰ οἰνομέλιτος πρὸ ὥρας τῆς ἐπισημασίας, καὶ μάλιστα ἐφ' ὧν μὴ ἔστιν ἁλμυρὸν τὸ φλέγμα, μηδὲ πάνυ θερμὴ καὶ ξηρὰ ἡ κρᾶσις.

Περὶ ἀλοιφῆς. Ἀλοιφῇ δὲ χρηστέον, ἀποβλέποντας πρὸς τὸ μέγεθος τῆς φρίκης καὶ τοῦ πυρετοῦ, καὶ τοῦ κάμνοντος τὴν δύναμιν. εἰ μὲν γὰρ τῆς περιψύξεως γινομένης πολλῆς καὶ φρίκης, ὁ πυρετὸς μὴ φαίνοιτό σοι πάνυ σφοδρός, μήτε ἡ δύναμις ἀσθενής, ἀλλ' ἐρρωμένη, μᾶλλον κέχρησο τοῖς ἰσχυροῖς ἀλείμμασιν, εἰς τὸ θερμῆναι καὶ μετασυγκρῖναι καὶ λεπτῦναι δυναμένοις τὴν ἐπιφάνειαν. εἰ δὲ τοὐναντίον μήτε ἡ δύναμις ἰσχυρὰ φαίνοιτο, μήτε περίψυξις πολλή, οἵ τε πυρετοὶ σφοδροὶ γινόμενοι, τηνικαῦτα τοῖς μετρίως λεπτύνουσι καὶ ἀραιοῦσι τὴν ἐπιφάνειαν δεῖ κεχρῆσθαι. εἴπωμεν οὖν περὶ διαφορᾶς ἀλειμμάτων, τοῦτο αὐτὸ προσδιοριζόμενοι, ποῖα μὲν ἰσχυρότερα, ποῖα δὲ ἀσθενέστερα. Ἄλειμμα ἰσχυρόν. Πύρεθρον, καὶ

πέπερι, καὶ νίτρον ἐξ ἴσου, καὶ γλήχωνα ὀλίγον ἑνώσας, καὶ μετὰ ἐλαίου συλλεάνας, ἄλειφε τὰ ἄκρα καὶ τὴν ῥάχιν. εἰ δὲ καὶ περὶ αὐτὴν αἰσθάνεται ψύξεως, θαυμαστόν ἐστι τὸ ἄλειμμα, καὶ πάνυ ποιοῦν τοῖς σφόδρα κατεψυγμένοις, καὶ χρονίσασιν ἐν τῇ νόσῳ.

Ἄλλο μέτριον. Πεπέρεως κόκκοι γ', καὶ λιβανωτοῦ χόνδρου, λεάνας ἅμα ἐλαίῳ, σύγχριε. Ἄλλο. Νίτρον μετὰ ἐλαίου λεάνας, ἀνάτριβε τὰ ἄκρα τοῦ νοσοῦντος, καὶ ἐν λουτρῷ, καὶ ἐκτὸς λουτροῦ. καὶ τὴν ῥάχιν κέλευσον ἀνατρίβεσθαι. κινεῖ γὰρ ἱδρῶτας, καὶ ὠφελεῖ. Ἄλλο σφόδρα καλὸν, καὶ πολλὴν πεῖραν δεδωκὸς πολλοῖς. Ἀρτεμισίας κροκοδειλιάδος, στέατος κροκοδείλου ποταμίου ἀνὰ ℥ ς', ἐλαίου ξε α'. ἑψήσας ἐκ τοῦ ἐλαίου, ἄλειφε τὸν κάμνοντα πρὸ τῆς ἐπισημασίας, καὶ μάλιστα τὴν ῥάχιν, καὶ θαυμάσεις τὴν δύναμιν. καλὸν δέ ἐστι καὶ εὐῶδές τι περιπλέκειν, διὰ τὸ ἔχειν τὸ δύσοσμον τὸ ἄλειμμα τὸ ἀντιπαθείᾳ τινὶ δρᾶν. Ἄλλο ἐφ' ὧν σφοδροὶ φαίνονται οἱ πυρετοὶ, καὶ ἡ περίψυξις μέτριος. Λαβὼν τὸν ἀφρὸν τῶν ἀποβρασμάτων τῶν λεβήτων τῶν ἐν τοῖς βαλανείοις, περίπλεξον αὐτῷ ἐλαίῳ ἄχρι γλοιώδους συστάσεως, καὶ χρίε πρὸ τῆς λήψεως. τὸ αὐτὸ φυσικῶς ποιεῖ. Φυσικὰ περίαπτα.

Ὁ ἀετίτης λίθος ποιεῖ μὲν καὶ πρὸς ἄλλα πλεῖστα· καὶ πρὸς περιοδικὰ δὲ ῥίγη, καὶ μάλιστα πρὸς ἀμφημερινοὺς περιαπτόμενος. Ἄλλο περίαπτον, οὗ πολλὴν ἔσχον πεῖραν. Εἰς φύλλον ἐλαίας μετὰ κοινοῦ μέλανος ἐπίγραψον, κα. ροι. α. λάμβανε δὲ καὶ τὸ φύλλον τῆς ἐλαίας πρὸ ἡλίου ἀνατολῆς, καὶ περίαπτε περὶ τὸν τράχηλον.

Ἄλλο φυσικὸν πρὸς ἀμφημερινούς. Τὸ ζωΰφιον τὸ καθεζόμενον καὶ ὑφαῖνον ἐπὶ τὸ θηρᾶν τὰς μυίας, καλῶς ποιεῖ δεσμούμενον ῥάκει, καὶ περιαπτόμενον ἀριστερῷ βραχίονι.

η' Περὶ τεταρταίου.

Ὁ τεταρταῖος πυρετὸς οὐκ ἔχει μίαν ἰδέαν, ἀλλὰ ποικίλην καὶ διάφορον. ὁ μὲν γὰρ ἐξ ὑπεροπλήσεως τῆς ξανθῆς χολῆς ἔχει τὴν γένεσιν· ὁ δὲ ἀπὸ τοῦ τρυγώδους αἵματος. οὐ μόνον δὲ κατὰ τὴν ὕλην ἀλλήλων διαφέρουσιν, ἀλλὰ καὶ τὸν τόπον ἐν ᾧ συνίστανται. ὁ μὲν γὰρ ἐν τοῖς ἀγγείοις, ὁ δὲ ἐν τῷ σπληνὶ μᾶλλον. ἐπεὶ οὖν ἔχει τὸ εἶδος διάφορον, καὶ τὸν τῆς θεραπείας τρόπον εἶναι χρὴ διάφορον, καὶ οὐχ ἕνα, καθάπερ οἱ πολλοὶ νομίζουσιν. ὁ μὲν γὰρ ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ γινόμενος, εἰκότως ὑπὸ τῶν θερμαινόντων καὶ ὑγραινόντων ὠφελεῖται· ὁ δ' ἐξ ὑπεροπλήσεως, ὑπὸ τῶν ὑγραινόντων τε καὶ ψυχόντων, οἷον, πεπόνων, σταφυλῆς, ὀστρέων, ἰχθύων, καὶ ὕδατος, καὶ ἁπλῶς ὑπὸ τῆς εὐκράτου καὶ εὐψύχου ἀναγωγῆς, καὶ λουτρῶν χλιαρῶν. ἐμοὶ γοῦν ἐπῆλθε θαυμάσαι πολλάκις, πῶς ὁ θειότατος Γαληνὸς ἐπὶ πάντων οὐκ ἄλλην τινὰ δίαιταν ἐπιτάττων φαίνεται, εἰ μὴ τὴν θερμαίνειν αὐτοὺς καὶ ξηραίνειν δυναμένην. δίδωσι γὰρ αὐτοῖς τὴν διὰ τριῶν πεπέρεων, καὶ τὸν διοσπολίτην, καὶ ὀπὸν κυρηναϊκὸν, καὶ τὴν θηριακὴν, καὶ ἐν τροφῇ, τόν τε τάριχον, καὶ τὸ πέπερι. τοῦτο δὲ μάλιστα καθ' ἑκάστην ἡμέραν πίνειν ἐπέτρεψε· καὶ καθόλου φείδεσθαι παρακελεύεται τῶν ψυχόντων καὶ ὑγραινόντων, διὰ τὸ ψυχρὸν, φησὶν, εἶναι τὸν ποιοῦντα τὸ πάθος χυμόν. ἀλλ' εἰ μὲν τῶν θερμαινόντων ἐχρῄζεν ὁ μελαγχολικὸς χυμὸς, οὐ δεῖται ἐξ ἀνάγκης καὶ τῶν ξηραινόντων, εἴπερ γέ ἐστι ψυχρὸς καὶ ξηρός. τῶν θερμαινόντων γὰρ δεηθήσεται καὶ τῶν ὑγραινόντων. ἀλλ' οὐ φαίνεται καὶ τῶν ὑγραινόντων τι ὅλως ἐπιτάττειν ἐθέλων, ἀλλὰ τοὐναντίον ἅπαντα τὰ ξη-

ραίνοντα

ραίνοντα καὶ ὑπεροπλῶντα, καὶ παχύτερον μᾶλλον ἐργαζόμενα τὸν χυμόν. τὰ γὰρ δοκοῦντα μᾶλλον λεπτύνειν, ἐπειδὴ ὑπάρχει καὶ θερμότερα πρὸς ὀλίγον μέσως δοκεῖ λεπτύνειν, ὕστερον γεωδεστέρους καὶ πολλῷ τοῦ πρὶν παχυτέρους ἐργάζεται, ἐξικμάζοντα καὶ ἀναλίσκοντα τὸ ἐπ' αὐτοῖς ὑγρόν, ὥστε διὰ τοῦτο βραδύνειν τὴν φύσιν ἐκπέττειν τὰ περιττά. ἐμάθομεν γὰρ ὅτι θερμῷ καὶ ὑγρῷ καὶ αἱ πέψεις, καὶ πᾶσα ζωογονία γίνεται. καὶ ἔστιν ἰδεῖν οὕτω καὶ ἐπὶ τῶν ἐκτός· ὑπό τε γὰρ ὄμβρων καὶ τῆς τοῦ ἡλίου θερμασίας οἵ τε καρποὶ καὶ ἕκαστον τῶν φυτῶν ζωογονοῦνται. καὶ ἄλλως δὲ πάντα τὰ παρὰ φύσιν τῶν ἐναντίων χρήζει πρὸς τὴν θεραπείαν· τὰ δὲ κατὰ φύσιν, μᾶλλον τῶν ὁμοίων. ἰατροῦ γοῦν τοῦτό ἐστιν ἀρίστου ἔργον, τὸ θερμὸν μὲν ψύξαι, τὸ δὲ ξηρὸν ὑγρᾶναι· τὸ δὲ ψυχρὸν θερμᾶναι, καὶ τὸ ὑγρὸν ξηρᾶναι· καὶ ἁπλῶς εἰπεῖν, τὰ ὄντα πάθη νικῆσαι τοῖς ἐναντίοις χρώμενον, καὶ πάντα τὰ δέοντα περιποιῆσαι, καὶ πάσῃ τέχνῃ, καὶ παντὶ λόγῳ σῶσαι τὸν κάμνοντα, καθάπερ ἐν πολέμῳ πολιορκούμενον. εἴποτε οὖν καὶ ξηροτέρᾳ τύχῃ διαίτῃ χρήσασθαι τὸν κάμνοντα, ἢ καὶ δι' ἐπιθυμίαν, ἢ καὶ διὰ τὸ χρήζειν οὕτω τὸν κάμνοντα ξηραινόντων φαρμάκων ἢ σιτίων, οἷον, ὑδρογάρῳ, ἢ κονδίτῳ, ἤ τινι τοιούτῳ φαρμάκῳ, συμβουλεύω καὶ τότε ἅπαξ ἢ δὶς τοῦτο ποιήσαντα, καὶ μετρίως ὑποθερμαίνοντα τὸ σῶμα, πάλιν εὐθὺς ἐπὶ τὴν ἐξ ἀρχῆς ἐπανέρχεσθαι δίαιταν, τὴν ὑγραίνειν ἠρέμα καὶ θερμαίνειν δυναμένην. οὕτω γὰρ οὔτε ἡ τῶν θερμαινόντων προσφορὰ βλάψαι τι μέγα δυνήσεται, καὶ προσέτι μᾶλλον ὑπὸ τῶν ὑγραινόντων εὔλυτος γενηθήσεται, δυσκίνητος ὢν φύσει καὶ ξηρότερος, ὥστε αὐτὸν ἀνεθέντα μετὰ τὸ διαλυθῆναι, καὶ τρόπον τινὰ πρὸς ἔκκρισιν ἐπειγόμενον, εὐμαρῶς ὑπὸ τῶν κενούντων φαρμάκων, ἀλύπως αὐτὸν δυνηθῆναι κατὰ μέρος ὑποκλαπῆναι. καὶ γὰρ οὕτω δεῖ ποιεῖν ἐπὶ τῶν παχυτέρων καὶ ξηροτέρων χυμῶν, ὑγραίνειν τε αὐτοὺς καὶ ἀναλύειν, καὶ μὴ ἐᾶν χρονίζειν, ἀναλυθῆναι φθάσαντας, ἀλλὰ θέλειν εὐθὺς ὁρμᾶν ἐπὶ κάθαρσιν, καὶ εἴπερ ἔτι χρήζει, πάλιν ὑγραίνοντας καὶ λουτροῖς, καὶ διαίτῃ, οὕτως ὑποκαθαίρειν.

Περὶ τοῦ διὰ τὴν ὑπερόπλησιν τῆς ξανθῆς χολῆς κινουμένου τεταρταίου.

Εἰ δὲ ὁ τεταρταῖος μὴ φαίνοιτό σοι κινούμενος ὑπὸ τοῦ ξηροῦ καὶ ψυχροῦ χυμοῦ, ἀλλὰ μᾶλλον ὑπὸ χολώδους καὶ ὑπεροπλωμένου, τότε μᾶλλον τοῖς ψύχειν δυναμένοις κεχρῆσθαι δεῖ, εἴ γε φαίνοιτό σοι καὶ ὁ κάμνων ὑπάρχων τῇ φύσει θερμὸς ἅμα καὶ ξηρός, καὶ ἀκμάζων τὴν ἡλικίαν, καὶ ψυχροπότης, καὶ ἡ ὥρα δὲ ἡ θερινή. ποτὲ δὲ καὶ φροντίδες, ἀγρυπνίαι τε καὶ λύπαι, καὶ θυμοί, καὶ φαρμάκων δριμέων προσφοραὶ προηγήσαντο. ταῦτα γὰρ ἅπαντα χολώδη καὶ ἐξ ὑπεροπλήσεως οἶδε γεννᾶν τεταρταῖον. ἐπὶ τούτων οὖν οὐχ ἁμαρτήσεις πόμασι καὶ ἐδέσμασι κεχρημένος ψυχροῖς, οἷον, πέπποσιν, εἰ ὁ καιρὸς ἔχει, καὶ ῥοδακίνοις, καὶ ἰντύβοις, καὶ θριδακίνῃ, καὶ πάντα γε ποιῶν ἁπλῶς, ὅσα γε ποιήσειεν ἄν τις ἐπὶ γνησίου τεταρταίου. ἀδύνατον γὰρ ἄλλως νικηθῆναι τὸν ὑπὸ θερμότητος καὶ ξηρότητος παχυνθέντα χυμόν, εἰ μή τινα τῶν ἐμψυχόντων καὶ ὑγραινόντων παραλάβῃς· ὥσπερ γε καὶ τὰ ὑπὸ ψύξεως παχυνθέντα, διὰ τῶν θερμαινόντων. ταῦτα οὖν, ὡς εἰρήκαμεν, ἅπαντα τὰ θερμαίνοντα εἰ καὶ δοκοῦσι λεπτύνειν, ἀλλ' οὖν ἐπιπαχύνουσιν. ἐπὶ τούτων οὖν ταῦτα οὐ δεῖ προσφέρειν. ἐπιπαχύνουσι γὰρ μᾶλλον ἢ λεπτύνουσι τὸν τοιοῦτον χυμόν, καὶ μάλιστα ὅσα σφοδρότερον θερμαίνειν καὶ παχύνειν ἐπαγγέλλεται. οὐ δεῖ οὖν οὔτε καταπλάσμασιν ἢ ἐπιβροχαῖς

ἐπὶ τεταρταίων σπουδάζειν κεχρῆσθαι. ἀρκέσει γὰρ καὶ μόνη ἡ διὰ τοῦ πλείονος καὶ ὑδρελαίου ἄλειψις συνεχῶς γινομένη ἐπὶ λουτρῷ, καὶ τροφαὶ εὔκρατοι ἐπικεράσαι καὶ πραΰναι τὸ θερμόν, καὶ εἴ τι σκληρόν ἐστιν ἐν ἥπατι, καὶ τοῦτο χαλάσαι. εἰ δεήσει δέ, καὶ μᾶλλον αὐτῷ μόνῳ δεῖ χρήσασθαι, ἢ καὶ χαμαιμήλου * ἑψήματι, ἐν ᾧ ἡψήθη καὶ κόμη ἀψινθίου, καὶ φοίνικες λιπαροί, καὶ μελίλωτα. οἶδα δὲ καὶ ἐπιχρίσμασι πολλάκις χρησάμενος ἐπὶ τεταρταίου, κηρωτῇ πάνυ εὐκράτῳ, καθάπερ ἐπὶ τριταίου περὶ τὸν παροξυσμοῦ, διὰ κριθίνου ἀλεύρου, καὶ λινοσπέρμου, καὶ ζέματος χαμαιμήλου, καὶ μεγάλως ὠφέλησα, ὥστε μηκέτι παροξυνθῆναι τὸν κάμνοντα. μάλιστα δὲ καὶ ὑπὸ τοῦ δι' ὑπερόπτησιν τῆς χολῆς κινουμένου τεταρταίου, καὶ ἐπὶ * παιδίων θερμοτέρων τὴν κρᾶσιν εὐδοκιμοῦντα φαίνεται τὰ τοιαῦτα, ἐφ' ὧν ἐν τῷ ὑποχονδρίῳ φλεγμονή τις ἐνοχλεῖ. εἰ δὲ καὶ ἐπὶ τοῦ ψυχροῦ τεταρταίου· οὕτω γὰρ δεῖ καλεῖν τὸν ἐκ ψυχροῦ καὶ ξηροῦ μελαγχολικοῦ χυμοῦ κινούμενον τεταρταῖον, χρήσεταί τις ἐπιρρήματι, καὶ θερμοτέρῳ περὶ τὸν τοῦ παροξυσμοῦ, καὶ τοῦτον ὠφελήσει τὰ μέγιστα· ὥστε καὶ παύσασθαι ταχέως, καὶ δυσχερῶς εἰ συνέβη παροξυνθῆναι τὸν κάμνοντα. κάλλιον δὲ εἰ καὶ προκεκενωμένου ὅλου τοῦ σώματος, χρήσεταί τις ἐπιρρήματι, καὶ παντὶ ἄλλῳ βοηθήματι μερικῷ. ὅσοι γὰρ ἔτι ῥυπαροῦ ὄντος τοῦ ὅλου σώματος, ἢ καταπλάττειν, ἢ διαβρέχειν ὁρμῶσιν, οὗτοι μεγίστων κακῶν αἴτιοι γίνονται. καθαίρειν δὲ δεῖ τοὺς ἐπὶ χολῇ κατοπτηθείσῃ συνισταμένους τεταρταίους, περιυγραίνοντας πλείονι τροφῇ καὶ ἀναπαύσει. τοὺς δ' ἐπὶ μελαγχολικῷ χυμῷ, ὑγραίνειν μὲν αὐτοὺς δεῖ· ξηρὸς γὰρ ὁ χυμὸς διὰ τὸ γεῶδες αὐτοῦ καὶ ψυχρόν· καὶ θερμαίνειν, καὶ λεπτύνειν αὐτὸν δεῖ. τὴν δὲ κάθαρσιν δεῖ ποιεῖσθαι καὶ ἐν ταῖς ἀρχαῖς, ἀλλὰ πέψεως ἀρχομένης ἤδη. οὕτω δὲ καὶ εἰ αἵματος κενώσεως νομίσεις δεῖσθαι τὸν κάμνοντα, ὡς τοῦ μελαγχολικοῦ χυμοῦ αἱ *

ὄντος μὴ ἐν ταῖς ἀκμαῖς. ὅτε καὶ ὁ χυμὸς   κρίνεσθαι. τότε γὰρ συνε-
πέφθη   διαπνοίας. τότε γὰρ κουφιζομένη ἡ φύσις,   περιγίνεται τῆς
ὑπολειπομένης ὕλης.   φανεῖ σοι πέψις ἐν τοῖς οὔροις, τοῦτο παρατίθει καθαρτήριον, γλυκὺ ἀλύπως καθαίρειν δυνάμενον, καὶ ὑπεροπτηθέντας χυμούς, τὸ διὰ τοῦ ῥοδομέλιτος σκευαζόμενον. ἔχει δὲ οὕτω. **Καθάρσιον τὸ διὰ ῥοδομήλου.**

Χυλοῦ ῥόδων ξε β', μέλιτος ξε α', σκαμμωνίας ὀπῆς ℥ α', ἕψε ὁμοῦ πάντα. ἡ δόσις ἡ τελεία, κοχλιάρια β', ἢ ἔλαττον. εἰ δὲ μὴ πάνυ φαίνοιτό σοι ὁ χολώδης θερμὸς ὤν, καὶ ξηρός, ἀλλὰ παχύτερος ὑπὸ φλεγματικοῦ χυμοῦ νοθευόμενος, ὀλίγον ἀγαρικὸν περιπλέκειν δεῖ τῷ προειρημένῳ ῥοδομέλιτι· καὶ οὕτως ὑποκαθαίρειν καὶ τοῦτον. πρὸς δὲ τὸ ἑτοίμως συντιθέναι καὶ σκευάζειν, ὑπογράψω σοι καὶ τούτου τὴν ἔκθεσιν ἔχουσαν οὕτω, ῥόδων χυλοῦ λί α', σκαμμωνίας ℥ α', ἀγαρικοῦ ℥ δ', πεπέρεως κε β', μέλιτος ℥ ς'. ἕψε μαλθακῷ πυρί, καὶ ὅταν συστραφῇ, ἐπίβαλε τὴν σκαμμωνίαν καὶ τὸ πέπερι, καὶ χρῶ. πάνυ γὰρ ἀλύπως κενοῖ, μετὰ τοῦ μὴ θερμαίνειν πολύ.

Καθάρσιον τὸ διὰ τῶν κυδωνίων μήλων. Λαβὼν μῆλα κυδώνια η', πλήρωσον αὐτὰ σκαμμωνίας· ἔστω δὲ τὸ πλῆθος τῆς σκαμμωνίας ℥ α'· καὶ περίπλασον αὐτὰ στυπίῳ ἔξωθεν, καὶ οὕτω δὸς ὀπτηθῆναι. καὶ μετὰ τὸ καλῶς ὀπτηθῆναι, ἐπίβαλε τὸ μέλι, καλῶς λειώσας, καὶ χρῶ πρὸς τὴν δύναμιν τῶν ὑπὸ χολῆς κινουμένων τεταρταίων, καὶ ἐπὶ τῶν μὴ δυναμένων φέρειν γενναῖον καθάρσιον, καὶ ἐπὶ παίδων μᾶλλον καὶ γυναικῶν. ἔστι γὰρ ἀλυπότατον. εἰ δὲ βούλει καὶ αὐτὸ δραστικώτερον ποιῆσαι,

εἰς πυ-

σκευαζέσθω, σκαμμωνίας γο α΄, πετροσελίνου μακεδονικοῦ γο α΄, πεπέρεως λευκοῦ γο α΄, ἀγαρικοῦ γο S΄, χυλοῦ κυδωνίων γο ς΄, χυλοῦ κιτρίων γο γ΄, μέλιτος λί α΄. ἡ δόσις γο α΄, ἕψε τὸν χυλὸν μετὰ τοῦ μέλιτος· καὶ οὕτως * ἐπίπαττε τὰ ξηρὰ λεῖα, καὶ ἀπόθου εἰς πυξίδα θαρρῶν. ἔστι γὰρ πολύχρηστον τὸ βοήθημα. οὐ μόνον γὰρ χολήν, ἀλλὰ καὶ φλέγμα καὶ μελαγχολικὸν χυμὸν ὑποκαθαίρειν καλῶς δύναται. διὰ τοῦτο οὖν καὶ τοῖς νόθοις παρέχειν δεῖ τεταρταίοις. καὶ ἐπ᾽ ἐκείνων δὲ μᾶλλον, ἐφ᾽ ὧν καὶ ὁ στόμαχος πέπονθε, καὶ οὔτε πέττειν καλῶς, οὔτε ὀρέγεσθαι δύναται. καὶ πρὸς τοὺς ἔχοντας ἀμφημερινούς, οὕτω ποικίλως πρὸς ἅπαντα κατασκευάσαι χρήσιμον.

Περὶ ἐμέτου.

Ἔμετος δὲ ὠφελιμώτατος ἅπασι, καὶ μάλιστα τοῖς ἔχουσι παχὺ ἐν τῷ στόματι τῆς γαστρός. ἀπολεπτύνει γὰρ τὸ πάχος, καὶ πέττεσθαι παρασκευάζει, καὶ διαπνεῖσθαι ταχύτερον. κάλλιστος δὲ καιρός ἐστι πρὸς ἔμετον, ἀρχομένου τοῦ παροξυσμοῦ, ἐπειδὴ καὶ τότε ναυτιώδεις οἱ χυμοὶ γίγνονται, κινουμένης τῆς ὕλης, καὶ συρρεόντων τῶν χυμῶν ἐν τῷ στομάχῳ, καὶ δακνόντων αὐτόν. δίδου δὲ τὸ μελίκρατον αὐτοῖς, καὶ ἔστω μὴ πάνυ ὑδαρές. οὕτω γὰρ εὐχερέστερον ὁρμῶσιν εἰς ἔκκρισιν· οἱ δὲ πάνυ γλίσχροι ὄντες καὶ δυσαπόσπαστοι δυσχεραίνουσι πρὸς ἔκκρισιν. καὶ πτεροῖς δεῖ κεχρῆσθαι, καὶ μάλιστα τοῖς χηνείοις, ἵνα διὰ τοῦ πλείονος ἐρεθισμοῦ γίνεσθαι πάντως ἔμετον συμβῇ. ἐὰν γὰρ ἀνενεχθῇ τι τῶν γλίσχρων χυμῶν, εὐθὺς καὶ ὁ παροξυσμὸς μειωθήσεται, καὶ κατὰ τὸ μῆκος ἅμα καὶ κατὰ τὸ ἔθος. ἐγὼ γὰρ οἶδα τῷ τρόπῳ τούτῳ λύσας χρονίους τεταρταίους, ὥστε τινὰς αὐτῶν * κρατοῦντος ἤδη τοῦ χείρονος ἀποπαύσασθαι. Περὶ διουρητικῶν. Καὶ διουρητικοῖς δὲ χρηστέον ἐπ᾽ ἐκείνων δηλονότι τῶν ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ κινουμένων, καὶ ἐφ᾽ ὧν ὁ στόμαχος γλίσχρους περιέχει χυμούς, ἢ σπληνός ἐστιν ἔμφραξις πολλή. ἀρίστη δέ ἐστιν ἐνταῦθα καὶ ἡ ἑκατηρὰ λεγομένη, καὶ * ἡ κατὰ τὰ Ἀλεξανδρέων βουείδια καὶ μαινομένια καὶ μεμβείδια ἐστί. δεῖ δὲ τῶν προσφερομένων τι τούτων ἄχρι τινὸς προσκαρτερῆσαι τῇ δίψῃ, καὶ μὴ προσενέγκασθαι πίνειν ἐθέλειν, ὥστε δυνηθῆναι δρᾶσαί τι, καὶ τὴν ἑαυτῶν ἐνέργειαν ἐνθεῖναι τῷ σώματι· εἶτα μετὰ τὸ διαλιπεῖν ὡς μὴ δύνασθαι καρτερεῖν τῇ δίψῃ, τηνικαῦτα διδόναι προσήκει πίνειν ἀσκαλῶνος οἴνου, ἢ γαζίτου κεκραμένου ὅσον ἡδέως ἔχει. ἐγὼ γοῦν οἶδά τινα τῶν τεταρταϊζόντων διὰ τὸν γεώδη καὶ ψυχρὸν χυμόν, οὕτως ἀπαλλαγέντα, ταύτῃ τῇ ἀγωγῇ χρησάμενον, ἐξέκρινε καὶ διὰ γαστρὸς πρὸς τὸν πλεονάζοντα χυμόν. ἦν δὲ τὸ ἐκκριθὲν οὕτω μέλαν ἰσχυρῶς, ὥστε τινὰς ἐν φόβῳ καταστῆναι τῶν ἰατρῶν, οὐ μόνον διὰ τὴν χροιάν, ἀλλὰ καὶ διὰ τὸ πλῆθος τὸ ἐκκριθέν. ἀλλ᾽ ἡ γενομένη μετ᾽ ὀλίγον εὐφορία τῷ κάμνοντι, καὶ τὸ γενέσθαι μικρὸν τὸν ἀγῶνα, μέγιστον ὄντα περὶ τῆς κενώσεως, εὐθυμεῖν, καὶ μηδὲν ἔτι δεδιέναι πάντας παρεσκεύασεν. εἰδέναι δὲ δεῖ ὅτι τοῖς ὑγροτέροις τὴν κρᾶσιν καὶ ψυχροτέροις, καὶ εὐτραφέσι τὰς εἰρημένας δεῖ προσφέρειν τροφάς, καὶ πᾶν ὅ,τι ἂν ᾖ σμήχειν καὶ λεπτύνειν μετρίως δυνάμενον, καὶ πέψεως ἀρχομένης φαίνεσθαι. καὶ γὰρ οἱ χυμοὶ τηνικαῦτα μᾶλλον καὶ τοῖς καθαίρουσιν καὶ λεπτύνουσιν ἑτοιμοτέρως ὑπείκουσιν. ὅσοι γὰρ ἐν ταῖς ἀρχαῖς ἀπέπτου πάνυ τῆς ὕλης ὑπαρχούσης, φαρμάκοις λεπτύνουσιν ἢ καθαίρουσιν ἐχρήσαντο, οὗτοι πρὸς τῷ μὴ δυνηθῆναί τι τῶν πλεοναζόντων κενῶσαι, καὶ ξηροτέρους καὶ παχυτέρους ἐποίησαν τοὺς χυμούς. εἰ μὲν οὖν ᾖ τοιοῦτος ὁ τεταρταῖος, ὥστε αὐτὸν ὑπὸ τοῦ ψυχροῦ

καὶ γεώδεις κινεῖσθαι, οὕτω δεῖ προσάπτειν. εἰ δ' ὑπὸ τοῦ χολώδους χυμοῦ, καὶ ἐκκαέντος καὶ ἐκτεφρωθέντος γίνοιτο, πάντα τὰ ἐναντία δεῖ προσάπτειν, ὅσα ὑγραίνειν ἢ ψύχειν δύναται, λουτρά τε γλυκέων ὑδάτων προσάγειν, καὶ εὐκράτους τροφάς, καὶ ἁπλῶς εἰπεῖν, ὥσπερ ἔχουσι τὸ εἶδος διάφορον, οὕτω χρὴ καὶ τὴν δίαιταν αὐτῶν ὁρίζειν διάφορον. Περὶ ἀντιδότων. Δεδώκασι δέ τινες τῶν παλαιῶν τοῖς τεταρταΐζουσι καὶ ἀντιδότους. καὶ πολλάς ἐστιν εὑρεῖν καὶ διαφόρους ὑπ' αὐτῶν ἐκτεθείσας γραφάς. ἐξέθετο δὲ καὶ ὁ θειότατος γαληνός· ἀλλ' οὐδὲν φαίνεται προσδιορισάμενος. ὅθεν πολλοὶ πεισθέντες ταῖς ἐπαγγελίαις αὐτῶν, εἶτα μὴ ἀκριβῶς διακρίναντες δεδωκότες, αἴτιοι μεγίστης βλάβης καὶ κινδύνων ἐγένοντο. τὸ γοῦν δι' ὀποῦ τοῦ κυρηναϊκοῦ θαυμάζω πῶς εἶπεν ἁρμόζειν πᾶσι, καὶ συνεχῶς κεχρῆσθαι παρακελεύεται, καίτοιγε οὐ φαίνεται οὕτως ἔχον. οὔτε γὰρ ἄν τις ἀβλαβῶς αὐτὸ δοίη πίνειν ἀνθρώποις ἔχουσι * θερμὴν, καὶ ξηρὰν, καὶ χολώδη κρᾶσιν, καὶ ἐμπεσοῦσιν εἰς τὸν ἐξ ὑπεροπλήσεως τεταρταῖον. ἀλλὰ μὴν οὔτε τὰ διὰ τοῦ θείου ἀπύρου καὶ πεπέρεως συγκείμενα δοίη τις ἂν, οὔτε τὴν θηριακὴν ἀντίδοτον. ἅπαντα γὰρ ταῦτα τούτοις ἐστὶ πολέμια. κάλλιον οὖν ἐπὶ τούτων, εἰ ἐνδέχεται, μηδ' ἐπιδιδόναι ἀντίδοτον. ἀλλ' ἀρκεῖσθαι τῇ ἐμψυχούσῃ καὶ ἐπικιρνώσῃ μᾶλλον διαίτῃ, καὶ τοῖς ὑποκαθαίρουσι τὰ περιττὰ κεχρῆσθαι συνεχέστερον. εἰ δ' ἀναγκασθείης ἀντιδότῳ χρήσασθαί ποτε, προτίμα μᾶλλον ἐπὶ τῶν ἐξ ὑπεροπλήσεως τεταρταίων ἐκείνας ἐπιδιδόναι πίνειν, ὅσαι διά τε ὀπίου, καὶ κωνείου, καὶ ὑοσκυάμου σύγκεινται· καὶ τῶν οὖρα προτρέπειν δυναμένων, ἐκτὸς τοῦ πολὺ θερμαίνειν· καὶ ἐπ' ἐκείνων μᾶλλον, ἐφ' ὧν ἀγρυπνία καὶ δίψα παρακολουθεῖ. πολλάκις γὰρ ὕπνος ἐπιγινόμενος περὶ τοῦ παροξυσμοῦ, ἢ εἰς τὸ παντελὲς ἐπιγενέσθαι τὸν παροξυσμὸν ἐκώλυσεν, ἢ μετριώτερον αὐτὸν γενέσθαι παρεσκεύασε. πρὸς δὲ τὸ εὐχερῶς τὰς εἰρημένας ἀντιδότους εὑρίσκεσθαι, ἀναγκαῖον ἡγησάμην ἐκθέσθαι τὰς γραφάς, μάλιστά γε ἐκείνων ὧν ἔσχον πολλὴν πεῖραν· καὶ πρότερόν γε τῶν ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ κινουμένων τεταρταίων. Ἀντίδοτος ποιοῦσα πρὸς τεταρταίους ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ συνισταμένους. Καστορίου, μήκωνος, σμύρνης, πεπέρεως λευκοῦ, ὀποῦ κυρηναϊκοῦ ἀνὰ < δ'. τὸν ὀπὸν λείωσον, καὶ βρέξας ὕδατι, προσάπλεξον τοῖς λοιποῖς· καὶ ποιήσας καταπότια, δίδου περὶ ὥρας τῆς ἐπισημασίας ἐμέσαντι ἢ διαπνήσαντι, μεθ' ὕδατος. κάλλιον δὲ εἰ καὶ προσσυγχρίσαις αὐτὸν ὅλον ἐλαίῳ θερμῷ ἔχοντι νίτρον ἀναμεμιγμένον αὐτῷ. Ἄλλο ποιοῦν καὶ πρὸς ἀμφημερινούς. Ὀποπάνακος, ὀπίου, καστορίου, ὑοσκυάμου σπέρματος ἀνὰ < δ'. λεῖα ποιήσας, μίξον αὐτοῖς μέλιτος ὀλίγου, καὶ δίδου τελείοις μὲν ὁλκῆς τὸ S''. παιδίοις δὲ περὶ μιᾶς ὥρας τῆς * ψεως ὀβολοὺς β'. Ἄλλο πρὸς τεταρταῖον.

Ὀποῦ κυρηναϊκοῦ, πεπέρεως, σμύρνης, πηγάνου φύλλα ἀνὰ < δ', λείωσον· καὶ μίξας καλῶς, χρῶ περὶ τὴν ἐπισημασίας σὺν ὀξυμέλιτι. Ἀντίδοτος ἡ ἀχάριστος.

Ποιεῖ πρὸς πολλὰ τῶν ἐντὸς παθῶν, μάλιστα δὲ πρὸς τεταρταίους. κρόκου Γο α', ὀπίου Γο ζ', χαλβάνης Γο ζ', κασίας Γο γ', στύρακος Γο ζ', σμύρνης Γο δ', καστορίου Γο ζ', κόστου Γο γ', πεπέρεως Γο δ', ναρδοστάχυος Γο ζ'. μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν, δίδου κυάμου αἰγυπτίου τὸ μέγεθος, μετὰ μελικράτου, περὶ τὴν ἐπισημασίας. Ἀντίδοτος ποιοῦσα πρὸς τεταρταίους καὶ αὐτὴ θαυμαστῶς. Στύρακος καλοῦ < δ', σμύρνης < β', ὀποπάνακος < δ', ἴρεως < α' S'', πεπέρεως < ς', χαλβάνης < α', ὀποῦ

μήκω-

μήκωνος < α', πρὸ ὥρας τῆς ἐπισημασίας τοῦ παροξυσμοῦ δίδου κυάμου αἰγυπτίου τὸ μέγεθος, μετά τινι ἀναλαβών. Τροχίσκος καλὸς πάνυ ποιῶν πρὸς τεταρταίους. Ὀπίου παλαιοῦ, πηγάνου τῶν φύλλων ἀνὰ < β', κρόκου < α', ὑοσκυάμου τῶν φύλλων < β'. κόψας, σήσας καὶ λειοτριβήσας, ποίει τροχίσκους ἀνὰ γρ. β'. καὶ δίδου δι' ὀξυκράτου πρὸ δύο ὡρῶν τῆς ἐπισημασίας, πρὸς τὴν δύναμιν τοῦ πάσχοντος. Τροχίσκος ἄλλος πάνυ ποιῶν καλῶς πρὸς τεταρταίους. Πεπέρεως λευκοῦ, δαύκου σπέρματος κρητικοῦ, ἴσα κόψας, σήσας, δίδου πρὸ τῆς ἐπισημασίας ἐν ὕδατι πολλῷ θερμῷ, κοχλιάριον. τοῦτο πολλοὺς ὠφέλησε τῶν τεταρταίων ἁπλούστερον ὑπάρχον. Τροχίσκος ἄλλος κάλλιστος, βοηθῶν ὡς οὐδεὶς ἄλλος, θεραπεύων τάχιστα· ποιεῖ γὰρ ἱδρῶτας, καὶ οὕτως ἀπαλλάττει τῆς πολυχρονίου νόσου τὸν κάμνοντα.

Ὀπίου < α', πεπέρεως μακροῦ, ἐν ἄλλῳ πεπέρεως κοινοῦ, καστορίου ἀνὰ < α'. οἰνομέλιτι ἀνάπλαττε, καὶ δίδου ἀνὰ ὀβολόν, καὶ πότιζε μετ' ὀξυμέλιτος, λελουμένον καὶ μεμυκότα. τοῦτο κινεῖ πολλοὺς ἱδρῶτας, καὶ ὡς ἐπὶ τὸ πολὺ ἐν δυσὶ πόσεσιν ἢ τρισὶν ἀπαλλάσσει. αὗται πᾶσαι τῶν ἀντιδότων αἱ δυνάμεις εἰσὶν ἰσχυραί, καὶ λεπτῦναι καὶ θερμαῖναι δυνάμεναι, διὸ καὶ μᾶλλον, ὡς εἰρήκαμεν, ἁρμόζουσι τοῖς ὑπὸ μελαγχολικοῦ καὶ γεώδους χυμοῦ κινουμένοις καὶ νοθευομένοις ὑπὸ φλέγματος, μὴ συνεχῶς ἐπιδιδόναι, ἀλλ' ἐκ διαλειμμάτων πολλῶν. ἡ γὰρ ἐπὶ πλέον αὐτῶν χρῆσις ἔτι μᾶλλον ξηροτέρους καὶ παχυτέρους ἐργάζεται τοὺς χυμούς. ἀσφαλέστερον δὲ καὶ πέψεως ἤδη φανείσης, καὶ ἐρρωμένης δυνάμεως, καὶ πολλὴν ἐχόντων προθυμίαν, καὶ τῶν εἰωθότων φαρμακεύεσθαι, καὶ ἀναγκαζόντων ἡμᾶς καταφαρμακεύειν αὐτούς. εἰσὶ γάρ τινες οὐ βάρβαροι μόνον, ἀλλὰ καὶ ἄλλοι πολλοὶ δόξαν ἔχοντες ἀλόγιστον, ὥστε καὶ τέμνεσθαι καὶ καίεσθαι πρὸ πάσης αἱροῦνται φαρμακείας. καὶ τοὺς ταῦτα πράττοντας, εἰδέναι τι νομίζουσι· καὶ προτρέπονται σπουδαίως ἐν τοῖς οἴκοις αὐτῶν, καὶ κρείττους ἰατροὺς τούτους, ἢ τοὺς ἐπιτάττοντας δίαιταν νομίζουσιν. εἰ οὖν ἀναγκασθείη τις ἐξ ἡμῶν δοῦναί τι τοῖς ἔχουσι θερμὴν καὶ ξηρὰν κρᾶσιν, καὶ ἐξ ὑπεροπτήσεως τῆς ξανθῆς χολῆς τεταρταΐζουσιν, ἐξ ἐκείνων ἐπιδιδόναι τῶν ἀντιδότων, ὅσαι μὴ πάνυ δριμύ τι καὶ θερμὸν κέκτηνται, ἀλλ' ὡς ἐνδέχεται τούτων ἀπηλλαγμέναι ἔσονται· καὶ εἰ δυνατόν, τῶν ἐμψυχόντων μᾶλλον κεκτημένας, καὶ ὑπνοποιῶν, καὶ ἠρέμα λεπτύνειν δυναμένων, οἷός ἐστι καὶ ὁ Ξενοκράτου τροχίσκος, καὶ εἰς ἄλλα πολλὰ χρήσιμος, ἐξαιρέτως δὲ καὶ πρὸς τεταρταίους, καὶ τριταίους. ἔχει δ' αὐτοῦ ἡ γραφὴ οὕτω. Τροχίσκος πρὸς τοὺς δι' ὑπερόπτησιν τῆς ξανθῆς χολῆς τεταρταΐζοντας. Σπέρματος μήκωνος κηπευσίμου, ὀποῦ μήκωνος ἀνὰ γρ. β', ὑοσκυάμου λευκοῦ, χυλοῦ γλυκυρρίζης ἀνὰ γρ. ϛ', στύρακος, ἀνίσου ἀνὰ γρ. δ', κρόκου, καστορίου, φλοιοῦ μανδραγόρου ἀνὰ γρ. γ', τὰ ξηρὰ κόψας καὶ σήσας, ἀναλάμβανε τῷ χυλῷ καὶ ἑψήματι, ἢ γλεύκει παλαιῷ κρητικῷ· καὶ χρῶ θαρρῶν, καὶ ἐφ' ὧν μάλιστα ἀγρυπνία παρακολουθεῖ, καὶ ἡ γαστὴρ φέρεται, καὶ τὸ στόμα τῆς γαστρὸς ῥευματίζεται, καὶ ὀδύνη περὶ τὸ κῶλον ἐνοχλεῖ. Ἄλλο ἁπλούστερον. Τὸ ζέμα τῆς σκορπιούρου βοτάνης βοηθεῖ θαυμαστῶς, ποιεῖ σχεδὸν ἐπὶ πάντων πρὸ τῆς ἐπισημασίας πινόμενον. ὠφελεῖ γὰρ οὐ μόνον φυσικῷ λόγῳ, ἀλλὰ καὶ τῷ διὰ γαστρός, καὶ τῷ δι' ἐμέτων ὑπεξάγειν τὴν ὕλην.

Περὶ τοῦ ἀρμενιακοῦ λίθου. Γ.

Ὁ δὲ ἀρμενιακὸς λίθος καλούμενος, εἴτε πεπλυμένος εἴτε ἄπλυτος ὢν προσ-

φέροιτο, κεράτια δʹ σταθμός, θαυμαστῶς πρὸς ἅπαν εἶδος τεταρταίου ποιεῖ· κενοῖ γὰρ ὡς οὐδὲν ἄλλο τὸν μελαγχολικὸν χυμόν. ἀλλὰ πλυθεὶς μὲν ὕδατι, διὰ τῆς κάτω καθαίρει μᾶλλον· ἄπλυτος δέ, δι᾽ ἐμέτων, ἐκτὸς τοῦ θερμαίνειν, οὐχ ὥσπερ τὰ ἄλλα. εἰ δέ τινες ἀπειρῶς ἔχουσι πρὸς τὴν πόσιν τοῦ λίθου, ποίει καταπότια, προσβαλὼν αὐτῷ τὰ εἴδη ταῦτα, πικρᾶς ℈ ηʹ, ἐπιθύμου ℈ γʹ, ἀγαρικοῦ ℈ αʹ, ἀρμενιακοῦ λίθου ℈ αʹ, καρυοφύλλου κόκκους εʹ, σκαμμωνίας ℈ εʹ· ἀναλάμβανε χυλῷ κιτρίου, ἢ κοκκυμήλου, ἢ ῥοδομήλου, ἢ ῥοδομέλιτι. ἡ δόσις ℈ ϛʹ. καλὰ δὲ καὶ τὰ δι᾽ ἐπιθύμου καταπότια, ἐκτὸς τῆς σκαμμωνίας. ἔχει δὲ οὕτω, ἀψινθίου χυλοῦ < δʹ, ἐντεριώνης κολοκυνθίδος < αʹ, ἀλόης < βʹ, μαστίχης < γʹ, ἐπιθύμου < βʹ, δίδου ἐν νυκτὶ καταπότια. καλῶς ποιοῦσι καὶ πρὸς νοθευομένους, καὶ ἔχοντας φλέγμα μεμιγμένον ὀλίγον. Ἄλλη ἀντίδοτος θαυμαστὴ πρὸς πολλὰ ποιοῦσα, μάλιστα δὲ πρὸς τεταρταίους. Παύει πόνον κεφαλῆς παλαιόν, καὶ σκοτωματικὴν διάθεσιν, ἐπιληψίας παροξυσμούς, καὶ ἀγρυπνίαν κοιμίζει, καὶ μανίαν παύει, καὶ μεγάλην ὀφθαλμῶν ὀδύνην πραΰνει, καὶ ῥευματισμόν, καὶ ὀδύνην ὀδόντων παύει, δύσπνοιάν τε καὶ πᾶσαν ἄσθματος αἰτίαν παύει· βῆχα χρονίαν, καὶ περιπνευμονίαν, καὶ πλευρῖτιν ἰᾶται ξηράν τε καὶ ὑγράν, καὶ πᾶσαν τὴν ἀπὸ τοῦ πνεύμονος ὑγρασίαν παύει, πτύελα λεπτὰ πραΰνει, καὶ εὐαναγωγότερα ποιεῖ δι᾽ ὑδρομέλιτος ποθεῖσα. εἰ δὲ αἱμάτους πτύει, δι᾽ ὀξυμέλιτος, ἢ ὀξυκράτου, ἢ πολυγόνου χυλοῦ, ἢ ἀρνογλώσσου, μέτρῳ < ϛʹ, πρὸς δύναμιν τοῦ πάσχοντος, βραχύ τι προστίθει τῷ σταθμῷ, ἢ ὑπεξαίρει. στομάχου δὲ ἐστὶ βοήθημα. τόνον τε γὰρ πλαδῶντα ἀποστύφει, καὶ ἀνόρεκτον παραμυθεῖται, παύει λυγμόν, καὶ τὰς μὴ κρατουμένας τροφὰς δι᾽ ἐμέτων ἵστησι, καὶ πᾶσαν ἐμπνευμάτωσιν στομάχου τε καὶ κοιλίας δι᾽ ἐρυγῶν ἀναλύει, ἢ πάντως νυγματώδεις ὀδύνας παρηγορεῖ, καὶ ἐπὶ ἰκτερικῶν νοσημάτων ποιεῖ. εἰς γὰρ τὴν προτέραν φύσιν ἕκαστον μόριον ἀνακαλεῖται, καὶ τὴν πολυήμερον μελαγχολίαν τὴν ταραχώδη, καὶ ἀγρυπνίαν ἐπικουφίζει, ὥσπερ ὅλως ὑφαιρεῖται βάρος, καὶ τὴν τοῦ προσώπου χροιὰν ἐπανάγει, φλέγμα καὶ χολὴν δι᾽ ἐντέρων κατασπᾷ, καὶ μεμερισμένην τοῖς ἐντέροις χορηγεῖ θερμασίαν, ἀναδόσεως πόρους ἀνοίγει, οὖρα δὲ διακρίνει, καὶ οἱονεὶ νεφροὺς ἐπελαύνει, καὶ οὕτως ἐκ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν ὠθεῖ, ψαμμία τε καὶ θρόμβους ἀπὸ νεφρῶν καὶ κύστεως θεραπεύει, δυσουρίαν τε ἀναστέλλει. πάντα δὲ ἰᾶται τὰ προειρημένα πάθη ποθεῖσα. εἰλεωδῶν νοσημάτων καὶ κοιλιακῶν τοῦτο προηγούμενόν ἐστι πόμα, παλαιὰν ὑπάγει κόπρον, καὶ τὴν ἐπὶ χρόνῳ φλεγμονὴν λύει, στρόφους παρηγορεῖ, διατάσεις ἀγγείων λύει, καὶ ἠρεμεῖν ποιεῖ οὐ καρωδῶς, ἀλλ᾽ εἰς ὕπνον καθιστῶσα. τοῖς οὖν μὴ δυναμένοις διὰ στόματος λαμβάνειν, τούτοις ἔνιε διὰ γαστρὸς μετὰ τήλεως χυλοῦ, καὶ ἀνωδύνους τηρεῖ. πλεῖστον δὲ δύναται βοηθεῖν ταῖς κατὰ τὴν ὑστέραν, φασί, συμφοραῖς. ἤδη γὰρ καὶ τὰς ἐκ τοκετῶν ὀδύνας παρηγορεῖ, καὶ τὰς ὀχληροτάτας ἀγρυπνίας μειοῖ, ἔπαρσίν τε καὶ διάτασιν μήτρας μαλάσσει, νοσερὰν κάθαρσιν εἰς ἀνάληψιν ἄγει, καὶ τὰ στενόπορα τῶν ἀγγείων ἀνευρύνει· αἱμορραγίας τε τὰς ὀξυτέρας εἰς ὑστέρας οὐ μόνον πινομένη ἐπιστύφει, ἀλλὰ καὶ δι᾽ οἴνου θερμοῦ ἐγχυματιζομένη στέλλει. παρηγορεῖ δὲ καὶ ἀφωνίας, καὶ διαστροφὰς νεύρων πολιζομένη. χρώμεθα δὲ ἐπὶ ἀρθριτικῶν τε καὶ ποδαγρικῶν. ὃ δὲ βοηθεῖν πλεῖστα τοῖς κάμνουσι πεπείραται). μάλιστα δὲ καὶ ἐπὶ τῶν ἰοβόλων τὴν δύναμιν ταύτην ἐστὶν εὑρεῖν τοῦ φαρμάκου οὐ μόνον διὰ στόματος διδο-

διδο-

διδόμενον σώζειν, ἀλλὰ καὶ ἐπὶ τῶν παραλειφθέντων τόπων χριομένη αὐτὴ ὠφελεῖ. καὶ
ἐπὶ τῶν σφόδρα κινδυνευόντων, ἑκατέρως δεῖ χρῆσθαι τῇ ἀντιδότῳ. ἐπὶ μὲν οὖν
πυρετῶν, οὐ μόνον ἐπὶ τῶν καυσωδῶν, καὶ ἐπὶ τῶν συνεχῶν, λαμβανομένη δι' ὕδατος
ἢ μελικράτου, καὶ ἐπὶ τῶν συντηκτικῶν πυρετῶν, καὶ μάλιστα αὐτῆς ἡ ὑπόσχεσις.
λαμβάνεται δὲ < α΄ περὶ μιᾶς ὥρας ἢ δύο τοῦ παροξυσμοῦ: ἐπὶ δὲ τεταρταίων,
πλείω χρώμεθα τῷ φαρμάκῳ, διὰ τὸ πολυχρονιωτέραν ἀπειλεῖν, καὶ διὰ τὸ δυσ-
μετασκεύαστον. ὁ διδοὺς τὸ φάρμακον, διεβεβαιοῦτο ἀσύγκριτον αὐτὸ εἶναι. ἡ δὲ σύν-
θεσίς ἐστιν αὕτη, σμύρνης ʒ ζ΄, ναρδοστάχυος ʒ ιγ΄, κρόκου ʒ ιε΄, κασσείου ʒ δ΄,
ὀπίου ʒ ιη΄, ἀμώμου ʒ δ΄, ἀνίσου ʒ ι΄, πετροσελίνου μακεδονικοῦ ʒ ιε΄, σελίνου σπέρ-
ματος ʒ ιβ΄, σχίνου ἄνθους ʒ θ΄, κασίας αἰγυπτίας ʒ δ΄, πεπέρεως λευκοῦ ʒ δ΄,
πεπέρεως μέλανος ʒ ιε΄, σίσωνος συριακοῦ ʒ ιβ΄, στύρακος ʒ ϛ΄, σεσέλεως ʒ δ΄, ἡ-
δυχρόου μάγματος ʒ ε΄, μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. τὸν στύρακα πλα-
τύνας, μέλιτι λῦε, προεπιπάσσων τὰ ξηρά. τὸ δὲ ὄπιον βρέχε μετὰ γλυκέος ἑψή-
ματος, ἕως μελιτῶδες γένηται, καὶ οὕτως ἐπίβαλλε τοῖς λοιποῖς. Περὶ λουτροῦ. Εἰδέ-
ναι δὲ δεῖ ὅτι καὶ τοῖς λουτροῖς οὕτω δεῖ κεχρῆσθαι, πρὸς ἕκαστον εἶδος ἀποβλέπον-
τα. θερμοτέροις μὲν, ἐπὶ τῶν διὰ μελαγχολικὸν χυμὸν κινουμένων. εὐκράτοις δὲ μᾶλ-
λον, ἐπὶ τῶν δι' ὑπερόπλησιν τοῦ χολώδους χυμοῦ, καὶ γυμνασίοις ὡσαύτως καὶ ἀνα-
τρίψει ἐλάττονα ἢ ἐπὶ τῶν θερμοτέρων. Περὶ ἀλοιφῆς. Καὶ ἀλοιφῇ ὅπου μὲν
χρή, κυπρίνῳ ἢ γλευκίνῳ ἐπὶ τῶν ψυχροτέρων. χαμαιμηλίνῳ δέ, ἢ ἐλαίῳ γλυκεῖ, ἢ
ὑδρελαίῳ, ἐπὶ τῶν θερμοτέρων. καὶ ἁπλῶς πρὸς τὸ διάφορον εἶδος τούτου διαφό-
ρως γινέσθω καὶ ἡ θεραπεία. τὴν δὲ ἀνάτριψιν, εἴπερ καὶ ἄλλο, δεῖ παραλαμβά-
νειν, ὡς μέγιστον ἀγαθόν. ὅπου μὲν, πλείονα. ὅπου δὲ, ἐλάττονα. ἱκανὰ μὲν οὖν εἰσι καὶ
τὰ εἰρημένα βοηθήματα. καὶ ὁ σύμπας τῆς διαίτης τρόπος, εἴ τις ὅλως ἐπιμόνως ἐ-
θέλει χρήσασθαι, τὸν πολυχρόνιον τεταρταῖον ἰάσεται. ἐπεὶ δέ τινες ὄντες ὀλίγωροι, καὶ
φοβούμενοι τὸ χρονίζειν, καὶ παροξυσμοῖς πολλοῖς ἁλίσκεσθαι, βούλονται ἅπασι κε-
χρῆσθαι, καὶ φυσικοῖς ἅμα, καὶ περιάπτοις, ἀναγκαῖον ἐνόμισα διὰ τοὺς τοιούτους,
ἐκθέσθαι καὶ περὶ τούτων εἴ τι καὶ ἡμῖν ἐκ τοῦ μακροῦ χρόνου καὶ πείρας ἠδυνήθη
γνωσθῆναι. Περίαπτον πρὸς τεταρταίους, πολλάκις ἡμῖν πολλὴν πεῖραν δε-
δωκός. * Ὁ ἡλιοκάνθαρος θεραπεύει τεταρταΐζοντας. δεῖ δὲ λαβόντας αὐτὸν ζῶν-
τα περιάψαι περὶ τὸν τράχηλον, ἔσωθεν πυρροῦ ῥάκους ἀσφαλισαμένους. λέγουσι
δ' αὐτὸ τοῦτο ποιεῖν περιαπτόμενον οὕτως. ἔστι δὲ καὶ τοῦτο ἀληθές, καὶ διὰ πολλῆς πείρας.
λαβὼν σαύραν χλωρὰν, περίαψον αὐτήν. καὶ τοὺς ὄνυχας τοῦ πάσχοντος τῶν τε χειρῶν καὶ
τῶν ποδῶν ὀλίγον περιτεμὼν ἐξ αὐτῶν, ὥσπερ εἰώθασι ποιεῖν οἱ ὀνυχιζόμενοι, δεῖ ἐν
πυρρῷ ῥάκει ἐμβαλόντα, καὶ ἀσφαλισάμενον, οὕτω περιάπτειν. * καὶ πάλιν περια-
πτόντα αὐτὴν ἀπολύειν ὅθεν καὶ τὴν ἀρχὴν ἐθηράθη. λέγουσι καὶ ἐκ τῆς γένυος τοῦ τρά-
γου εἴ τις λαβὼν τρίχας περιάψει τῷ πάσχοντι, θαυμαστῶς θεραπεύειν δύνασθαι
τεταρταῖον. ὑπὸ πάντων δὲ τῶν φυσικῶν ἰατρῶν μεμαρτύρηται διώκειν τεταρταῖον τὸ
πρῶτον ἀπὸ παρθένου ἐκκριθὲν αἷμα φυσικῶς. ὁμοίως δὲ καὶ τὸ τῆς διαφθαρείσης
ποιεῖν, εἴ τις αὐτὸ λαβὼν περιάψει τῷ πάσχοντι εἰς τὸν καρπὸν τῆς δεξιᾶς χειρὸς, ἢ
εἰς τὸν βραχίονα τῆς αὐτῆς χειρός. οἶδα δέ τινα ὃς ἐθεράπευε τεταρταῖον, τῷ τρόπῳ
τούτῳ χρώμενος. ἐδίδου γυναικὶ τικτούσῃ τὸ τοῦ κάμνοντος ἱμάτιον φορεῖν, ὅπερ ἐκεῖ-

νος ἔνδον τῶν ἄλλων ἐφόρει ἄπλυτον ὄν, καὶ ἤδη μετέχοντος διαπνοῆς· εἶτα μετὰ τὸν τοκετὸν ἀντιλαμβάνων τὸ ἱμάτιον, ἐδίδου πάλιν φορέσαι τῷ πάσχοντι. καὶ θαυμαστῶς ὅπως ἀντιπαθείᾳ τινὶ καὶ λόγῳ ἀρρήτῳ, παρενοχλῶν οὐκέτι τοῦ λοιποῦ ὁ τεταρταῖος εὑρίσκετο. Ἐκ τῶν Ἀετίου, περὶ τῶν ἐν τοῖς σπλάγχνοις ἐρυσιπελατωδῶν διαθέσεων. Γίνεταί ποτε ἐρυσιπελατώδης διάθεσις περί τινα τῶν σπλάγχνων, καυσώδη πυρετὸν καὶ ἐκτικὸν πυρετὸν ἐπιφέρουσα. καὶ εἰ μὲν περὶ τὴν γαστέρα γένηται τὸ ἐρυσίπελας, ἐκ τούτου τὸν ἀναπτόμενον πυρετὸν, λειπυρίαν ὀνομάζουσιν· εἰ δὲ περὶ τὸ ἧπαρ, τυφώδη· εἰ δὲ περὶ τὸν πνεύμονα, κρυμώδη. δεῖται δὲ ὁ τοιοῦτος πυρετὸς ψυχόντων καὶ ὑγραινόντων πρότερον ἐδεσμάτων τε καὶ πομάτων, καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων. ὅτι μὲν οὖν ὁ ἐκτικὸς πυρετὸς ἄμικτός ἐστιν ἑτέρῳ νοσήματι, βαλανείου χρῄζει, καθάπερ καὶ αἱ ἄλλαι πᾶσαι θερμότητες καὶ ξηρότητες. εἰ δὲ ἐρυσιπελατώδης εἴη διάθεσις περὶ τὰ σπλάγχνα, ἀπέχεσθαι μὲν χρὴ βαλανείου τοὐπίπαν· ψυχρῷ δὲ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοσήματος χρηστέον ἀγωνιστικῶς. οὕτω δὲ ὀνομάζειν εἰώθαμεν, ὅταν ἅπαξ τε καὶ ψυχρότατον καὶ πολὺ δοίημεν. πρὸ δὲ τῆς ἀκμῆς οὐ χρηστέον τῷ ψυχρῷ, εἰ μὴ ἀναγκασθείημεν ὑπὸ τοῦ κάμνοντος ἐν ἔθει τε ψυχροποσίας ὄντος, οὐ φέροντος δὲ τὴν δίψαν. ἔξωθεν οὖν πρότερον ἐπιτιθέναι δεῖ τὰ ψύχοντα. καὶ εἰ μηδὲν ἀνύει, τότε καὶ τὸ ποτὸν ψυχρὸν διδόναι, ἢ μᾶλλον τὰ ἐμψύχοντα τῶν ἐδεσμάτων. μάλιστα δὲ αὐτῶν ἁρμόζουσιν αἱ ὑγραὶ καὶ γλυκεῖαι θριδακίναι. πεπλύσθωσαν δὲ ἀκραιφνεῖ ψυχρῷ ὕδατι, κάλλιστα μὲν οὕτω ληφθεῖσαι. δεηθέντες δέ ποτε παραμυθήσασθαι τὴν ἀηδίαν τῆς προσφορᾶς αὐτῶν, ὄξος ὕδατι πολλῷ ψυχρῷ μίξαντες, συγχωρήσομεν ἐν τούτῳ βάπτειν. ἔστω δὲ τὸ ὄξος ἀκριβῶς ἀποκεχωρηκὸς πάσης οἰνώδους ποιότητος. ἔξωθεν δὲ καὶ αὐτὸς ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος, ἀλλὰ καὶ ἀειζώου, καὶ σέρεως, καὶ τῶν παραπλησίως ψυχόντων κάλλιστα ἡμεῖς χρώμεθα, καὶ τὰ τῶν ὀμφάκων, καὶ ῥοῶν. ἐκθλίψαντες γὰρ αὐτῶν τὸ ὑγρὸν, ἐμβάλλομεν ὅλμῳ, μετὰ ἀνδράχνης χλωρᾶς, εἶτα κόψαντες, ἐκπιέζομεν. καὶ βάλλοντες τὸ ὑγρὸν εἰς τὸ ἀγγεῖον, καὶ δήσαντες ἀκριβῶς τὸ στόμα, καθίεμεν τὸ ἀγγεῖον εἰς ὕδωρ ψυχρόν. βέλτιον δὲ εἰ καὶ χιόνι περιπλασθῇ τὸ ἀγγεῖον. ἐπὶ δὲ τῆς χρίσεως μιγνύομεν ἀλφίτῳ λεπτοτάτῳ· κἄπειτα φυράσαντες ὡς ὑγρότερον εἶναι, ἐμπάττομεν εἰς ὀθόνιον δίπτυχον. καὶ ἐπιτίθεμεν κατὰ τῶν ὑποχονδρίων, οὐκ ἐῶντες χρονίζειν, ἀλλ' ἐπειδὰν γένηται χλιαρὸν, αἴροντες μὲν τοῦτο, ἐπιτίθεμεν ἕτερον. καὶ τοῦτο διὰ παντὸς ἐκ διαδοχῆς ποιοῦντες, ἄχρις ἂν ὁ κάμνων αἴσθηται τοῦ βάθους πως ψυχομένου, καὶ ἀδιψότερος γένηται. μιγνύομεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον, ἢ ῥόδινον, ἐπειδὰν περὶ τὰ ὑποχόνδρια φλεγμονῶδες εἴη ἐρυσίπελας. καὶ ταῦτα μὲν ἱκανὰ εἰρῆσθαι περὶ τῶν πυρετῶν εἰς θεραπείαν ἡγούμεθα.



ΡΑΖΗ ΤΟΥ ΘΑΥΜΑΣΤΟΥ ΙΑΤΡΟΥ

λόγος περὶ λοιμικῆς, ἐξελληνισθεὶς ἀπὸ τῆς σύρων διαλέκτου πρὸς τὴν ἡμετέραν.

προοίμιον.



Ὅτι μὲν οὐδέν τι τῶν συνιστώντων τὴν ἰατρικὴν τέχνην παραλέλοιπε Γαληνός, θεόσεπτε καὶ ἀξιοσέβαστε αὐτοκράτορ, οὐδέ τι τῶν τῆς σωματικῆς θεραπείας τε καὶ ἐπιμελείας τὴν αὐτοῦ διάνοιαν ἐκπέφευγε, πᾶσιν οἶμαι διωμολόγηται, ὅσοι τοῖς ἐκείνου συγγράμμασί τε καὶ πονήμασιν ἐμμελῶς ἐντετυχήκασιν. οὐ μὴν ὥσπερ γε τοῖς ἄλλοις πεπόνηνται αὐτῷ αἱ πραγματεῖαι, οὕτω δὴ καὶ ἡ περὶ τῆς λοιμικῆς νόσου ἐξήπλωται διδασκαλία. ἀλλὰ μέμνηται μὲν καὶ ταύτης ἔν τισι λόγοις κατὰ πάροδον, καὶ ἐκ τοῦ παρήκοντος, ἐπεὶ μηδὲ σκοπὸν ἔθετο θεραπείαν τινὰ διδάξαι. ὥστε οὐ θαυμαστὸν εἰ μηδέν τι ἀξιόλογον ἔνιοι τῶν νῦν ἰατρῶν περὶ τὴν ταύτης ἐπιμέλειαν ἐνεδείξαντο, ἅτε μηδένα ἱκανὴν διδασκαλίαν καὶ ἀπηρτισμένην πρὸς τοῦ τῆς τέχνης καθηγητοῦ παραλαβόντες. ἐκεῖνο μέντοι οὖν θαύματος ἄξιον, ὅπως ὁ τὴν ἰατρικὴν τέχνην συγκεχυμένην οὖσαν διοργανώσας, καὶ τελειοίσας τὰ ἀόριστα, κατέλιπε πρᾶγμα τῶν ἄλλων ἁπάντων ἀναγκαιότατον. οὐδεὶς γοῦν σχεδὸν ἀνθρώπων, ὃς οὐχ ἁλωτὸς τῷ τοιούτῳ νοσήματι καθέστηκεν. ἡ δὲ αἰτία λελέξεται ἐν τῷ προσήκοντι. καὶ μέντοι καὶ μετὰ τοὺς χρόνους τοῦ Γαληνοῦ ἄνδρες ἐλλόγιμοι τῶν ἑλληνικὴν φωνὴν ἔργῳ καὶ λόγῳ διαπρέψαντες, καὶ τὸν νοῦν πρὸς τὰ ὑψηλότερα τῶν μαθημάτων μετεωρίσαντες, εἰς ἄλλα μέν τινα σπουδῆς κἀκεῖνα ἄξια * ὅτι πολλοὺς ἐξεννόχασι. ταύτης δὲ οὐδεὶς τούτων ἐμνήσθη, οὐκ οἶδα καθ' ὁπότερον, εἴτε οὐκ ἦν αὐτοῖς βούλησις, εἴτε οὐ προσῆν τῇ βουλήσει καὶ δύναμις. ἡμεῖς δὲ εἰ καὶ μηδὲν νῦν οἴκοθεν συνεισφέρομεν, ἀλλ' οὖν πειθόμενοι τῷ προστάγματί σου, τὴν παρὰ τοῦ σοφοῦ τούτου ῥαζῆ καλλίστην καὶ τελεωτάτην περὶ τῆς λοιμικῆς νόσου πραγματείαν σαρακηνικαῖς λέξεσιν ἐκτεθειμένην, εἰς τὴν ἑλληνίδα μεταμειψάμενοι φωνήν, ἀνεθήκαμεν τῷ κράτει σου, ὡς ἂν μηδὲ ταύτης ἄμοιρος ἡ θεόσοφός σου εἴη ψυχή, ψυχωφελοῦς οὔσης τῆς σπουδῆς, καὶ κοινωφελοῦς τῆς προνοίας. εἰ δὲ καὶ εὐγνώμονες καὶ δεκτέοι κριθείημεν σοὶ τῷ ἀγαθῷ δεσπότῃ καὶ βασιλεῖ, σοὶ χάρις ἂν εἴη τῷ προτρέψαντι καὶ κινήσαντι, καὶ καθ' ἑκάστην πρὸς πᾶν ἀγαθὸν ὁδηγοῦντι. ἀρξώμεθα οὖν τὴν τοῦ σοφοῦ διδασκαλίαν ἐξελληνίσαι, τὴν ἐνυπόστατον θεοῦ σοφίαν ὁδηγὸν γενέσθαι ἐπικαλούμενοι, ἀπταίστως διελθεῖν τὴν προκειμένην θεωρίαν, καὶ μὴ ἐπὶ θάτερα μετακλίνειν, ἀλλ' ὥσπερ ἐπὶ κάλων βαίνοντες, * ἀτέρμα διοδεύοντες ἔνθεν κἀκεῖθεν, ἀρρεπεῖς τε καὶ ἄτρεπτοι, μήτε λέξιν ἐπαμφοτερίζουσαν διαλαθεῖν ἡμᾶς, μήτ' αὖ νόημα ἀμφιλαφὲς καὶ ὑψιπετὲς διαδιδράσκειν. οὗτος τοίνυν ὁ θαυμαστὸς ἀνὴρ εἰς δύο ἤδη τεμὼν τὴν νόσον, εἰς ιέ τὴν ὅλην πραγματείαν ἐμερίσατο.

Τὰ ἐμπεριειληφθέντα ἑκάστῳ τῶν λόγων.

Ἐν μὲν τῷ αῳ λόγῳ, περιέταξε τὰς αἰτίας ἀφ' ὧν συνίσταται ἡ λοιμική, καὶ ὅπως σχεδὸν πάντες οἱ ἄνθρωποι ἐμπίπτουσι τῷ τοιούτῳ νοσήματι.

Ἐν δὲ τῷ βῳ, περὶ τῶν ἐπιτηδείων σωμάτων πρὸς τὴν λοιμικὴν, ἔγραψε.

Ἐν δὲ τῷ γῳ, περὶ τοῦ καιροῦ ἐν ᾧ ἐπιδημεῖ κατὰ πολύ.

Ἐν δὲ τῷ δῳ, τὰ σημεῖα τῆς εἰσβολῆς τῶν δύο εἰδῶν τῆς λοιμικῆς.

Ἐν δὲ τῷ εῳ, περὶ προφυλακῆς τῆς νόσου, πρὸ τοῦ φανῆναι τὰ σημεῖα τῆς λοιμικῆς. καὶ πῶς δεῖ ἐπέχειν ὅπως μὴ ὅλως συνίσταται, ἢ ἵνα μὴ εἰς ἀμετρείαν προήκῃ μετὰ τὸ φανῆναι τὰ σημεῖα.

Ἐν δὲ τῷ ϛῳ, περὶ θεραπείας τῆς λοιμικῆς.

Ἐν δὲ τῷ ζῳ, πῶς δεῖ ἐπικουρῆσαι τῇ φύσει εἰς τὸ ἐξῶσαι τὴν λοιμικὴν πρὸς τὴν ἐπιφάνειαν τοῦ σώματος.

Ἐν δὲ τῷ ηῳ, περὶ τῆς προνοίας τοῦ ὀφθαλμοῦ καὶ τοῦ λαιμοῦ. καὶ τῆς ἐπιμελείας τοῦ ὅλου σώματος, ὅταν φανῶσι τὰ σημεῖα τῆς λοιμικῆς.

Ἐν δὲ τῷ θῳ, εἰς τὸ ταχυπεπῆσαι τὴν λοιμικήν.

Ἐν δὲ τῷ ιῳ, εἰς τὸ ξηρᾶναι τὰ πεπεμμένα τῆς λοιμικῆς.

Ἐν δὲ τῷ ιαῳ, πῶς δεῖ καθαίρειν τὰς λεπίδας καὶ ἐσχάρας τῆς λοιμικῆς.

Ἐν δὲ τῷ ιβῳ, πῶς δεῖ ἐξαλείφειν τὰς οὐλὰς ἐκ τοῦ ὀφθαλμοῦ, καὶ τοῦ ὅλου σώματος.

Ἐν δὲ τῷ ιγῳ, περὶ διαίτης καὶ τροφῆς τῶν ἑαλωκότων τῇ λοιμικῇ.

Ἐν δὲ τῷ ιδῳ, περὶ ἐπιμελείας γαστρὸς τῶν συσχεθέντων τῇ λοιμικῇ.

Ἐν δὲ τῷ ιεῳ, περὶ τῶν ἐπισφαλῶν καὶ ὀλεθρίων λοιμικῶν.

λόγ. α´

Περὶ συστάσεως λοιμικῆς, καὶ ὅπως σχεδὸν πάντες ἄνθρωποι ἐμπίπτουσι τῷ τοιούτῳ νοσήματι.



Λίσκονται σχεδὸν πάντες ἄνθρωποι τῇ λοιμικῇ κατὰ τάδε. ὅτι γὰρ πᾶς ἄνθρωπος ἀπὸ γενέσεως ἄχρι τῆς ἐσχάτης πρεσβυτικῆς ἡλικίας, εἰς μεταβολὴν καὶ ξηρότητα προήκει. ὅθεν τὸ τῶν βρεφῶν αἷμα πολὺ ὑγρότερον πέφυκε τοῦ ἐν τοῖς νεανίσκοις, πολλῷ μᾶλλον καὶ τοῦ ἐν τοῖς γέρουσιν· ἀλλὰ μὴν καὶ δαψιλῆ τὴν θέρμην κέκτηται), καθὼς καὶ ὁ Γαληνὸς ἐν τῇ τῶν ἀφορισμῶν ἐξηγήσει λέγει). ἡ ἐν τοῖς παισί, φησί, θερμότης, ἀμειζοτέρα τῇ ποσότητι τῆς ἐν τοῖς νεανίσκοις· ἡ δ' ἐν τοῖς νεανίσκοις, σφοδροτέρα τῇ ποιότητι. δείκνυται δὲ τοῦτο ἐκ τῆς ἀρίστης φυσικῆς ἐνεργείας τῶν τε αὐξήσεων καὶ πέψεων καὶ ἀναδόσεων τῶν ἐν τοῖς παισίν. ἔοικε δὲ τὸ

τῶν βρεφῶν

τὸ βρεφῶν αἷμα, καὶ τὸ τῶν παίδων, τῷ γλεύκει τῷ μήπω ἀρξαμένῳ πέττεσθαι τὴν πέψιν τὴν προσήκουσαν εἰς τὴν τελείαν πέψιν, καὶ μήπω ἔχουσαν κίνησιν τῆς πέψεως. τὸ δὲ τῶν νεανίσκων, ἔοικε τῷ γλεύκει τῷ ἤδη ζέοντι, καὶ ἐκφυσῶντι, καὶ μεταβληθέντι ἐκ τῆς πρώτης καταστάσεως, καὶ ἀναπνέοντι τὸ πλεῖστον τοῦ ἀτμοῦ καὶ τοῦ περιττώματος· οἷόνπερ ἐστὶν ὁ οἶνος ὁ πεπεμμένος καὶ περαιωθεὶς, καὶ εἰς τελείαν φθάσας κατάστασιν. τὸ δὲ τῶν γερόντων αἷμα ἔοικε τῷ οἴνῳ τῷ διαπνέοντι καὶ ἀποβαλόντι τὴν σφοδρότητα, καὶ πλησιάζοντι τῷ ψυχθῆναι καὶ ὀξωθῆναι. συνίσταται δὲ ἡ λοιμικὴ, ὅταν περ σήπηται τὸ αἷμα, καὶ ζέσῃ πρὸς τὸ διαπνεῦσαι τὰ ἀτμώδη καὶ ἰλυώδη περιττώματα· καὶ ὅταν μεταβάλληται ἐκ τοῦ βρεφικοῦ αἵματος τοῦ ἐοικότος τῷ γλεύκει, πρὸς τὸ τῶν νεανίσκων αἷμα τὸ ἐοικὸς τῷ οἴνῳ τῷ πεπεμμένῳ. καὶ ἔοικεν αὐτὴ καθ' ἑαυτὴν ἡ λοιμικὴ τῇ ζέσει, καὶ τῷ πομφολυγισμῷ, ὅπερ συμβαίνει ἐν τοῖς γλεύκεσιν ἐν τῷ καιρῷ τῆς ζέσεως· καὶ διὰ τοῦτο πάντες σχεδὸν ἁλωτοὶ καθεστήκασι τῷ τοιούτῳ νοσήματι, καὶ μᾶλλον οἱ ἄρρενες, ὅτι ἐξ ἀνάγκης μεταβάλλεται τὸ αἷμα ἐκ τῆς πρώτης καταστάσεως πρὸς τὴν δευτέραν κατάστασιν, ὥσπερ ἐξ ἀνάγκης μεταβάλλονται τὰ γλεύκη πρὸς τὴν μετὰ τὴν ζέσιν καὶ πομφολυγισμὸν κατάστασιν. καὶ μόλις ἂν εὑρεθείη κρᾶσις βρέφους ἢ καὶ παιδὸς μεταβαλλομένη ἐκ τῆς πρώτης πρὸς τὴν δευτέραν κατάστασιν, ἐν χρόνῳ καὶ κατὰ βραχὺ καὶ ἐφεξῆς, ὥστε καὶ τὴν ζέσιν φανῆναι καὶ τὴν μεταβολὴν ἐν τῷ αἵματι, ἐν χρόνῳ, καὶ κατὰ βραχύ. διότι τὴν τοιαύτην κρᾶσιν τὴν ἐφεξῆς οὕτω μεταβαλλομένην, ψυχρὰν καὶ ξηρὰν χρὴ εἶναι. ἡ δὲ τῶν παίδων κρᾶσις ἐναντία τούτοις. τὰ γὰρ περιστῶντα ὡς ἡ τῶν παίδων κρᾶσις θερμὴ καὶ ὑγρά, ὅτι ἡ τροφὴ τούτων ἐκ τοῦ γάλακτός ἐστιν. εἰ δὲ καὶ οὐ τρέφονται οἱ παῖδες ἐκ τοῦ γάλακτος, ἀλλ' οὖν ἐξ ὑπογείου καὶ ἔναγχος ταύτην ἐκέκτηντο δίαιταν καὶ τροφὴν, ἢ αἱ ἄλλαι ἡλικίαι ἅπασαι. καὶ μὲν δὴ καὶ αἱ περὶ τὴν δίαιταν πλημμέλειαι τούτων, πλείονες τῶν ἄλλων τυγχάνουσι· καὶ διὰ τοῦτο σπανίως ἄν τις τούτων τούτου τοῦ νοσήματος ἐξέφυγεν. ἐξαλλάττεται δέ πως ἐν τῇ νόσῳ κατὰ τὰς διαφορὰς δήπου τῶν κράσεων, καὶ τὰς διαίτας, καὶ τὰς ἕξεις, καὶ τὸν περιεχόμενον ἀέρα, καὶ τὴν τοῦ αἵματος κατάστασιν, τὸ ἐν ταῖς φλεψὶν, ἐν τῷ ποιῷ, καὶ τῷ ποσῷ. καὶ τούτου ἕνεκεν προλαμβάνει ἔν τισι, καὶ ὑστερεῖ ἔν τισι· καὶ αὔξεται ἔν τισι, καὶ ἐλαττοῦται ἔν τισι· καὶ ἔστιν ἄγαν μοχθηρὸν τῷ ποιῷ ἔν τισι, καὶ ἧττον μοχθηρὸν ἔν τισιν. οἱ δὲ νεανίσκοι διότι ἤδη μετεβλήθησαν τὰ αἵματα αὐτῶν πρὸς τὴν δευτέραν κατάστασιν, καὶ τετελείωται ἡ πέψις αὐτῶν, καὶ διεπνεύσθη ταύτης ἡ κατάστασις τῆς ὑγρότητος ὑφ' ἧς συνίσταται ἡ σῆψις, σπανίως αὐτοῖς ἐνσκήπτει ἡ νόσος. ἐκείνοις οὖν ἐνσκήπτει, τοῖς ἔχουσι περιττὴν ὑγρότητα ταῖς φλεψὶν, ἢ μοχθηρὰν ποιότητα καὶ διακεκαυμένην ἄγαν, ἢ τοῖς ἑαλωκόσιν εὐφόρῳ λοιμικῇ ἐν τῇ παιδικῇ ἡλικίᾳ, δι' ἧς οὐ τελείως μετεβλήθη τὸ αἷμα πρὸς τὴν τελείαν κατάστασιν. ἐνσκήπτει γὰρ καὶ τοῖς ἔχουσι βληχρὰν τὴν θέρμην καὶ πεπαυμένην. νεανίσκῳ δὲ γενομένῳ, διαιτηθέντι δίαιταν εἰς πολυσαρκίαν ἄγουσαν, ἢ δίαιταν πληθύνουσαν καὶ διαφθείρουσαν τὸ αἷμα. τοῖς γὰρ πρεσβύταις οὐ συμβαίνει, εἰ μὴ ἐν ταῖς λοιμώδεσι καταστάσεσι τῶν ἀέρων τῶν σηπεδονωδῶν, τῶν μοχθηρῶν. ἐν οἷς κατὰ πολὺ ἐπιδημεῖ τὸ τοιοῦτον νόσημα, διότι ὁ ἐκβεβηκὼς τὴν συμμετρίαν ἄκρον πρὸς τὴν θερμότητα καὶ ὑγρότητα, καὶ τὸ θερμὸν κατάστημα, συντείνει πρὸς τὸ νόσημα, διότι μετακομίζει τὸ πνεῦμα τὸ ἐν ταῖς δυσὶ

κοιλίας τῆς καρδίας, πρὸς τὴν ἰδίαν κρᾶσιν διὰ μέσης τῆς καρδίας. εἶτα μετακομίζει καὶ τὸ ὅλον αἷμα τὸ ἐν ταῖς ἀρτηρίαις, εἰς τὴν οἰκείαν κατάστασιν. εἰπόντες οὖν τὴν αἰτίαν τῆς λοιμικῆς διὰ βραχέων καὶ καθολικῶν λόγων, ἰτέον καὶ πρὸς τὰ ἐπιτήδεια σώματα τῇ λοιμικῇ.

λόγ. β' Περὶ τῶν ἐπιτηδείων σωμάτων πρὸς τὴν λοιμικήν.

Ἐστὶ τοίνυν τὰ λευκὰ σώματα καὶ ὑγρὰ, καὶ πολυσαρκίαν ἔχοντα, καὶ ἐρυθρὰ, καὶ τὸ χείριστον, ἐὰν ὦσιν ἐπὶ τούτοις τῶν ἁλισκομένων τοῖς συνεχέσι πυρετοῖς, αἱμορραγίαις τε καὶ αἱματικαῖς διαθέσεσι, καὶ φλυκταίναις, καὶ ὀφθαλμίαις, καὶ λήμαις, καὶ ἐξανθήμασιν. εἰ δὲ καὶ χρῶνται κατὰ πολὺ τοῖς ἡδύσμασι, καὶ μᾶλλον τοῖς φοίνιξι, καὶ τῷ μέλιτι, καὶ τοῖς σύκοις, καὶ τοῖς εἴδεσι τῶν παχυμερῶν, καὶ γλυκέων, οἷον μελιπήκτοις, ἀθήραις, ἔτι χείριστα. καὶ μὲν δὴ καὶ ἡ πολυποσία τοῦ οἴνου, καὶ ἡ χρῆσις τοῦ γλυκέος γάλακτος βλαβερὰ ἐν τῇ τοιαύτῃ διαθέσει. τὰ δὲ ἰσχνὰ σώματα, τὰ χολώδη καὶ ξηρὰ καὶ θερμὰ, ἐπιτήδειά εἰσι πρὸς τὴν εὐλογίαν. εὐλογίαν δ' ὠνόμασαν οἱ παλαιοὶ, τὸ ἓν εἶδος τὸ μοχθηρότερον τῶν δύο, καθὰ καὶ παρὰ πολλῶν οὕτως ὀνομάζεσθαι ταύτην ἀκούω. ἐν γὰρ ταῖς ἑλληνικαῖς διαλέξεσι κλῆσις ταύτης οὐχ εὕρηται. ὁ γὰρ σοφὸς οὗτος ἀνὴρ τῇ ἰδίᾳ διαλέκτῳ, χάσπε ὠνόμασε· δηλοῖ δὲ ἡ λέξις τὸ κατ' αὐτό. οἶμαι δὲ ὅτι κατ' αὐτὴν τὴν λοιμικὴν, ὁ λόγος βούλεται. εἰ δὲ καὶ διαφέρουσιν ἀλλήλων ἐν ταῖς διαθέσεσιν, ἀλλ' οὖν καὶ κοινότητα ἔχουσι, καὶ οὐδὲν ἀπεικός. οὐδὲν οὖν ἐστι διαφορὰν ἔχον, μὴ καὶ κοινότητα ἔχον. ἀλλ' ἵνα μὴ περὶ τῆς ὀνομασίας τὸν καιρὸν διατρίβωμεν, τοῦ σοφοῦ τούτου τὰς διαφορὰς κατὰ τὸν οἰκεῖον καιρὸν διασαφοῦντος, ἐπὶ τὸν προκείμενον τὸν λόγον ἐπανάξομεν. εἰ γὰρ καὶ ἴσως λοιμικὴν ἐξανθήσουσιν, ἓν ἐκ τῶν ἐναντίων συμβαίνει, ἢ εὐαρίθμητα εἶναι, καὶ ὀλιγοστὰ, καὶ ἀμυδρὰ, ἢ μοχθηρὰ καὶ ἄγαν ὀλέθρια, ἢ αὐχμηρὰ καὶ ξηρὰ, σηπόμενα, καὶ οὐ πεττόμενα. τὰ δὲ ἰσχνὰ σώματα καὶ ψυχρὰ τὴν κρᾶσιν, ἀνεπιτήδεια τοῖς δύο εἴδεσι τούτοις, τῇ τε λοιμικῇ καὶ τῇ εὐλογίᾳ. εἰ δ' ἴσως συμβαίη, βληχρὰ ἂν εἴη, μετὰ συνεχῶν μὲν πυρετῶν ἀπ' ἀρχῆς καὶ ἄχρι τέλους, πλὴν μέτρια, πεπεμμένα καὶ πραέα.

λόγ. γ' Περὶ τοῦ καιροῦ ἐν ᾧ ἐπιδημεῖ κατὰ πολὺ ἡ λοιμική.

Ὁ δὲ καιρὸς ἐν ᾧ ἐπιδημεῖ καὶ πληθύνει, ἔστιν οὗτος· τὰ ἔσχατα τοῦ φθινοπώρου, καὶ ἀρχὴ τοῦ ἔαρος, καὶ ὅταν ᾖ τὸ θέρος ἔπομβρον, καὶ πνεύσωσιν ἐπάλληλοι νότοι, καὶ ὅταν ᾖ ὁ χειμὼν ἀλεεινὸς, καὶ τὸ κατάστημα νότιον. ὅταν γὰρ ᾖ τὸ θέρος σφοδρὸν τὴν θέρμην, καὶ τὴν ξηρότητα, καὶ ᾖ τὸ φθινόπωρον θερμὸν καὶ ξηρὸν, καὶ ὑστερήσῃ ἡ βροχὴ κατὰ πολὺ, προλαμβάνει ἡ εὐλογία πρὸς τοὺς ἐπιτηδείους αὐτῇ· πρὸς τοὺς ἰσχνοὺς, φημὶ, καὶ θερμοὺς, καὶ χολώδεις· καὶ πολλάκις ἔν τισι χώραις, τοῖς ἐγχωρίοις ἔθεσι χρωμένοις τοῦ περιέχοντος καταστήματος, λεληθότως μεταβαλλομένου πρὸς τὸ λοιμῶδες, ἀσινῆ διέμειναν τὰ σώματα· ἐν γὰρ χρησταῖς καταστάσεσιν, ἐλοιμώθησαν. αὐτίκα γοῦν χρὴ προφυλάττεσθαι ὅταν ἄρχηται ἐξαπλοῦσθαι, καὶ προαπελαύνειν τοῖς ἀνθρώποις, καθὰ παρακατιὼν διηγήσομαι.

λόγ. δ' Περὶ τῶν σημείων τῆς εἰσβολῆς τῶν δύο εἰδῶν τῆς λοιμικῆς.

Τὰ δὲ σημεῖα τῆς λοιμικῆς καὶ τῆς εὐλογίας τὰ ἐναργῶς ἐμφαίνοντα τὸν παροξυσμὸν, εἰσὶ ταῦτα. προηγεῖται τῶν δύο εἰδῶν τούτων τῆς νόσου, συνεχὴς πυρετὸς, ὀδύνη νώ-

του,

του, κνῆσις ῥινός, παλύα ἐν τῷ ὕπνῳ. ταῦτα τὰ ἴδια σημεῖα τούτων, καὶ μᾶλλον ἡ τοῦ νώτου ὀδύνη μετὰ τοῦ πυρετοῦ· σὺν τούτοις καὶ νύττεσθαι δοκεῖ ὁ κάμνων πᾶν τὸ σῶμα. ἐπὶ τούτοις καὶ σκορδινισμός, καὶ χάσμη συχνή, καὶ ὀδύνη ἐν τῷ λαιμῷ καὶ ἐν τῷ θώρακι, μετὰ δυσπνοίας, καὶ βηχός, καὶ τῆς τοῦ σώματος ξηρότητος, καὶ φλογώσεως, καὶ πτυέλου παχύτητος· εἰσὶ πρὸς τούτοις καὶ βραγχώδεις τὴν φωνήν, μετὰ κεφαλαλγίας, καὶ σφυγμῶν κεφαλῆς, καὶ βάρους· ἐπὶ τούτοις καὶ δυσφοροῦσι, καὶ ἀλύουσι, καὶ ναυτιῶσι, καὶ ἀσώδεις εἰσί. πλὴν ὁ ἔμετος, καὶ τὸ δυσφορεῖν καὶ τὸ ἀλύειν, συνεδρεύει τῇ λοιμικῇ, ἢ τῇ εὐλογίᾳ. ἡ δὲ τοῦ νώτου ὀδύνη, καὶ ἡ θερμότης τοῦ ὅλου σώματος, καὶ ἡ φλόγωσις, καὶ ἡ πύρωσις, καὶ ἡ στιλπνότης τῆς χροιᾶς, καὶ μᾶλλον ἡ σφοδρότης τῆς ἐρυθρότητος τῶν φατνίων, οἰκειοτέρα ἐστὶ τῇ εὐλογίᾳ. διὸ χρὴ ὅταν ἴδῃς ταῦτα τὰ σημεῖα, καὶ μᾶλλον τὰ ἐπικαιρότατα, οἷον ὀδύνην νώτου, πτύαν μετὰ συνεχοῦς πυρετοῦ, γινώσκειν ὅτι ἄρχεται ἡ λοιμική, εἰ καὶ οἰκειοτέρα ἐστὶ ταύτῃ ἡ ὀδύνη τοῦ νώτου, ὡς εἴπομεν. τὸ δὲ ἐν τῇ λοιμικῇ τὸ ἀλύειν καὶ τὸ ναυτιᾶν, ἐστὶ σημεῖα ἐναντία, διότι ἡ εὐλογία συνίσταται ἐξ αἵματος χολώδους· ἡ δὲ ἐπιεικὴς λοιμικὴ πλείονα ἔχει τὴν ποσότητα τοῦ χρηστοῦ αἵματος, ἢ τοῦ μοχθηροῦ καὶ διεφθαρμένου, καὶ διὰ τοῦτο συνεδρεύει αὐτῇ ἡ ὀδύνη τοῦ νώτου, διότι ἐπιτέταται ἡ φλὲψ καὶ ἡ ἀρτηρία μεταξὺ τῶν δυοῖν ὀσοῖν τῶν συμπαρακειμένοιν τῇ ῥάχει. μνημονευτέον οὖν τοῦ σκοποῦ τῆς ἐπιμελείας, καὶ τῆς προνοίας ὁμοῦ, καὶ καθολικοῦ λόγου. καὶ πρῶτον εἴπωμεν τὴν προφυλακήν, ὅπως δεῖ πρὸ τοῦ φανῆναι τὰ σημεῖα, ἀπωθεῖν, καὶ μετὰ τὸ φανῆναι τὰ σημεῖα, ἐκκρίνειν τὴν νόσον. τὸ δὲ δεύτερον, ταχέως ἐκμοχλεύοντα. τὸ δὲ τρίτον, τὴν πρόνοιαν τοῦ ὀφθαλμοῦ, καὶ τῶν βλεφάρων, καὶ τῶν κυψελίδων, καὶ τὰ ἐντὸς τῶν μυκτήρων, καὶ τοῦ λαιμοῦ, καὶ τῶν ἄρθρων πάντων, ἵνα μὴ συμβῇ μετάπτωσις μοχθηρά. τὸ τέταρτον, τὸ ταχὺ πεπλῆσαι τὴν νόσον. τὸ πέμπτον, τὸ ταχέως ξηρᾶναι τὰ ἐξανθήματα. ἐν δὲ τῷ ἕκτῳ, πῶς δεῖ ἐκβάλλειν τὰς ἐσχάρας, καὶ τὰ ὄστρακα, καὶ τὰς λεπίδας. ἐν δὲ τῷ ἑβδόμῳ, πῶς δεῖ ἐξαλείφειν τὰς οὐλάς. ἐν δὲ τῷ ὀγδόῳ, περὶ διαίτης καὶ τροφῆς τῶν λοιμιώντων. ἐν δὲ τῷ ἐννάτῳ, πῶς δεῖ φυλάττειν τὴν γαστέρα, ἵνα μὴ ἐκρέῃ κατὰ πολύ, καὶ εἰς ὄλεθρον καταντήσῃ. ἐν δὲ τῷ δεκάτῳ, τὰ σημεῖα τῶν ἐπιεικῶν καὶ ὀλεθρίων. εἰπεῖν δὲ δεῖ ἑνὶ ἑκάστῳ σκοπῷ λόγον καθολικὸν συντετμημένον, καὶ ἱκανόν. χρὴ οὖν φλεβοτομεῖν μείρακας, καὶ παῖδας, καὶ νεανίσκους τοὺς μήπω εἰς λοιμικὴν πεπτωκότας, ἢ καὶ περιπεπτωκότας λοιμικῇ εὐφόρῳ καὶ ἀμυδρᾷ· καὶ μᾶλλον ἐν ταῖς προδηλωθείσαις λοιμώδεσι καταστάσεσι, πρὸ τοῦ πυρέξαι καὶ φανῆναι τὰ σημεῖα τῆς νόσου. φλεβοτομητέον δὲ τοὺς τεσσαρεσκαιδεκαετεῖς· τοὺς δὲ ἧττον, σικυαστέον, καὶ ψυκτέον τοὺς οἴκους ἐν οἷς κατακλίνονται. τροφῇ δὲ χρηστέον, τοῖς δι' ὀμφακίων ἑψημένοις, τοῖς τε ὀξώδεσι πηκτοῖς, καὶ τοῖς ἁπλῶς ὀξώδεσι, καὶ ταγλύοις ὀξυσοῖς, καὶ θριδακίναις. δίδου δὲ καὶ ὕδωρ ἐκ πηγῶν διαυγῶν, καὶ ψυχρῶν ἄγαν· εἰ δ' οὖν, ἀλλ' ἐν χιόνι κατεψυγμένον. ῥαντιστέον δ' ἐκ τούτου τοῦ ψυχροῦ καὶ τοὺς οἴκους ἐν οἷς κατακλίνονται. προσάγατε δ' αὐτοῖς κατὰ καιρὸν ῥοιὰς ὀξείους, καὶ ἑψήματα τῶν ὀξειῶν, καὶ στρυφνῶν ὀπωρῶν, καὶ τὰ ὀξώδη τῶν κίτρων, καὶ τοὺς ὄμφακας, καὶ συκόμορα, καὶ τὰ παραπλήσια τούτοις. εἰ δέ τις θερμοτέρᾳ τῇ κράσει κέχρηται, καὶ διακαίεται, χυλὸν προσιέσθω ἀκριβῶς καθεψημένον, ἐμβληθέντα δὲ πρότερον, οἷον τὸ τέταρτον τούτου, χυλὸς ὀξείης ῥοιᾶς. εἰ δέ τις ἧττον διακαίεται, χρήσθω ἅμα πεπέρι ἀλφίτοις μετὰ καὶ σακχάρεως. ἔχου δὲ τῶν

ὀξωδῶν τροφῶν, καὶ τῆς φακῆς, καὶ τοῦ ὄμφακος, καὶ τῶν ὀξωδῶν ῥοιῶν μᾶλλον. διότι ταῦτα μᾶλλον τῶν ἄλλων παχύνει τὸ αἷμα, καὶ ψύχει, καὶ κωλύει, καὶ ἀπωθεῖ τὴν λοιμικήν. συμφέρει γὰρ ἐν παντὶ καιρῷ ἡ τοιαύτη δίαιτα, καὶ λοιμώδεσι καταστάσεσιν, ἐλαττοῖ τὴν μοχθηρείαν τῶν φυμάτων, καὶ τῶν πονηρῶν διαθέσεων, καὶ συλλήβδην εἰπεῖν, ἁπάντων τῶν ξανθοχολικῶν καὶ αἱματωδῶν νοσημάτων. ἐν μεσημβρίᾳ δὲ ἀποπλυνθήτωσαν ἐν ψυχρῷ ὕδατι, καὶ ἐν κολυμβήθραις ἐμβιβαζέσθωσαν. καὶ νήχεσθαι ἐν αὐταῖς συγχωρείσθωσαν, καὶ διακελευέσθωσαν. εὐλαβεῖσθαι δὲ τὸ γλυκὺ γάλα, καὶ τὸν οἶνον, καὶ τοὺς φοίνικας, καὶ τὸ μέλι, καὶ ἁπλῶς ἅπαντα τὰ γλυκέα, καὶ τὰ θερμὰ ἀρτύματα, καὶ τὰ δαυκία, τά τε περιστερόπουλα, καὶ τὰ ὕεια κρέα. δίδου δὲ ἐπὶ τούτοις ὅταν ἡ κρᾶσις αὐτῶν ἄγαν ἐστὶ θερμὴ καὶ ὑγρά, καὶ ἐπιτηδεία πρὸς σῆψιν, ἢ θερμὴ καὶ ξηρά, ἐπιτηδεία πρὸς ἔκκαυσιν καὶ πύρωσιν, καὶ ὁ καιρὸς λοιμώδης καὶ μοχθηρός, ἐκ τῶν λεχθησομένων φαρμάκων. καὶ τοῖς μὲν ἔχουσι κράσεις θερμὰς καὶ ξηράς, διακεκαυμένας, συμφέρει προσάγειν τῶν λαχάνων τὰ ψυχρὰ καὶ ὑγρά, οἷον μαλάχην, κολοκύνθην, βλῆτα, λάπαθα, καὶ τετράγγουρα. κωλυτέον δὲ αὐτοὺς τοῦ μηδόλως χρῆσθαι πέποσι γλυκέσι. εἰ δὲ ἴσως μεταλάβωσι τούτου, πιέτωσαν ἐπ' αὐτῷ παραυτίκα χυλὸν τῶν ὀξωδῶν ὀπωρῶν. τρέφε δὲ αὐτοὺς τῶν ἰχθύων τοῖς μαλακοσάρκοις. καὶ ἐκ τοῦ ὀξώδους γάλακτος τὸ ὀξωδέστερον, καὶ οἷον ἰχὼρ ἐκκρινόμενον, τὸ παρὰ τοῦ σοφοῦ τούτου ἐάϊπ ὀνομασθέν. τῶν δὲ πολυσάρκων καὶ λευκῶν καὶ ἐρυθρῶν * ὑφελεῖν δεῖ τὴν ψύχουσαν τροφὴν καὶ ξηραίνουσαν, τὴν παρ' ἡμῖν δηλωθεῖσαν. κοινὰ δὲ ἔστωσάν σοι παραγγέλματα τοῖς πᾶσι ταῦτα, ἀπέχειν κόπου, λουτροῦ, ἀφροδισίων, κινήσεων, καὶ τοῦ διατρίβειν ἐν ἡλίῳ καὶ κόνει, καὶ τοῦ πίνειν τὸ ἑστὼς ὕδωρ. καὶ τῶν ὀπωρῶν, καὶ ὀσπρείων τῶν κακωθέντων ὑπ' ἐρυσίβης, ἢ πρὸς σηπεδονώδη ἀχθέντων διάθεσιν, ἢ καὶ ὑγρότητος ἐμπλησθέντων. κίνησον καὶ τὰς τούτων γαστέρας, εἰ καὶ τούτου δέοιντο, διὰ χυλοῦ δαμασκήνων, καὶ διὰ ὀρροῦ γάλακτος, καὶ σάκχαρος. ἀπείργειν δὲ δεῖ αὐτοὺς καὶ τῶν σύκων καὶ τῶν σταφυλῶν, διότι τὰ σῦκα ἀπογεννῶσι φλυκταίνας, καὶ συνωθεῖ τὰ περιττώματα ἐπὶ τὰ ἐκτός, εἶτα καὶ ἐμφανεῖς ἀπεργάζεται τὰς φλυκταίνας πρὸς τὴν ἐπιφάνειαν τοῦ σώματος. ἡ δὲ σταφυλὴ ἐμπίπλησι τὸ αἷμα τοῦ πνεύματος, καὶ εἰς ὄγκον αἴρει ἕτοιμον. καὶ ἐπιτήδειον τοῦτο ἀπεργάζεται πρὸς ζέσιν, καὶ πρὸς τὸν πομφολυγισμόν. εἰ δὲ καὶ ὁ ἀὴρ λοιμώδης ἄγαν ἐστὶ καὶ σηπεδονώδης, καὶ μοχθηρός, ἀπόματτε διόλου τὸ πρόσωπον διὰ ῥόδων σταλάγματος. ἀναδεύεσθαι δὲ ὀθόνια τοῖς ὀσφραντοῖς καὶ ὑγροῖς τούτοις, καὶ ἐπιτίθεσθαι ταῖς ῥισίν. αὕτη μὲν ἡ πρόνοια καὶ ἡ ἐπιμέλεια πάνυ ὠφέλιμός ἐστιν ἐν ταῖς λοιμικαῖς καὶ διεφθαρμέναις καταστάσεσι τῶν ἀέρων, καὶ ταῖς ἐπιδεδημηκυίαις νόσοις θεοῦ συναντιλαμβανομένου. σικυαστέον δὲ τὰ νεογνὰ βρέφη καὶ θηλάζοντα, ὅσα ὑπερέβησαν τὴν πενταμηνίαν, ὅταν ὦσιν εὔσαρκα, λευκὰ τὸ εἶδος καὶ ἐρυθρά. διαιτητέον δὲ τὴν τροφὴν ἐν ταύταις ταῖς δηλωθείσαις διαίταις. τοῖς δὲ μεταλαμβάνουσι τροφῆς, δίδου ἐκ τῶν προειρημένων σύμμετρα τῇ παρούσῃ καταστάσει. μνημονευτέον τοιγαροῦν τῶν τὸ αἷμα παχυνόντων φαρμάκων, καὶ ψυχόντων, καὶ ἀπειργόντων σήπεσθαι καὶ ταράττεσθαι, θεοῦ συνεργίᾳ.

Περὶ

Περὶ προφυλακῆς τῆς νόσου, πρὸ τοῦ φανῆναι τὰ σημεῖα τῆς λοιμικῆς· καὶ πῶς δεῖ ἐπέχειν ἵνα μὴ ὅλως (ζωίσῃ), ἢ ἵνα μὴ ἐς ἀμετρεῖ προήκῃ, μετὰ τὸ φανῆναι τὰ σημεῖα. λόγ. ε

Α πείργει καθάπαξ ἅπαν ὀξῶδες, οἷον τὸ ὄξος, καὶ τὸ ὀξῶδες τοῦ γάλακτος τυφόμενον. ὅπερ δὲ παρὰ τοῦ σοφοῦ τῇ αὐτοῦ διαλέκτῳ ὀνομασθέν, ὅπερ καλῶς ἡλιασθῇ, καὶ τὰ τῶν κίτρων ὀξώδη. ὠφελιμώτερα δὲ τούτων, ὅσα καὶ στύφουσι, καὶ ὀξώδη εἰσίν, οἷον ὄμφαξ, καὶ ῥοιὰς συριακάς, καὶ μῆλα, καὶ κυδώνια, καὶ ὄξινα ῥοΐδια. καὶ ἅπαντα τὰ τῇ οὐσίᾳ αὐτῶν παχύνοντα τὸ αἷμα, οἷον, ζίζιφα, καὶ φακή, καὶ κορίανον, καὶ θριδακίνη, καὶ κώδεια, ἴντυβόν τε, καὶ στρύχνον, καὶ σπόδιον, καὶ ψύλλιον. Ἕτερον φάρμακον παῦον τὸν παροξυσμόν, καὶ τὴν ταραχὴν τοῦ αἵματος, καὶ τοῦ πυρετοῦ. ὀνήσιμον δὲ ἐστὶ καὶ ἥπατι κεκαυμένῳ, καὶ ἐκκρινεῖ τὴν ξανθὴν χολήν. Ῥόδων ἀπηλεσμένων ἐξάγια ι', σποδίου ἐξάγια κ', ῥοῦ συριακοῦ καὶ ψυλλίου, φακῆς κεκαθαρισμένης, ὀξυακάνθης, ἀνδράχνης σπέρματος, θριδακίνης σπέρματος, κωδείας λευκῆς καὶ μήκωνος ἀνὰ ἐξάγια ε', σανταλου λευκοῦ ἐξάγια β' ς'. ταῦτα κατὰ καιρὸν πρόσαγε ἅμα ὕδατι, ὅσον ἐξάγια β', μετὰ γο ε' χυλοῦ ὀξυκίτρου, ἢ χυλοῦ ῥοιᾶς, ἢ ὄμφακος, καὶ τῶν ὁμοίων. ὀνίνησι δὲ καὶ ὀξοσάκχαρ οὕτω κατασκευασθέν· μέρος ὄξους δριμέος, καὶ μέρη β' ῥοδοστάγματος μιγνύσθω, καὶ ἀναδευέσθω ἐν αὐτοῖς γο ε', ῥόδων φύλλων ξηρῶν ἀληθινῶν, καὶ γο β' αἰγυπτίου ῥόδων, καὶ γο α' ῥιζομαράθρου, ἐμβρεχέσθω δὲ καὶ ἔστωσαν ἄχρι τριῶν ἡμερῶν. καὶ οὕτως ἑψήσας, διήθησον. εἶτα οὕτως ἐμβληθήτω σάκχαρ διπλοῦν τοῦ ὄξους, ἢ καὶ τριπλοῦν, καὶ ἑψηθὲν ἐν χυλῷ ψυλλίου, κυκλίσκους ἀπεργαζέσθω, καὶ ἐν καιρῷ προσφερέσθω, τῆς χρείας κατεπειγούσης, ὅσον ἐξάγια γ', μετὰ γο α' τοῦ δηλωθέντος ὀξοσάκχαρος. ὠφελεῖ δὲ εἰς τὸ νόσημα τοῦτο μεγάλως φάρμακον οὕτω κατεσκευασμένον. δυναμικώτερον γάρ ἐστιν, ὡς ἐθεασάμεθα πολλάκις, καὶ δεδοκίμασται, καὶ τὸ δι᾽ ὀπωρῶν σκευαζόμενον, εἰ μήτιγε τὸ παρὰ τῶν ἰνδῶν συντεθὲν ὑπερφέρει τοῦ παρ᾽ ἡμῖν γινωσκομένου. ἐκεῖνοι γὰρ οἱ ἰνδοὶ φάσκουσιν ὅτι ἐὰν πίῃ τις τὸ παρ᾽ ἡμῖν δι᾽ ὀπωρῶν σκευαζόμενον, ἤδη ἐξανθήσας * τὰ ἐξανθήματα, εἰς δέκα οὐκ ἀναδίδοται). τὸ δὲ παρ᾽ ἡμῖν σκευάζεται οὕτως, ὄξους παλαιοῦ δριμέος ℔ γ', ῥοιᾶς χυλοῦ, καὶ ὀξώδους κίτρου, καὶ ὄμφακος, ὀξυακάνθης, χυλοῦ συκομόρου, ἀποβρέγματος ῥοῦ συριακοῦ, χυλοῦ ζιζίφου, ἀποβρέγματος φακῆς, καὶ ἀποβρέγματος ταρχοῦ ἀνὰ ℔ α', ἐμβληθέντος ἐπ᾽ αὐτοῖς ℔ γ' σάκχαρος, καὶ ἑψηθέντος ἄχρις ἂν εἰς σύστασιν ἀφίκηται ζουλαπίου. εἶτα λαβὼν ℔ δ' ς', σπόδιον λευκὸν ἄριστον, λείωσον ἐν ὅλμῳ καθαρῷ, εἶτα οὕτως ἔμβαλε ἐκ τοῦ κατασκευασθέντος φαρμάκου ἤδη ζέοντος, καὶ ἀνάτριβε διὰ τοῦ ὑπέρου, ἄχρις ἂν λυθῶσι καὶ συγκραθῶσιν ἄμφω. ταραττέσθω δὲ δι᾽ ἀγκυρείων ἱμημάτων, ἢ διὰ ξύλου κιτρίνου· πλὴν εἰ δι᾽ ἀγκυρείων ἱμημάτων ταράξειας, κρεῖττόν ἐστι. χρὴ δὲ τούτῳ πρὸ τοῦ φανῆναι τὰ σημεῖα τῆς λοιμικῆς, καὶ μετὰ τὸ φανῆναι τὰ σημεῖα, ὡς ἡμεῖς μνημονεύσομεν. ὠφέλιμον γάρ ἐστι τοῦτο ἐν πάσῃ αἱματώδει καὶ ξανθοχολικῇ, καὶ πνιγηρᾷ διαθέσει, καὶ φλυκταίναις, καὶ τοῖς τοιούτοις, θεοῦ συνεργίᾳ. αὕτη ἐστὶν ἡ πρὸ τοῦ συμβῆναι τὸν πυρετόν, προφυλακὴ τῆς λοιμικῆς. ἀπωθεῖ γὰρ ταῦτα ἐκ τοῦ ἐπιτηδείου πρὸς ἀπώθησιν, καὶ ἀναλώτους ἀπεργάζεται τοὺς χρωμένους τούτοις, ἢ τέως δυσαλώτους, ὡς μὴ καθάπαξ γίνεσθαι τὴν μεταβολὴν τοῦ αἵματος, πρὸς τὴν δευτέραν κατάστασιν ἐν ἀκαριαίῳ χρόνῳ μετὰ ταραχῆς καὶ ζέσεως καὶ συμπτωμάτων, ἐξ ἀνάγκης ἐπικινδύνων καὶ ἐμφόβων, ἀλλὰ κατὰ βραχὺ καὶ ἐπὶ προήκοντι αὐτοῦ χρό-

νῳ, καὶ ἐφεξῆς, ὡς γίνεσθαι τὴν μεταβολὴν πέψιν καὶ οὐ σῆψιν, καὶ χωρὶς συμπτωμάτων, καὶ πυρετῶν ἐπικινδύνων, καὶ μοχθηρῶν, καὶ ὀλεθρίων, καὶ αἱματικῶν διαθέσεων, ὅσαπερ ἀνάγκη συμβήσεσθαι.

λόγ. ς' Περὶ θεραπείας τῆς λοιμικῆς.

Ὅταν δὲ ὁ πυρετὸς συμβῇ ὁ ἐναργῶς περιέχων τὰ σημεῖα τῆς λοιμικῆς, οὐ δεῖ χρῆσθαι ταῖς διαίταις ταύταις ἀσκέπτως, ἀλλὰ μετὰ τὸ διασκέψασθαι καὶ διαρείσασθαι, καὶ ἐπιστῆσαι τὸν νοῦν ἀκριβῶς, διότι ὁ ἐξ αὐτοῦ τικτόμενος κίνδυνος μέγιστος ἄγαν. τοῦ γὰρ αἵματος ταραττομένου καὶ εἰς ὄγκον αἰρομένου, καὶ αὐξομένου καθάπαξ, καὶ τῆς φύσεως ἀγωνιώσης πρὸς τὸ ἀπωθεῖν καὶ ἐκκρίνειν ἅπαντα τὰ περιττώματα ἐκτός, καὶ πρὸς τὰ ἕτερα μόρια τοῦ σώματος, εἰ μὲν οὐκ ἀνύοι, οὐδ' ἐφίκοιτο ἡ ἐπιμέλεια πρὸς τὸ παχῦναι καὶ σβέσαι ἅπερ ἔχρην πρὸ τῆς εἰσβολῆς, ἀνάγκη παροξυνθήσεσθαι ἅπαξ καὶ δὶς καὶ τρίς· καὶ τότε οὐ μόνον οὐκ ἔσται ἀρήγων τῇ φύσει, ἀλλὰ καὶ ἀντιμαχόμενος καὶ ἀνθιστάμενος τῇ ἐνεργείᾳ αὐτῆς. οὐδὲ γὰρ οἷόν τέ ἐστιν ὅταν σφοδρῶς ζέσῃ καὶ ταραχθῇ, παύειν αὐτήν, εἰ μὴ διὰ τῶν ἐπισφαλῶν ἄγαν, τῶν ὑπερβολικῶς ψυχόντων καὶ πηγνυόντων τὸ αἷμα, οἷον ὀπίου, κωνείου, χυλοῦ θριδακίνης, καὶ στρύχνου, καὶ τῶν τούτοις παραπλησίων. πλὴν οὐκ ἀκίνδυνος ὁ σκοπὸς οὗτος τῆς θεραπείας, διότι ἴσως γενήσεται καθάπαξ πῆξις τοῦ αἵματος, καὶ σβέσις τῆς ἐμφύτου θερμότητος. ὅμως εἰ μὴ ὑπερβολικῶς ψύξεις, οὐκ ἂν δυνήσῃ σβέσαι τὴν ζέσιν τῆς νόσου, καὶ ἀντιμάχεσθαι τῇ ἀλλοτρίᾳ καὶ σηπεδονώδει θέρμῃ. τὰ δὲ μεθ' ὑπερβολῆς ἐμψύχοντα πολλάκις ὑπερβαίνουσι τὴν συμμετρίαν, καὶ σβεννύουσι τὴν ἔμφυτον θέρμην. ὑποθέσθαι τοιγαροῦν σοι βούλομαι ὅπερ παρεώραται ἐνίοις τῶν ἰατρῶν, τοῖς μὲν ἐξ ἀμαθίας, τοῖς δὲ ἐκ τῆς πρὸς τὴν τέχνην φειδωλίας, ὅπως μὴ παρακεκινδυνευμένη γενήσεταί σοι καὶ ἐφάμαρτος ἡ θεραπεία. Θεραπεία. Ὅταν οὖν ἴδῃς τὰ σημεῖα τῆς λοιμικῆς, τάσιν τοῦ σώματος, συχνὸν σκορδινισμόν, ὀδύνην νώτου, ἐρυθρότητα, ἔρευθος ὀφθαλμῶν, σφοδρὸν σφυγμὸν τῆς κεφαλῆς, καὶ σφυγμὸν τοῦ κάμνοντος μέγαν καὶ ἐξωγκωμένον, καὶ μεγάλα εἰσπνέοντα, καὶ τὰ ἤθη τῆς ψυχῆς χαλεπά, καὶ τὸ οὖρον θολερὸν καὶ ἐρυθρόν, καὶ τὴν ἁφὴν τοῦ σώματος μαλακὴν καὶ θερμήν, οἵα δὴ ἡ τῶν λελουμένων ἐστί, καὶ ἔστι πολύσαρκος ὁ κάμνων, καὶ ἡ δίαιτα πληθωρική, τέμνε τὴν φλέβα, καὶ ἔκχεε αἷμα πλεῖστον ἄχρι λειποθυμίας. ἄριστον δὲ ἐκχεῖν ἐκ τοῦ μέσου ἀγκῶνος, ἢ ἐκ τῶν παραφυάδων τούτου· εἰ δ' ἀφανὴς εἴη, ἐκ τῆς ἐντὸς φλεβός· εἰ δὲ καὶ αὕτη ἀφανής, ἐκ τῆς κρανιακῆς. πλὴν κρεῖττόν ἐστιν, εἴπερ οὐχ εὑρίσκεται ἡ μέση, ἀφαιρεῖν ἐκ τῆς ἐντὸς ἰγνύος. διότι αἱ τοιαῦται φλέβες ἕλκουσι τὸ αἷμα ἐκ τῶν ἐντέρων τῶν μεγάλων τῶν ἐν τῇ κοιλίᾳ πλέον τῆς κρανιακῆς. ὅταν δὲ οὐκ εἰσὶ ταῦτα τὰ σημεῖα ἄγαν ἐμφανῆ, πλὴν ἰσχυρά, ἔκχεε αἷμα ὀλίγον, ὅταν δὲ ἐλάχιστα, ἐλάχιστον· καὶ οὕτω πρόσφερε αὐτῷ τὰ σβεννύοντα τὸν πυρετόν, ἤγουν τὰ ψυχρά, ὡς τὸ ἐν χιόνι ὕδωρ. καὶ ἐμέσαντι δὲ πάλιν δίδου ὕδωρ· καὶ ὅταν ἴδῃς τὰ σβεννύοντα ὅτι παύει τὸν πυρέσσοντα, καὶ ἐπανέρχεται ἡ ἁφὴ τοῦ σώματος πρὸς τὴν φυσικὴν διάθεσιν, ἔχου τῆς τοιαύτης ἐπιμελείας. ἀπωθήσεις γοῦν ἐντεῦθεν τὴν ταραχὴν τὸ παράπαν τῆς λοιμικῆς, καὶ τὸν παροξυσμόν. τὰ δὲ γενναίως σβεννύοντα καὶ ἐμψύχοντα, ἔστι τὸ ὕδωρ τὸ ἐν χιόνι κατεψυγμένον, ἀθρόως καὶ δαψιλῶς διδόμενον, ἄχρις ἂν καὶ αἴσθησιν λάβῃ ψύξεως τῆς ἐν τῇ κοιλίᾳ. εἰ δὲ καὶ πυρέξει μετὰ ταῦτα, καὶ ἐπανίει ἡ θέρμη, δὸς ἐκ δευ-

τέρου

τέρου ὅσον τριῶν λιτρῶν, ἢ καὶ πλέον· ταῦτα ἐν ἡμιωρίῳ διδόσθω. εἰ δὲ ἐπὰν ἀνακάμψῃ ἡ θέρμη, καὶ ἡ γαστὴρ μεμεστωμένη τοῦ ὕδατος εἴη, ἐμείτω τὰ πρῶτα, καὶ αὖθις δὸς πίνειν. καὶ εἰ μὲν ἴδοις ὅτι εἰσέδυ τὸ ὕδωρ, καὶ ἱδροῖ ὁ κάμνων, καὶ τὸ οὖρον κεκίνηκεν, ἔστω σοι σημεῖον ἐναργὲς ὅτι ἐγγὺς ἡ ὑγεία. εἰ δ' οὐκ εἰσέδυ τὸ ὕδωρ, καὶ ἡ θέρμη ὥσπερ λωφῶσα, καὶ πάλιν ἐπαύξουσα, καὶ ἐπιδιδοῦσα καθάπερ ἦν, ἢ καὶ πλείων, ἔα τὸ ψυχρὸν ὕδωρ, καὶ κλῖνον πρὸς τὰ σβεννύοντα καὶ παύοντα φάρμακα, ἃ δὴ καὶ προεδήλωσα. εἰ δέ γε εὐφόρως ἔχει ὁ κάμνων, καὶ μεμείωται, καὶ καθαίρεται ἡ νόσος, ἔχου τοῦ τοιούτου τρόπου τῆς ἀγωγῆς. εἰ δὲ μετάπτωσιν ἴδῃς ἐπιγιγνομένην μοχθηράν, καὶ ἀλύει, καὶ ἰσχυρῶς δυσφορεῖ ὁ κάμνων, καὶ ἐπικρατεῖ τὰ χαλεπὰ ταῦτα, γνῶθι ὅτι ἀνάγκη ταραχθήσεσθαι καὶ παροξυνθήσεσθαι τήν τε λοιμικὴν καὶ τὴν εὐλογίαν. διὸ χρὴ τηνικαῦτα ἀφίστασθαι ταυτησὶ τῆς διαίτης, καὶ σπουδάζειν βοηθεῖν τῇ φύσει, πρὸς τὸ ἐκκρίνειν καὶ ἐκμοχλεύειν τὰ περιττώματα, ὡς ἐγὼ νῦν ὑποθήσομαι.

Πῶς δεῖ ἐπικουρῆσαι τῇ φύσει, εἰς τὸ ἐξῶσαι τὴν λοιμικὴν πρὸς τὴν ἐπιφάνειαν τοῦ σώματος. λόγ. ζ'

Θάλψον τὸν νοσοῦντα ἐν περιβλήματι, καὶ κατάκλινον ἐν οἰκίᾳ μὴ ἄγαν ψυχρᾷ, ἐνδύσας πρότερον χιτώνιον μεσόν, καὶ δήσας τὰ περὶ τὸν τράχηλον ἀσφαλῶς· καὶ οὕτω ῥοφᾶν ὕδατος ψυχροῦ κατὰ βραχὺ διακέλευε, καὶ μᾶλλον ὅταν ἰσχυρῶς ἀνάπτηται ὁ πυρετός. τὸ γὰρ ψυχρὸν καὶ κατὰ βραχὺ ῥοφούμενον κινεῖ τὸν ἱδρῶτα, καὶ συντείνει, καὶ βοηθεῖ εἰς τὸ ἐξῶσαι τὰ περιττώματα εἰς τὴν ἐπιφάνειαν τοῦ σώματος· εἶτα ὕδωρ ζέον ἐμβαλὼν χύτραις καθαραῖς, παράθες τὸ ἓν ἔμπροσθεν, καὶ τὸ ἄλλο ὄπισθεν, ὥστε ἀνάγεσθαι τὸν ἀτμὸν πρὸς τὸ ὅλον σῶμα, πλὴν μόνου τοῦ προσώπου, ἵνα ἀραιώσῃ τὸ σῶμα, καὶ οὕτω διαπνεύσῃ τὸ περίττωμα. εἰσπνεῖν δὲ δεῖ τὸν κάμνοντα ἡδὺν ἀέρα καὶ ψυχρόν. οὕτω γὰρ ἐπιμελουμένου σου, οὐ μόνον εὐμαρῶς ἐξωθήσεται τὰ περιττώματα, ἀλλὰ καὶ τὴν δύναμιν φυλάξεις. οὐδὲν γάρ ἐστιν εὑρεῖν ἕτερον οὐδὲ κρεῖττον καὶ συμφερώτερον ταύτης τῆς ἐπιμελείας. χρὴ δὲ σὺν τούτοις ἀνατρίβειν καὶ πυριᾶν ἐν τῷ θερμῷ ὕδατι, ὡς ἔφημεν. διότι τὰ βαλανεῖα καὶ αἱ δεξαμεναὶ καὶ αἱ πύελοι, χαλεπὰ τῇ τοιαύτῃ διαθέσει. θερμαίνουσι γὰρ ἀμέτρως, καὶ διαφοροῦσι τὴν δύναμιν, ὥστε συγκόπτεσθαι τὸν νοσοῦντα. τῆς συγκοπῆς δὲ γινομένης, ἀθροίζεται πρὸς ἑαυτὴν καὶ καθ' ἑαυτὴν ἡ φύσις, καὶ τῶν ἄλλων ἁπάντων καταφρονοῦσα· ἐπισφαλὴς ἔσται ὁ κάμνων, καὶ μᾶλλον εἰ ἰσχυρῶς καὶ συνεχῶς συγκόπτοιτο. καὶ οὐδέν ἐστι σημεῖον ἐναργέστερον τῆς ἀπωλείας ἐν τούτῳ τῷ μέρει, ἢ τὸ ἀλληλεπαλλήλως λειποθυμεῖν. δηλοῖ γὰρ ὅτι καθῄρηται καὶ κατεβλήθη ἡ δύναμις. οὕτω δὲ τούτου γινομένου, ἴσως θλίψει ταύτην τὸ περίττωμα, καὶ σβέσει. χρὴ οὖν μὴ ἐᾶν τὴν νοτίδα μετὰ τὴν πυρίαν εἶναι ἐν τῇ ἐπιφανείᾳ τοῦ σώματος, ἀλλ' ἀπομάττειν ἀκριβῶς, καὶ ξηραίνειν. καὶ ταῦτα δὲ εἰσι τὰ εὐχερῶς ἐξωθοῦντα τὰ περιττώματα, ὅταν οὐχ ὑπάρχῃ ἡ φύσις βληχρά, καὶ τὰ περιττώματα παχυμερῆ καὶ δυσέκκριτα· ὅταν δ' εἴη ὁ πυρετὸς τραχύς πως καὶ πεπαυμένος, καὶ ὁ κάμνων διόλου ἀλύῃ καὶ δυσφορῇ, καὶ δυσχερῶς ἐκκρίνηται ἡ λοιμικὴ καὶ μετὰ βραδυτῆτος, ἀνάγκη μετὰ τὴν πέμπτην ἡμέραν χρῆσθαι τοῖς ἐκμοχλεύουσι φαρμάκοις. χρὴ δὲ μὴ ταῦτα προπετῶς προσφέρειν, ἀλλὰ μετὰ διορισμοῦ καὶ διασκέψεως, ὥσπερ εἰρήκαμεν, ὅταν περὶ τῶν σβεννυόντων ἐλέγομεν. τὸ γὰρ ἁμάρτημα ἐν τούτῳ τῷ μέρει εἰ καὶ μὴ ἐξ ἴσου ἐκείνῳ τῷ προτέρῳ, ἀλλ' οὖν καὶ οὕτω μέγα. διὸ

τοῦτο οὐ χρὴ ἀσκέπτως χρῆσθαι τοῖς τοιούτοις, ἀλλὰ χρῆσθαι τῇ προτέρᾳ ἐπιμελείᾳ, ἄχρις ἂν ἐστί σοι ἐλπὶς ὅτι οὐ δέῃ τῆς δευτέρας, καὶ μᾶλλον ἐὰν βληχρός ἐστιν ὁ πυρετὸς ὥσπερ ἐκτὸς, οὕτω καὶ ἐντός. τοῦτο δὴ πάντη γνώσῃ ἐκ τοῦ σφυγμοῦ καὶ τῆς εἰσπνοῆς, εἴγε μὴ ταχεῖα ᾖ καὶ μεγάλη καὶ πυκνή, καὶ ὡς οὐκ εἰς διπλείω ἐπίδοσιν ἢ καὶ πλείω ἥξει ἡ ποσότης τοῦ πυρετοῦ. σκοπήσεις δὲ εἴγε καὶ οὐκ εἰς ὄλεθρον ἡ σφοδρότης τῆς θέρμης ἀπάξει τὸν κάμνοντα. τοῦτο δὲ δῆλον γενήσεταί σοι, εἰ παραβάλλοις τὸν παρόντα πυρετὸν τοῖς ἄλλοις πυρετοῖς ἐν οἷς ὁ κάμνων ἡλίσκετο, ἢ ἕτερός τις τῶν τοῦ κάμνοντος κρᾶσιν καὶ ἕξιν ἔχων. ταῦτα εἰ οὕτω συνδράμοιεν, ἀπαλλαγήσεται τῆς νόσου ὁ κάμνων. χρὴ δὲ τούτοις αὖ, εἴπερ θεάσῃ ὅτι ταραττομένους καὶ παροξυνομένους, καὶ εἰς τὴν ἐπιφάνειαν ἐκκρινομένους, εὐφόρως ἔχει κατὰ πόδας ὁ κάμνων, καὶ εὖ ἔχει ὁ σφυγμὸς μετὰ ταῦτα, καὶ ἡ εἰσπνοή. εἰ γὰρ ἴδοις μετὰ βραδυτῆτος ἐκκρινομένους πρὸς τὴν ἐπιφάνειαν τοῦ σώματος, καὶ βούλοιο ἐν τῇ τοιαύτῃ διαθέσει προσάγειν τὰ ἄγαν σβεννύοντα, λυθήσεται φανερῶς τῇ φύσει, καὶ ἀπείργειν τὴν ἐνέργειαν αὐτῆς. εἰ δὲ καὶ συμβῇ μετὰ τὰ σβεννύοντα, ἀλγεῖν τὸν κάμνοντα, καὶ δυσφορεῖν, μὴ πρότερον τούτων συμβάντων, γνῶθι ὅτι ἡμάρτηταί σοι. εἰ δὲ καὶ σφυγμὸς καρδίας ἔτι, καὶ ἔστι τὸ ἁμάρτημα. διὸ χρὴ παραχρῆμα ἀραιῶσαι τὸ δέρμα, ὡς εἴπομεν, καὶ προσφέρειν ὕδατι θερμῷ ἐναφεψημένον μάραθρον, καὶ σελινόσπερμα, καὶ ὅσα δηλώσομεν ὕστερον, εἰς τὸ ἐξῶσαι τὴν λοιμικὴν κατὰ ἀναλογίαν τῇ τῆς θερμότητος βληχρότητι, καὶ τῆς πυρώσεως, καὶ καθὰ θεάσῃ καὶ τὸν κάμνοντα, εἴτε εὐφόρως φέρει τὴν αὔξησιν ταύτης, εἴτε καὶ μή, ὥσπερ πρότερον ἐδήλωσά σοι· καὶ ὡς διασκοπεῖς, οὕτω ποίει ἐν τούτῳ τῷ μέρει. ἰσχάδας ὠχρὰς λ', σταφίδας ἀκόκκους Γο β', βαλὼν εἰς ὕδωρ ℔ γ', ζέσον πρᾴως ἄχρις ἂν τακῶσι, καὶ πρόσφερε τῷ κάμνοντι ἀνὰ ℔ τὸ ἥμισυ, διὰ τριῶν καταβολῶν, θάλψας πρότερον ἐν περιβλήμασι, καὶ πυριάσας, ὡς ἔφημεν. Ετερον δυναμικώτερον, σπέρμα σελίνου καὶ μαράθρου, καὶ ἐκ τοῦ προδηλωθέντος ζωμοῦ ἑψήσας ἐν κεραμίῳ, ἄχρις ἂν ἐρυθρὸς γένηται ὁ ζωμός, καὶ διηθήσας πρόσφερε ὅσον Γο γ'. Ετερον συντεθὲν οὕτω, ῥόδων ἀληθινῶν ἐξαγίων γ', φακῆς κεκαθαρισμένης ἐξαγίων γ', ἰσχάδας ὠχρὰς τὸν ἀριθμὸν ι', σταφίδας λευκὰς ἀκόκκους ἐξαγίων β', σαγαχλώθης ἐξαγίων β', λαχῶν κεκαθαρισμένον καὶ πεπλυμένον ἐξαγίων β', μάραθρον καὶ σελινόσπερμα, ἀνὰ ἐξαγίων γ', ὕδωρ ℔ β', συνεψηθήτω ἄχρις ἂν καταστῇ ℔ α', καὶ διυλίσας, πότιζε ὅσον ℔ τὸ Ϛ'', μετὰ ξυλοκόκκων β' Ϛ'' κρόκου, δὶς ἢ καὶ τρὶς πρὸς τὴν κατεπείγουσαν χρείαν. μνημονεύσομεν δὲ καὶ τῆς προνοίας ὧν δεῖ προνοεῖσθαι.

λδ'. η'

Περὶ προνοίας τοῦ ὀφθαλμοῦ καὶ λαιμοῦ.

Χρὴ μετὰ τὸ φανῆναι τὰ σημεῖα τῆς λοιμικῆς, ἐπιμελεῖσθαι τοῦ ὀφθαλμοῦ πρότερον εἶτα οὕτω τοῦ λαιμοῦ καὶ τῆς ῥινός, ὡς ἐγὼ λέξω νῦν. ἴσως δ' ἀναγκασθείημεν καὶ τοῦ θέναρος καὶ τοῦ πέλματος, διότι συμβαίνει ἀλγύνεσθαι ταῦτα σφοδρῶς, διὰ τὸ δυσέκκριτον τῆς λοιμικῆς, καὶ τὴν ἐν τοῖς τοιούτοις τόποις σκληρότητα τοῦ δέρματος. ἐπίτεγξον τοὺς ὀφθαλμοὺς ἅμα τῷ φανῆναι τὰ σημεῖα τῆς λοιμικῆς, ῥοδοστάγματι πολλάκις, καὶ ἐφεξῆς πλῦνον τὸ πρόσωπον ψυχρῷ ὕδατι πολλάκις τῆς ἡμέρας, καὶ ῥάνον ἐξ αὐτοῦ εἰς τὸν ὀφθαλμόν. καὶ εἰ μέν ἐστιν ἡ λοιμικὴ μετρία καὶ ἀμυδρά, ἀρκεῖσθαι τῇ τοιαύτῃ ἐπιμελείᾳ, ἀσφαλείας ἕνεκεν. ἡ γὰρ ἀμυδρὰ καὶ μετρία λοι-

μικὴ

μικὴ καὶ ὀλίγην ἔχουσα τὴν ὕλην, αἰφνιδίως ἐκφύεται ἐν τῷ ὀφθαλμῷ. τότε δὲ χρὴ προσάγειν τὰ τονοῦντα ἄγαν τὸν ὀφθαλμόν, ὅταν ἴδῃς ἐν τῇ ἀρχῇ τὸν παροξυσμὸν σφοδρόν, καὶ πολλὴν κίνησιν βλεφάρων, καὶ ἐρυθρότητα ὀφθαλμῶν, καὶ ἔν τισι τόποις ἐρυθρότητα, διότι ἀνάγκη ἐξενεχθῆναι ἐκφύματος ἐν τοῖς ἐρυθροῖς τόποις. τὰ δὲ συνναίως τονοῦντα, ῥοδοστάλαγμα σὺν ῥοῒ συριακῷ βεβρεγμένῳ· εἰ δὲ καὶ πλέον βούλοιο τονοῦν, ἀνάτειψον κηκίδια σὺν ῥοδοστάγματι· καὶ τὰ λέμματα τῆς ὀξινῆς ῥοιᾶς μαραινομένης ἑφθόν· τὰ δὲ βλέφαρα χρῖσον διὰ κολλυρίων συντεθέντων διὰ γλαυκίου, καὶ ἀκακίας, καὶ ἀλόης, ἐκ τοῦ καθ' ἑνὸς μέρους ἓν προσθεὶς, καὶ ὅσον τὸ δέκατον μέρος τοῦ ἑνὸς τούτων, κρόκου, στάλαξον καὶ ἐκ τούτου εἰς τὸν ὀφθαλμόν· εἰ δὲ ἴδῃς ὅτι πληθωρική ἐστιν ἡ ὕλη, καὶ σφοδρά, καὶ πολυξάνθητος ἡ λοιμικὴ ἄγαν, καὶ ὑπονοεῖς ὅτι ἀνάγκη ἐκφυῆναι εἰς τὸν ὀφθαλμόν. τοῦτο δὲ πάντως γνώσῃ ἐξ ὧν θεάσῃ, οἷον, τὴν ἐρυθρότητα τῆς λευκότητος τοῦ ὀφθαλμοῦ, καὶ προπετεῖ, καὶ ἐξοχὴν, καὶ θεάσῃ ὅτι τὰ τελούμενα ἐν αὐτῇ, οὐκ ἀπωθεῖ, ἀλλὰ παύοιτο μόνον, καὶ ἐπανέρχοιτο αὖθις ὥσπερ ἦν πρότερον, ἢ καὶ σφοδρότερον, ἔα ταῦτα, καὶ στάλαξον γλοιὸν ἐξ ἄρτου κατασκευασθέντα. ἡ δὲ λοιμικὴ ἡ ἐξενεχθεῖσα ἐν τῷ ἐπιπεφυκότι, οὐ λυπεῖ τὴν ὄψιν. ἡ δὲ ἐκφυομένη ἐν τῷ κερατοειδεῖ, κατέναντι τῆς ὄψεως, ἐμποδὼν καθίσταται τῇ θέᾳ, πρόσσον καὶ τὴν ὄψιν καλύπτει, κατὰ ἀναλογίαν τῆς παχύτητος καὶ τῆς λεπτότητος. μετὰ τοῦτο δὲ δεῖ προσφέρειν τὰ ἰσχυρῶς ἐκκαθαίροντα, καὶ ῥύπτοντα, ὥσπερ δηλώσομεν, καὶ ἴσως ἀνύσουσιν, ἢ οὔ. ἐὰν γὰρ παχέα ὦσιν ἐν τῷ σώματι, καὶ σκληρά, καὶ ἐν παρακμαζούσῃ τινὶ ἡλικίᾳ, ἢ καὶ κατὰ πολὺ ἐξανθήσειε τῷ κερατοειδεῖ, ἐπίσταξον αὐτῷ ἐκ τοῦ δηλωθέντος κολλουρίου, μετὰ τὸ ἀφαιρῆσαι ἐξ αὐτοῦ τὸν κρόκον, καὶ προσθεῖναι μέρος ἐκ τοῦ αἱματίτου. ἐπίσταξον δὲ πολλάκις τῆς ἡμέρας, καὶ διαδήσον τὸν ὀφθαλμὸν πράως. καὶ ταῦτα μέν, ἀτὰρ δεῖ εἰδέναι σε εἰς τὴν τοῦ ὀφθαλμοῦ πρόνοιαν. εἶθ' οὕτω χρὴ ἐπιμελεῖσθαί σε τοῦ λαιμοῦ, καὶ τοῦ στόματος, ἵνα μὴ ἐξανθῇ ἐν αὐτοῖς φύματα καὶ φλυκταῖναι, καὶ ἀπείρξῃ τὴν εἰσπνοήν. διότι πολλάκις συμβαίνει ἐν τῇ λοιμικῇ, εἰς πνιγηρὰν διάθεσιν ἔρχεσθαι τὸν κάμνοντα. διὸ χρὴ πρὸ τούτου γίνεσθαι τὴν ἐπιμέλειαν. μετὰ γὰρ τὸ γίνεσθαι τὴν πνιγηρὰν διάθεσιν, οὔτε ἐλπίδα σωτηρίας ἔξομεν, οὔτε θεραπείαν. χρὴ γὰρ ἅμα τῷ φανῆναι τὰ σημεῖα τῆς λοιμικῆς, ἀναγαργαρίζειν ἐν τῷ χυλῷ τῆς ὀξινῆς ῥοιᾶς τὸν κάμνοντα, ἢ ἐν ἀποβρέγματι ῥοὸς συριακοῦ, ἢ ἐν χυλῷ συκομορείου, ἢ ἔν τισι τούτοις παραπλησίοις, ἐξ ὧν ἐδηλώσαμεν ὅτε τὰ σβεννύοντα ἐλέγομεν. εἰ δὲ οὐ παρείη τι τῶν δηλωθέντων, ἐν ὕδατι ἀκραιφνεῖ ψυχρῷ. πολλάκις δὲ τῆς ἡμέρας γινέσθω, ἵνα ἓν τῶν δύο γένηται· ἢ τὸ παράπαν μὴ ἐξανθήσῃ τι ἐν τῷ λαιμῷ, ἢ τὰ ἐξανθήσοντα ὀλίγα ὦσι. τονούμενοι γὰρ οἱ τόποι οὗτοι, ἀνεπίδεκτοι γίνονται πρὸς ὑποδοχὴν περιττωμάτων, ἀφ' ὧν εἰκὸς γίνεσθαι τὸν πνιγμόν. ἐναργέστερα δέ εἰσι ταῦτα, ὅταν μετὰ τῶν ἄλλων σημείων τυγχάνωσι βραγχώδεις αἱ φωναί, καὶ δύσπνοιαν ἴσχωσι, καὶ δυσχερῶς βραγχωθῶσι, καὶ δῆξιν ἔχωσιν ἐν τῷ λαιμῷ. ὅταν οὖν ἴδῃς ταῦτα σφοδρῶς οὕτω γινόμενα, τάμε μετὰ τὴν ταραχὴν καὶ τὸν παροξυσμὸν τῆς ὅλης λοιμικῆς, τὴν κρανιακὴν φλέβα. εἰ δὲ βλάβην μόνην ἐπάγει, καὶ οὐκ ὄλεθρον, οὐδὲ πνιγήσεσθαι ὑποπτεύεις τὸν νοσοῦντα, οὐδὲ σφοδρῶς διακαίει), πρόσφερε χυλὸν ψυλλίου, καὶ ἀμυγδαλέλαιον, καὶ σάκχαρ, οὕτω κατασκευασθέντα, μέρος ἓν κεκαθαρμένων ἀμυγδάλων, καὶ μέρη δύο σπόρου κολοκύνθης, καὶ

σάκχαρος μέρη τρία, ἑψήσας πρόσφερε. εἰ δὲ διακεχώρηκεν ἡ γαστὴρ, πρόσθες κόμμι ἀραβικὸν, καὶ σπέρμα τετραγγουρίου, καὶ καταστατὸν, καὶ χυλὸν κυδωνίων. εἰ δὲ οὕτως ἐπιμελοῦ τῶν ἄρθρων, ἵνα μὴ ἴσως ἐξανθήσῃ ἐν αὐτοῖς λοιμικὴ ἄμετρος καὶ μοχθηρὰ, καὶ διαφθείρῃ ταῦτα, καὶ ἐμφανῆ ποιήσῃ τά τε ὀστᾶ καὶ τοὺς τένοντας, καὶ συνδέσμους. διὸ ἐπείχθητι πρὸς τὴν ἐπιμέλειαν τούτων, ὡς ἔφημεν. χρῖσον αὐτὰ σαντάλῳ, γλαυκίῳ, βώλῳ ἀρμενιακῷ, καὶ ῥόδῳ, καὶ ὄξει, καὶ ῥοδοστάγματι. χρῖσον δὲ μὴ πόρρωθεν κατὰ πολὺ τῶν μορίων. εἰ δὲ κατὰ πολὺ ἐξανθήσει, ἀποξύσας, ἔκχεε τὰ ἐν αὐτῷ, καὶ μὴ ὑπερβῇ ἢ ἀναβάληται ὁ καιρὸς, εἰδὼς ὡς ὁ κίνδυνος τῆς ὑπερβολῆς ἐν τούτῳ τῷ μέρει οὐκ εὐκαταφρόνητος. μετὰ τοῦτο δὲ προνοοῦ τῆς ῥινὸς, καὶ τοῦ ὠτὸς, ἵνα μὴ ἀναφύῃ ἐν αὐτοῖς πολλὴ, καὶ βλάψῃ τὸν κάμνοντα, καὶ μᾶλλον εἴ γε ἐντὸς τοῦ ὠτὸς ἐξανθήσει. χρὴ οὖν κλῶσαι μότωμα ἐρίου μετὰ ὄξους καὶ κολλουρίου ἐσκευασμένου διὰ γλαυκίου, καὶ κροκολύτου, καὶ βάλλειν ἐντὸς τοῦ ὠτὸς, δὶς ἢ τρὶς τῆς ἡμέρας. εἰ δὲ καὶ ἐν τοῖς πέλμασιν ἐξανθήσει, κατὰ πολὺ ἀνάτριψον ταῦτα δι' ἐλαίου χλιαροῦ ἐν βαμβάκοις, καὶ πυρίασον ἐν ὕδατι θερμῷ. εἰ δ' οὐ παύοιτο ἡ ὀδύνη, καὶ οὐκ εὐμαρῶς ἐξωθοῖτο ἡ λοιμική, κόψας σήσαμον κεκαθαρμένον, καὶ ἀναδεύσας ἐν γάλακτι, χρῖσον αὐτὰ, καὶ ἐν ὀθονίῳ διάδησον δι' ὅλης τῆς νυκτός. εἶτα ἀφελὼν ταῦτα, καὶ πυριάσας ἐν ὕδατι θερμῷ, χρῖσον αὖθις. εἰ δὲ βούλει, φοίνικας κόψας, καὶ ἐν βουτύρῳ ἀναδεύσας, χρῖσον, ἢ ἐν ἰλύϊ τοῦ σπόρου τοῦ σησάμου. διότι ταῦτα καὶ τὰ παραπλήσια μαλακίζει τὸ δέρμα, καὶ εὐμαρῆ ποιεῖ τὴν ἔκκρισιν τῆς λοιμικῆς, καὶ τὴν ὀδύνην παύει.

λόγ. θ.   Περὶ ταχυπεπτήσεως τῆς λοιμικῆς.

Εἴπομεν οὖν τὰ ταχυπεπτοῦντα τὴν λοιμικήν. ὅταν οὖν ἴδῃς τὴν λοιμικὴν μετὰ τὴν ἐξάνθησιν ὅτι βραδυπεπτεῖ, καὶ ἡ διάθεσις τοῦ κάμνοντος εὖ ἔχει, καὶ ἡ εἰσπνοὴ, καὶ ὁ σφυγμὸς σύμμετρος, καὶ εὐφόρως ἔχει ὁ κάμνων, τότε χρὴ ἄρχεσθαι εἰς τὸ ταχυπεπτῆσαι. εἰ δὲ ἴδῃς ταῦτα σκληρὰ, οἷαί εἰσιν αἱ ἀκροχορδόνες, καὶ ἡ διάθεσις τοῦ κάμνοντος οὐκ εὖ ἔχει, καὶ εἰς ἐπίδοσιν καὶ αὔξησιν ἥκει τὸ κακὸν, μὴ ἐπιχειρήσῃς ἐπικουρῆσαι τῇ πέψει, διότι ἀδύνατόν ἐστιν, ὀλεθρίου ὄντος τοῦ ἐξανθήματος. εἰ δὲ ἐπιεικής ἐστι, πυρίασον ἐν ὕδατι θερμῷ ἐναφεψημένων χαμαιμήλων, μελιλώτων, ἀλθαίας, ἴων, καὶ πυροῦ πιτύρων, καὶ ἐν χύτρᾳ πρόσαγε, ὡς εἴπομεν πρώην. ἀπέχεσθαι δὲ δεῖ κατ' ἀρχὰς καὶ ἐν τῷ καιρῷ τούτῳ, ἁπάντων τῶν ξηραινόντων, καὶ τοῦ καπνοῦ, ἄχρις ἂν ἡ πέψις κατὰ λόγον γένηται. εἶτα ἀποξύειν ὅσα εἰσὶ μεγάλα καὶ ἄμετρα, καὶ ξηραίνειν τὸ ἐν αὐτῷ ῥοῶδες ἐν σαθρῷ βαμβακίῳ καθαρῷ. καὶ καπνὸν προσάγειν ἐξατμιζόμενον, ἐκ λέποις ἀμυγδάλων ξηρῶν, ἢ μυρσίνης ξηρᾶς, ἢ ῥοδοφύλλων ξηρῶν, ἢ σαντάλου, ἢ ἰεινοφύλλου. πλὴν τοῦ ῥόδου τὸ φύλλον ἐν θερινῷ καιρῷ κρεῖττόν ἐστιν, ὥσπερ ἐν χειμῶνι, τοῦ γλήχωνος. εἰ δὲ περισσὸν ῥοῶδές ἐστιν, ἐμβαλὼν λελειωμένον ῥόδον, ἢ ἄλευρον ὀρύζης, ἢ ἄλευρον κέγχρου ἐν ὀθονίῳ λεπτῷ καὶ ἀραιῷ, κατάκλινον τὸν κάμνοντα ἐπ' αὐτῷ. εἰ δ' ἴσως θρυφθῇ τὸ σῶμα τοῦ νοσοῦντος, ποιήσας στρωμνὴν ἐκ κρίνου, καὶ ῥάνας ἐπ' αὐτὴν πάσματα διὰ βώλου καὶ μυρσίνης ἐσκευασμένα, κατάκλινον. εἰ δὲ καὶ μέρος τοῦ σώματός ἐστι τὸ θρυφθὲν, ῥαῖνον ἀληθινὸν πάσμα δι' ἀλόης καὶ λιβάνου, καὶ κροκολύτου, καὶ δρακοντίου αἵματος ἐσκευασμένον. καὶ εἰ μὲν

καθ

καθ' ἑαυτὰ διαῤῥαγῇ, ξήραινον ταῦτα. εἰ δ' οὖν, ταρίχευσον δι' ἀλῶν οὕτω, ἐλαίου ℔ α΄, ἅλας γάγγραινον ἐξαγ΄ β΄, λειώσας ἀκριβῶς, ἐπὶ τὸν κόχλον, εἶθ' οὕτω μίξας τὰ ἴσα στύψει, ἀπόματτε τὸ ὅλον σῶμα ἐν τούτοις χωρὶς τῶν θρυφθέντων τόπων. τοῖς γὰρ ἡλκωμένοις οὐ δεῖ ταῦτα φάρμακα προσάπτειν, ἵνα μὴ δῆξιν ἰσχυρὰν ἐν αὐτοῖς ἀπεργάζηται. χρίσας δὲ πρὸς μίαν ὥραν, καὶ οὕτω δι' ὕδατος συνεψημένου χρυσοβαλάνῳ καὶ μυῤῥίνης φλοιῷ, καὶ ῥοιᾶς λέπει ἀπόπλυνον. καὶ εἰ μὲν λύουσι ταῦτα, ἔστω. εἰ δ' οὖν, λαβὼν βῶλον λευκὸν, μηδόλως ἔχοντα ἐρυθρότητα, καὶ ἐπὶ τὸ δέκατον τούτου ἅλατος γαγγραίνου, λειώσας ἀκριβῶς μετὰ στύψεως, χρῖσον, καὶ ἔασον ἄχρι δύο ὡρῶν, εἶτα ἀπόπλυνον.

Περὶ τοῦ ξηραίνειν τὰ πεπεμμένα τῆς λοιμικῆς. λόγ. ι΄

Ὅταν δὲ τελείως ξηρανθῶσι, καὶ μένῃ ἐν τῷ σώματι λείψανον, σκόπει ὅσα εἰσὶ τούτων λεπτὰ καὶ ἀκριβῶς ξηρὰ, καὶ λεύκωμα. καὶ στάλαξον ἐν αὐτοῖς σησαμέλαιον χλιαρὸν, ἅπαξ καὶ δὶς καὶ ἐφεξῆς, ἄχρις ἂν μαλακισθῇ, καὶ καθ' ἑαυτὰ ἐκπέσῃ. τὰ δ' ἐν προσώπῳ, οὐ χρὴ ἐν τούτοις, ἀλλ' ἐν πιστακοελαίῳ. εἰ δ' ἰκμάδα ἔχοιεν, ξύσον πρᾴως χωρὶς ἐλαίου τινός. εἰ δ' οὐ πολὺ ὑγρόν ἐστι τὸ ἔνερθεν τῆς ἐκβληθείσης ἐσχάρας, ἀπόματτε ἐν σαθρῷ βαμβακίῳ, ὡς εἴρηται. εἰ δὲ κάθυγρόν ἐστι, ἕτερον πάσμα ξηρανθινὸν, λαβὼν σμύρναν, ἢ ἀλόην, ἢ λίβανον, ἤ τινα τούτων, καὶ λειώσας, καὶ χνοώδη ποιήσας, ἐπίχεε αὐτῷ, καὶ μᾶλλον, εἰ μεμειωμένα εἶεν, καὶ ἐπὶ σμηχόμενα. καὶ ἔα ἄχρις ἂν ἐξανθήσῃ ἕτερον λεπίδας. ἐὰν δὲ ἰσόπεδά ἐστι τῷ σώματι, καὶ οὐ σμηχόμενα, πρόσφερε στύψιν καὶ ἅλας. εἰ δὲ ξηρά εἰσι, μή τι πρόσαγε ἄχρις ἂν καθ' ἑαυτὰ ἐκπέσωσιν.

Πῶς δεῖ καθαίρειν τὰς λεπίδας καὶ ἐσχάρας τῆς λοιμικῆς. λόγ. ια΄

Ἐν δυσὶ τόποις γίγνονται αἱ οὐλαὶ, ἢ ἐν τῷ σώματι, ἢ ἐν τῷ ὀφθαλμῷ. ὁ μὲν οὖν ὀφθαλμὸς ζοφοῦται καὶ λευκοῦται. τὸ δὲ σῶμα φυλάττει τὴν οὐλὴν, ὅταν ᾖ ἁπαλόχροον καὶ λεπτόδερμον, ὅθεν καὶ δυσίατά ἐστι. πλὴν μνημονευτέον τὰ ἐπουλωτικὰ καὶ ῥύπτοντα. εἰσὶ τοίνυν, νίτρον γάγγραινον, ἅλας, τζαπάρικον, ἀδάρκη, καρκῖνος κεκαυμένος, στρουθίον, νυκτερὶς, * ὄψαρος, μυῶν ἀφόδευμα, ἀκόρου ῥίζα, καὶ ἐβένου ῥίνημα, μαμηρὰ, ἰουτία, αἱματίτης, ἰάριν, σάκχαρ κεκαυμένον, ἰλὺς ὄξους κεκαυμένη. * ἔρου τὸ θολερὸν, σμύρνα, βερονίκη, κομίδη, ἔλαιον, ἀμυγδαλέλαιον, θριδακίνη ἀγρία, ξύλου ῥύπος, μόσχος. ταῦτα ἄριστά ἐστι προσφέρειν μετὰ τὰ ἔμπαστα. χρῶ δὲ τοῖς μαλακοῖς τούτων, εἰς τὰ μαλακώτερα τοῦ σώματος, καὶ μᾶλλον ἐν τοῖς μαλακοῖς καὶ ὑγροῖς σώμασιν.

Πῶς δεῖ ἐξαλείφειν τὰς οὐλὰς ἐκ τοῦ ὀφθαλμοῦ καὶ τοῦ ὅλου σώματος. λόγ. ιβ΄

Εἰς τὸ ἐξῶσαι τὴν λευκότητα ἐκ τοῦ ὀφθαλμοῦ, σάκχαρ καὶ σαρκοκόλλητον. Ἕτερον δυναμικώτερον. ἰάριν ἐξαγ΄ ζ΄, σμύρνην, σκορδολάζαρον, ἀμμωνιακὸν, σαρκοκόλλητον ἀνὰ ἐξαγ΄ ϛ΄, ἀδάρκην, καὶ νίτρον, ἄρτον ἀνὰ ἐξαγ΄ β΄, ἄμορον ἐξαγ΄ ζ΄, μαμηρὰν ἐξαγ΄ ζ΄, ἐναφεψηθήτωσαν ἐν ὕδατι λιτ΄ ι΄, ἢ καὶ πλέον, ἄχρις ἂν τακῶσι, καὶ παχυνθῇ τὸ ὕδωρ. εἶτα λείωσον ἐν ἐβένῳ, μέχρις ἂν λάβωσι σύστασιν, καὶ ἐν καιρῷ δέοντι ἐν μηλίῳ πρόσαγε τῷ ὀφθαλμῷ, καὶ μετὰ τοῦτο λήξας, ἔκχει τὰ μα-

λακὰ πάσματα. καὶ εἰ μὲν ἴδῃς ὅτι ἐρυθραίνεται ὁ ὀφθαλμός, ἔασον τὴν θεραπείαν ταύτην πρὸς καιρόν, διὰ τὸ εἶναι ἰσχυρὰν ἄγαν, καὶ αὖθις πρόσφερε. τὰ δὲ ἐπουλωτικὰ τοῦ ὅλου σώματος, εἰσὶ ταῦτα· λιθάργυρος λελευκασμένος, ῥίζα ξηρὰ καλάμου, ὀστῶν τμήματα, σαντάλου τμήματα, κοσόρριζον, σαρκοκόλλητον, ἀμύγδαλα πικρά, καρποβάλσαμον, ῥαφανίου σπέρμα, πέπονος σπέρμα, ἄλευρον κυάμου, καὶ ὀρύζης, καὶ θέρμων, καὶ φασούλων. ταῦτα πάντα ἑψήσας δι' ὕδατος ἐν ἀποβεβρεγμένῃ ὀρύζῃ, ἢ διὰ χυλοῦ, καὶ χρίσας, ἀνάτριβε. Ἕτερον. ἄλευρον κυάμου, καὶ * ἐρεβίνθης ἀνὰ ἐξάγια β', σπέρμα πέπονος ἐξάγια γ', λιθάργυρον κεκαυμένον ἐξάγια ς'', ῥίζας καλάμων ξηρῶν ἐξάγια ϛ'. ταῦτα πάντα διὰ χυλοῦ λειώσας, χρῖε ἀλλεπαλλήλως, ἢ κατὰ τὰ βαλανεῖα, ἢ μετὰ τὸ ἐξαλμιασθῆναι, καὶ πυριασθῆναι τὸν νοσοῦντα ἐν χύτραις πεπλησμέναις θερμοῦ ὕδατος. εἰ δὲ καὶ λούοιτο, ἐναφεψηθήτω σὺν * θερμῷ ὕδατι φλοιὸς πέπονος, καὶ ἴα ξηρά, καὶ πίτυρον, καὶ ἐρέβινθος, καὶ ἀνάτριβε ἐπιμελῶς. Ἕτερον δυναμικώτερον. ἄλευρον κυάμου ἐξάγια γ', πεπέρεως ἐξάγια α', καρδαμόσπορον ἐξάγια β', λιθάργυρον λελευκασμένον ἐξάγια ϛ'. ἐμβαλὼν καὶ ῥαφανίδος χυλόν, χρῖσον. καὶ ταῦτα μὲν τὰ ἐπουλωτικά. εἰ δὲ καὶ ἐξαλεῖψαι βούλοιο τὴν κοιλότητα, καὶ ἐξ ἴσου τὸ σῶμα ποιῆσαι, πρόσαγε τὰ λιπαίνοντα, καὶ συχνῶς λοῦε, καὶ ἐπιμελῶς ἀνάτριβε.

λόγ. ιγ'

Περὶ διαίτης καὶ τροφῆς τῶν ἑαλωκότων τῇ λοιμικῇ.

Χρὴ οὖν τούτοις προσφέρειν χυλὸν ἀκριβῶς καθεψημένον, εἰ ὁ πυρετὸς πεπαυμένος πως καὶ πραΰς, καὶ ἡ γαστὴρ οὐ διακεχώρηκε σὺν χάριτι. εἰ δὲ σφοδρὰ εἴη ἡ θέρμη, καὶ ἡ γαστὴρ ἔρρευσεν, ἔμβαλε οἷον τὸ ἥμισυ, χυλὸν ῥοιᾶς σὺν τῷ κόκκῳ αὐτῆς κεκοπανισμένῳ. πλὴν οὖν εὐλαβοῦ τὰ λέμματα τῶν ῥοιῶν, καὶ τοὺς ὑμένας ὑπακτικοὺς ὄντας. εἰ δὲ ἄγρυπνός ἐστιν ὁ κάμνων, ἔμβαλε καὶ τὸν χυλὸν τῆς πτισάνης, καὶ οἷον τὸ ἥμισυ τούτων, κωδιῶν. εἰ δὲ κατὰ πολὺ ἐκκρίνεται ἡ γαστήρ, τὰ ἴσα τοῦ χυλοῦ ἔστω, καὶ ὁ τῆς πτισάνης ὡσαύτως ἐξ ἴσου, καὶ ὁ κόκκος τῆς ὀξείας ῥοιᾶς, καὶ τῆς κωδείας. ταῦτα ἑψήσας, ἢ ἀκραιφνῆ πρόσφερε, ἢ μετὰ σποδίου. εἰ δ' ἀναλκαθείης διὰ τὸ εἶναι τὴν γαστέρα ἄγαν ἐκλελυμένην, χρῶ τοῖς δηλωθησομένοις φαρμάκοις. καὶ μὲν δὴ καὶ χυλὸς συγκεκραμένος τῷ χυλῷ τῆς ὀξείας ῥοιᾶς, ὀνίνησι τὸν λοιμικιῶντα, καὶ μᾶλλον τὸν τῇ εὐλογίᾳ ἑαλωκότα. ὁ δὲ τῆς κολοκύνθης χυλός, καὶ τοῦ πέπονος τοῦ ἰνδικοῦ, καὶ τοῦ τετραγγούρου, καὶ ὁ χυλὸς τοῦ ψυλλίου, καὶ ὅσα τοιαῦτα ἀπογλυνῶσι φλέγματα πρόσφατα καὶ χρηστά· πλὴν ὀνίνησι τὴν εὐλογίαν πλέον, ἢ τὴν λοιμικήν· εἰ μή γέ τις μοχθηρία τῇ λοιμικῇ συνεδρεύει, καὶ σύντονος θέρμη σὺν ἀγρυπνίᾳ. τῇ δὲ πράως φερομένῃ λοιμικῇ οὐ χρὴ προπετῶς ταῦτα προσφέρειν, διότι ταῦτα ἐπεκτείνει τὸν τῆς νόσου καιρόν, καὶ ἄπεπτον ἀπεργάζεται ταύτην. διὸ κατὰ ἀναλογίαν τοῦ * νοσήματος, καὶ πρὸς τὰς ὁρωμένας διαθέσεις χρὴ τρέπεσθαι. τῇ γὰρ λοιμικῇ τῇ ἐξ ὑγρότητος γινομένῃ, καὶ ἀναπτομένῃ ἐκ θερμότητος σηπεδονώδους, χρὴ προσφέρειν σὺν τοῖς ψύχουσι τὰ ξηραίνοντα καὶ παχύνοντα, οἷον, χυλὸν ῥοιᾶς ὀξείας, καὶ ὄμφακος, καὶ τὰ παραπλήσια. τῇ δὲ εὐλογίᾳ τὴν σύστασιν ἐχούσῃ ἐκ χολῆς ἄγαν ἐπικρατεστέρας ἐν τῷ αἵματι, προσφέρειν συμφέρει μετὰ τῶν ψυχόντων τὰ ὑγραίνοντα, ὅπως συγκραθῇ τὸ διε-

τὸ διεφθαρμένον αἷμα τοῦ ἐν εὐλογίᾳ περιπεσόντος. ἔοικε δὲ τῷ ἑστῶτι ὕδατι καὶ κεχωρισμένην τὴν σῆψιν ἔχοντι, καὶ διαπνεύσαντι τὴν λεπτότητα, τοῦ ἡλίου ἕψοντος καὶ ἀνικμῶντος ταῦτα τῷ καὶ εἰς ἄγαν κακίαν ἀχθέντι, συγκραθέντι δὲ ἐν ὕδατι ὑετοῦ, ἢ καὶ συῤῥέοντι, καὶ πολλάκις μεταβαλλομένῳ καὶ μεταποιουμένῳ. ὀνίνησι δὲ τὸν λοιμικιῶντα καὶ ἄλφιτα πεπλυμένα μετὰ σακχάρεως, ἢ ἐν χυλῷ ῥοιᾶς, ἢ ἐν ζουλαπίῳ, ὡς πρὸς τὴν κατεπείγουσαν χρείαν, καὶ πρὸς τὴν ἐποχὴν καὶ κίνησιν τῆς γαστρὸς, καὶ πρὸς τὴν αὔξησιν τῆς θερμότητος καὶ μείωσιν. πλὴν ὁ χυλὸς κρείττων ἐστὶ τοῖς λοιμικιῶσι, διότι εὐμαρῶς εἰσδύεται, καὶ συμφέρει τῷ θώρακι, καὶ τῷ λαιμῷ. καὶ κατὰ ἀναλογίαν ποίει μετὰ τὸ διαγνῶναί σε ὅτι ὁ χυλὸς συμφέρει τῷ τῇ εὐλογίᾳ ἑαλωκότι, ἢ τῇ λοιμικῇ, εἰ μή τις μοχθηρὰ λοιμική ἐστιν ἄγαν. εἰ δ᾽ οὕτως ἔχει, πρόσφερε κεκαθαρμένην φακὴν μετὰ χυλοῦ ῥοιᾶς ὀξείνης. ὠφελεῖ δὲ τούτους καὶ τὰ ἄλφιτα τῆς φακῆς, μετὰ ψυχροῦ ὕδατος. γνῶθι δὲ καὶ τοῦτο, ὅτι τὸ ψυχρὸν ὕδωρ συμφέρει τοῖς τῇ εὐλογίᾳ ἑαλωκόσι, καὶ ἀκινδυνότερόν ἐστι τούτοις, ἢ τοῖς λοιμικιῶσι· καὶ σύμπτωμα οὐκ ἐπιγίγνεται τούτοις ἐκ τῆς τοῦ ὕδατος χρήσεως. ὅμως ὅταν ἴδῃς τὸν λοιμικιῶντα φλογιζόμενον ἄγαν, καὶ πυκνῶς εἰσπνέοντα, καὶ σφύζοντα, χρῶ τοῖς ἀκριβῶς σβεννύουσιν· εἰ δ᾽ ἐπ᾽ ὀλίγον, χρῶ τοῖς ὀλίγοις· εἰ δ᾽ ἐπὶ πολὺ, κατὰ πολὺ χρῶ. πλὴν οὖν γε μὴ ἐπιτρέψῃς αὖθις φαγεῖν, ἄχρις ἂν ἐπανέλθῃ αὖθις ὁ σφυγμὸς καὶ ἡ εἰσπνοὴ πρὸς τὴν φυσικὴν διάθεσιν· καὶ ξηρανθῶσι καὶ ἐκπέσωσιν αἱ λεπίδες.

Περὶ ἐπιμελείας γαστρὸς τῶν συσχεθέντων τῇ λοιμικῇ. λόγ.

ιδ´

